eul_wid: tco-ab

*Ἡφαιστίων ὁ Θηβαῖος* · Hephaestion of Thebes

# Effects

*Ἐπιπτώσεις*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 (1t) ΗΦΑΙΣΤΙΩΝΟΣ ΘΗΒΑΙΟΥ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ ΚΑΘΟΛΙΚΟΝ Σὺν θεῷ ἡμῖν σκοπὸς ἐνθάδε, ὦ σπουδαιότατε τῶν φίλων Ἀθανάσιε, πρὸς τὸ εὐπαρακολουθητότερον ἐκθέσθαι τουτὶ τὸ ἐγχειρίδιον περιέχον ὑπόμνησίν τινα καὶ τὴν εἰς ἡμᾶς ἐλθοῦσαν πεῖραν τῶν παρὰ τοῖς ἀρχαίοις εἰρημένων περὶ τῶν ἄστρων ἤτοι σημαινόντων ἢ ποιούντων ἢ καὶ ἑτέρῳ τρόπῳ τὰ τῇδε ὑπὸ Σελήνην πάντα περικυκλούντων καὶ τρεπόντων τοῖς πρὸς ἄλληλά τε καὶ τὴν γῆν σχήμασί τε καὶ φάσεσι καὶ ταῖς ἄλλαις αὐτῶν ἰδιοτροπίαις. μὴ ταραττέτω δὲ μηδένα τὸ ἐπ' ἐνίων δυσθεώρητον διὰ τὸ πολυμερὲς τῆς τοιαύτης θεωρίας καὶ τὴν κατὰ τὸ ἐνδεχόμενον ἐπίσκεψίν τε καὶ γνῶσιν εἰς τελείας ἀκαταληψίας δόξαν τῶν τε πλείστων καὶ ὁλοσχερεστέρων συμπτωμάτων οὕτως ἐναργῶς τὴν ἀπὸ τοῦ περιέχοντος αἰτίαν ἐμφανιζόντων, μήτ' οὖν ἀποκνοῖέν τινες φάσκοντες εἱμαρμένην μὲν εἶναι τὸ πάντων κρατοῦν, ἄχρηστον δὲ τὴν πρόγνωσιν διὰ τὸ πάντῃ πάντως ἔσεσθαι. πρὸς οὓς ἀντιτακτέον μὲν τό τε ἐφ' ἡμῖν καὶ τὸ ἐν τοῖς πλείστοις σπουδάσμασι τῶν ἀνθρώπων, δυσωπῆσαι δὲ τῇ περὶ τούτων ἐνεργείᾳ, ὅλως δὲ γνωστέον ὅτι οἱ καταμεμφόμενοι τὸ ἄχρηστον ταύτης τῆς καταλήψεως πρὸς οὐδὲν τῶν κυριωτάτων ἀποβλέποντες διασύρουσιν, ἀλλὰ πρὸς αὐτὸ τοῦτο μόνον ὅτι τῶν πάντῃ πάντως ἐσομένων ἡ πρόγνωσις περισσόν, καὶ τοῦτο δὲ ἁπλῶς καὶ οὐ διεσκεμμένως.

2 πρῶτον μὲν γὰρ δεῖ σκοπεῖν, καθώς φησιν ὁ φιλαλήθης Πτολεμαῖος, καὶ ἐπὶ τῶν ἐξ ἀνάγκης ἀποβησομένων διότι τὸ μὲν ἀπροσδόκητον τούς τε θορύβους ἐκστατικοὺς καὶ τὰς χαρὰς ἐξοιστικὰς μάλιστα πέφυκε ποιεῖν, τὸ δὲ προγινώσκειν ἐθίζει καὶ ῥυθμίζει τὴν ψυχὴν τῇ μελέτῃ τῶν ἀπόντων ὡς παρόντων καὶ παρασκευάζει μετ' εἰρήνης καὶ εὐσταθείας ἕκαστα τῶν ἐπερχομένων ἀποδέχεσθαι, ἔπειτα ὅτι μηδὲ οὕτω χρὴ νομίζειν ἅπαντα τοῖς ἀνθρώποις ὡς ἐκ θείου τινος καὶ ἀλύτου προστάγματος μηδεμιᾶς ἁπλῶς ἄλλης αἰτίας ἀντιπρᾶξαι εἰς ἔνια δυναμένης. ἐπὶ μὲν γὰρ τῶν καθολικῶν περὶ τὸν κόσμον περιστάσεων οἷον κατακλυσμῶν, ἐκπυρώσεων, λοιμῶν ἀνάγκη κατακρατεῖ, ὑποπιπτούσης ἀεὶ τῆς βραχυτέρας αἰτίας τῇ μείζονι, ἐπὶ δὲ τῶν μὴ οὕτως ἐχόντων τῶν καθ' ἕκαστα τὰ μὲν ἐπιτυχόντα τῶν ἀντιπαθῶν εὐανάτρεπτα γίνεται, τὰ δὲ μὴ εὐπορήσαντα ὑπάγεται τῇ πρώτῃ αἰτίᾳ δι' ἄγνοιαν καὶ οὐχὶ ἀνάγκην. θαυμάσαι δ' ἄν τις διότι ἐπὶ μὲν τῶν καθόλου πιστεύουσι πάντες καὶ τῷ δυνατῷ τῆς προγνώσεως καὶ τῷ πρὸς τὸ φυλάξασθαι χρησίμῳ, πρὸς μὲν τὸ θέρος φροντίζοντες τῶν ψύχειν δυναμένων καὶ ἔμπαλιν πρὸς τὸν χειμῶνα, καὶ ἔτι πρὸς τὸ ἀσφαλὲς τῶν ἀναγωγῶν παραφυλάσσοντες τὰς τῶν ἀπλανῶν ἀστέρων ἐπισημασίας καὶ ἄλλα πολλὰ ἐπιτηροῦντες, ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ τῶν κατὰ μέρος καὶ τῆς καθ’ ἕνα ἕκαστον ἰδιοσυγκρισίας οὐκέτι 〈δυνατὸν〉 τὸ προγινώσκειν ἡγοῦνται καίτοι προδήλου τυγχάνοντος ὡς εἰ πρὸς τὰ καθόλου καύματα τύχοιμεν προψύξαντες αὑτοὺς ἧττον καυσούμεθα. ὥσπερ δὲ οἶμαι καὶ ἐπ’ αὐτοῦ τοῦ προγνωστικοῦ, καὶ εἰ μὴ διὰ παντὸς γοῦν ἄπταιστον ἦν, τὸ γοῦν δυνατὸν αὐτοῦ μεγίστης σπουδῆς ἄξιον κατεφαίνετο, τὸν αὐτὸν οἶμαι τρόπον καὶ ἐπὶ τοῦ φυλακτικοῦ, καὶ εἰ μὴ πάντων ἐστὶ θεραπευτικόν, ἀλλὰ τό γε ἐπ’ ἐνίων, κἂν ὀλιγάκις μικρὰ ᾖ, ἀγαπᾶν καὶ ἀσπάζεσθαι χρή.

3 τούτοις δὲ ὡς ἔοικε συνεγνωκότες οἱ παλαιοὶ Αἰγύπτιοι οὕτως ἔχουσι συνῆψαν πανταχῇ τῷ δι’ ἀστρονομίας προγνωστικῷ τὴν ἰατρικὴν διὰ τῶν καλουμένων παρ’ αὐτοῖς ἰατρομαθηματικῶν συντάξεων ἐξ ὧν προσφόρως ἑκάστῳ τὰ βοηθήματα προσφέρουσιν. ἀλλὰ περὶ μὲν τούτων ἀκριβέστερον λέγειν ἑτέρου καιροῦ ἂν εἴη, ἀρξώμεθα δὲ τῆς εἰς ἡμᾶς ἐλθούσης πείρας τῶν παρὰ τοῖς ἀρχαίοις ἀποτελεσματικῶν συνταγμάτων, ἐπιμελούμενοι κατὰ τὸ δυνατὸν τοῦ τε εὐγνώστου καὶ εὐχρήστου μετὰ τῆς προσηκούσης συντομίας. α′. Περὶ τῆς τῶν δωδεκατημορίων ὀνομασίας τε καὶ δυνάμεως Τὸν ζῳδιακὸν οἱ παλαιοὶ εἰς δώδεκα τμήματα διεῖλον ὀνομασίαν ἑκάστῳ προστιθέντες ἐκ τῶν ὡς ἐπὶ τὸ πλεῖστον συμπασχόντων ζῳδίων ἐπὶ τῆς γῆς καὶ καταστερίζοντες ἐν τοῖς μέρεσι τούτοις καθὼς ἐνεδέχετο τοὺς αὐτῶν τύπους. Ἀρχὴν δὲ ἐποιήσαντο ἀπὸ τοῦ Κριοῦ ἐαρινοῦ τμήματος διὰ τὸ ἐκ τοῦ νοτίου ἡμισφαιρίου ἐπὶ τὸ βόρειον τότε τοῦ Ἡλίου μετερχομένου ὑφ’ ὃ τέτακται ἡ καθ’ ἡμᾶς οἰκουμένη ἄρχειν ὥσπερ αὖθις ζωῆς καὶ τὰς βλάστας τῶν φυτῶν καὶ πάντων τῶν παρ’ ἡμῖν ζῴων τὰς πληρώσεις γίνεσθαι. τοῦτο δὴ τὸ κατὰ τὸν Κριὸν δωδεκατημόριον κεφαλὴν τοῦ κόσμου προσαγορεύουσιν, οἶκον Ἄρεως, ὕψωμα Ἡλίου περὶ ἐννεακαιδεκάτην μοῖραν, ἰσημερινόν, ἐαρινόν, τροπικόν, βασιλικόν, προστάσσον, φωνῆεν, χερσαῖον, νυκτερινόν.

4 καὶ καθόλου μέν ἐστι βροντῶδες καὶ χαλαζῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ ὀλιγόσπορα καὶ ὀμβρώδη καὶ ἀνεμώδη διὰ τὴν τῆς ἰσημερίας ἐπισημασίαν, τὰ δὲ μέσα εὔκρατα καὶ πολύσπορα. τὰ δὲ ἑπόμενα καυσώδη καὶ λοιμικὰ μάλιστα τετραπόδων, τὰ δὲ πρὸς βορρᾶν καυματώδη καὶ φθαρτικά, τὰ δὲ πρὸς νότον κρυσταλλώδη καὶ ὑπόψυχρα. Τούτῳ δὲ ὑπόκεινται ἀρχαίη Βαβυλών, Τυρίου Βήλοιο πόλισμα, ὕστατα δ’ Ἀρραβίη, γείτων χθονὸς Αἰγύπτοιο. κατὰ δὲ Πτολεμαῖον Βρετανία, Γαλατία, Γερμανία, Παλαιστίνη, Ἰδουμαία, Ἰουδαία. ὡς δὲ Ἵππαρχος καὶ οἱ παλαιοὶ τῶν Αἰγυπτίων κατὰ μέρος διώρισαν οὕτως· κατὰ μὲν τὸν ἀριστερὸν ὦμον Βαβυλωνία, κατὰ δὲ τὸν δεξιὸν Θρᾴκη, κατὰ δὲ τὸ στῆθος Ἀρμενία, κατὰ δὲ πλευρὰς Ἀραβία ἡ πρὸς Αἴγυπτον, κατὰ τὴν ῥάχιν καὶ κοιλίαν Περσὶς καὶ Καππαδοκία, Μεσοποταμία, Συρία, Ἐρυθρὰ θάλασσα. ἐξεθέμεθα δὲ τὰ κατὰ μέρος διὰ τὸ χρησιμεύειν τὸ τοιοῦτον πολλάκις πρὸς τὰς κατ’ ἐκείνους τοὺς τόπους προγνώσεις. Διεῖλον δὲ τὰ ὅρια οἱ παλαιοὶ Αἰγύπτιοι μέν, Δωρόθεος δὲ ἐμμέτρως οὕτως· ἓξ δ’ ὁρίων ἐπέχει μοίρας Φαέθων ἐνὶ τούτῳ τὰς πρώτας, μετέπειτα δ’ ἴσας λάχεν ἡ Κυθέρεια, ὀκτὼ δὲ Στίλβων τρίτατος, Πυρόεις δέ τε πέντε, τὰς δ’ ὑπολειπομένας ἔλαχεν Φαίνων ἴσα Θούρῳ.

5 ὁ δὲ Πτολεμαῖος οὕτως· Ζεὺς ἕξ, Ἀφροδίτη ὀκτώ, Ἑρμῆς ζ , Ἄρης ε , Κρόνος τέσσαρας. καὶ ἑκάστου ζῳδίου λαμπρὰς μοίρας ἐξέθεντο· εἰσὶν οὖν αἱ τούτου λαμπραὶ μοῖραι τρίτη, ἐννεακαιδεκάτη, ἕκτη καὶ εἰκοστή, ἑβδόμη καὶ εἰκοστή, τριακοστή. Ἔτι δὲ καὶ ἑκάστου ζῳδίου τρεῖς ἀφώρισαν δεκανοὺς κατὰ δεκαμοιριαῖον διάστημα· καὶ ἔστιν ὁ μὲν πρῶτος Χονταρέ, ὁ δὲ δεύτερος Χονταχρέ, ὁ τρίτος Σικέτ. ἐπετήρησαν δὲ κατὰ τὸ ὁλοσχερὲς οὐκ ἀντιπραττούσης ἑτέρας αἰτίας τοὺς μὲν ἔχοντας ὡροσκοποῦντα τὸν πρῶτον δεκανὸν δυσγαμεῖν ἐν τῇ πρώτῃ ἡλικίᾳ, ἐν δὲ τῇ ἐσχάτῃ εὐγαμεῖν καὶ τέλους καλοῦ τεύξεσθαι. τὰ δὲ σημεῖα· λεπτὰ τὰ στήθη μὴ σεσαρκωμένα, αἱ κνῆμαι γυμναὶ καὶ ἄσαρκοι· ἕξει σημεῖον περὶ τὸ ἀριστερὸν ἢ ὑπὸ τὴν ἀριστερὰν μασχάλην. κλιμακτῆρες δὲ ἀνεγράφησαν αὐτοῦ ἔτος δ′, θ′, ιβ′, κα′, λγ′, μθ′, νβ′, ξδ′, οδ′. τοὺς δὲ τὸν δεύτερον ἔχοντας ὡροσκοποῦντα πλουσίως μὲν τραφήσεσθαι μετὰ τοῦ

κακοπαθεῖν πως ἐν τῇ πρώτῃ ἡλικίᾳ, φρονίμους δὲ εἶναι καὶ πεπαιδευμένους καὶ προστήσεσθαι πολλῶν καὶ καλοῦ τέλους τυχεῖν. τὰ δὲ σημεῖα· οἱ ὀφθαλμοὶ αὐτοῦ μεγάλοι κεχυμένοι, ὀλίγον ὀξύθυμος ἔσται, ἴση ἡ ἡλικία καὶ τὸ μῆκος σύμμετρον. οἱ δὲ κλιμακτῆρες ἀνεγράφησαν αὐτοῦ ἔτος β′, ζ′, ιζ′, ιθ′, κδ′, λβ′, λθ′, μα′, νβ′, ξδ′, οα′, πς′.

6 τοὺς δὲ τὸν τρίτον ἔχοντας ὡροσκοποῦντα κακοπαθεῖν καὶ ξενιτεύειν πολλὰ καὶ χωρίζειν τοὺς γονεῖς θανάτῳ καὶ ἄχρηστα ἔχειν τὰ αὐτῶν καὶ λυπεῖσθαι εἰς γάμον, ὕστερον δὲ λαβεῖν προεφθαρμένην γυναῖκα καὶ τεκνώσειν καὶ τὸ τέλος τοῦ βίου εὐθύμως ἕξειν. τὰ δὲ σημεῖα· γεννᾶται μὲν ξανθὸς καὶ ὠχρός, γενήσεται εὐπρεπὴς τὸ μέγεθος· μῶμος ἔσται ἐν τῷ μήκει αὐτοῦ ἐκ θεῶν ἐνεργείας. οἱ δὲ κλιμακτῆρες ἔτος ζ′, ια′, ιθ′, κη′, λγ′, λε′, μ′, νβ′, ξζ′, οδ′, πη′, ϙζ′. τὸ δὲ μεταξὺ Κριοῦ καὶ Ταύρου, ὅπερ μεσεμβόλημα καλεῖται, εἴ τις ἔχει ὡροσκόπον, οὗτος ἄλαλος καὶ κωφὸς καὶ ἄσημος· τελευτήσει ἐπὶ τῶν αὐτῶν κλιμακτήρων τῶν τοῦ τρίτου δεκανοῦ τοῦ Κριοῦ. Ἑξῆς τὸ τοῦ Ταύρου δωδεκατημόριόν ἐστιν, ὃ εἰς τράχηλον τοῦ κόσμου ἀναφέρεται, οἶκος Ἀφροδίτης, ὕψωμα Σελήνης περὶ τρεῖς μοίρας, στερεόν, φωνῆεν, προστάσσον, θηλυκόν, χερσαῖον, λατρῶδες. καὶ ἔστι καθόλου μὲν ἐπισημαντικὸν ἀμφοτέρων τῶν κράσεων καὶ ὑπόθερμον, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα κατὰ τὴν Πλειάδα πνευματώδη καὶ ὁμιχλώδη καὶ σεισμοποιά, τὰ δὲ μέσα ὑγραντικὰ καὶ ψυχρά, τὰ δὲ ἑπόμενα κατὰ τὴν Ὑάδα πυρώδη καὶ κεραυνῶν καὶ ἀστραπῶν ποιητικά, τὰ δὲ βόρεια εὔκρατα, τὰ δὲ νότια κινητικὰ καὶ ἄτακτα. Προσοικειοῦνται δὲ αὐτῷ χῶραι οὕτως· θηρὶ δ᾽ ὑπέστρωται κλίμα Μηδικὸν Ἀρραβίη τε ἠδὲ καὶ εὐβώλοιο καλὸν πέδον Αἰγύπτοιο. ὁ δὲ Πτολεμαῖος· Παρθία, Μηδία, Περσίς, Κυκλάδες, Κύπρος, Μικρὰ Ἀσία. ἤδη δέ τινες πάλιν καὶ πρὸς μέρη αὐτοῦ τὰς οἰκειώσεις ἔθεντο· κατὰ μὲν τὰ κέρατα Μηδία, τὰ πρὸς τῷ Ἡνιόχῳ δεξιὰ Σκυθία, τὰ ἀριστερὰ Ἀρμενία, κατὰ τὴν Πλειάδα Κύπρος.

7 Τὰ δὲ ὅρια οὕτως· ὀκτὼ δὲ πρώτας ὁρίων μοίρας Κυθέρεια ἐν τούτῳ, Στίλβων δὲ μετ᾽ αὐτὴν ἔλλαχε μοίρας δὶς τρεῖς, καὶ Φαέθων ἔλαχ᾽ ὀκτώ, πέντε δὲ Φαίνων, τὰς δ᾽ ὑπολειπομένας ἔλαχεν Πυρόεις μετὰ τούσδε. κατὰ δὲ Πτολεμαῖον οὕτως· Ἀφροδίτη ὀκτώ, Ἑρμῆς ζ , Ζεὺς ζ , Ἄρης ϛ , Κρόνος β . αἱ δὲ λαμπραὶ μοῖραι αὐτοῦ τρίτη, πέμπτη, δεκάτη, ἑπτακαιδεκάτη, ὀγδόη καὶ εἰκοστή, τριακοστή. Οἱ δὲ δεκανοὶ αὐτοῦ τρεῖς· Χώου ὁ πρῶτος, Ἔρω ὁ δεύτερος, Ῥομβρόμαρε ὁ τρίτος. ὁ οὖν ἔχων ὡροσκοποῦντα τὸν πρῶτον ἔσται μὲν ἐπιχαρής, πολύφιλος καὶ ἡδύβιος, ἐπίμοχθος δὲ καὶ μετὰ τὸ ἀποβαλεῖν τὸν πρῶτον γάμον γαμήσει προεφθαρμένην καὶ μεγάλη εὐδαιμονία ἔσται αὐτῷ. τὰ δὲ σημεῖα· ἡ κεφαλὴ μεγάλη, οἱ ὀφθαλμοὶ αὐτοῦ μεγάλοι, τὸ μέγεθος σύμμετρον, τὰ χείλη μεγάλα· σημεῖον ἔσται περὶ τὸν αὐχένα καὶ ἄλλο περὶ τὸν κόλπον καὶ ἕτερον περὶ τὴν δεξιὰν πλευράν. οἱ δὲ κλιμακτῆρες αὐτοῦ ἔτος α′, δ′, θ′, ια′, κβ′, λγ′, μθ′, νς′, ξθ′, οβ′. ὁ δὲ ἔχων τὸν δεύτερον ὡροσκοποῦντα ἔσται πλούσιος, ἀρχοντικός, ἀγχίνους καὶ εὔγαμος, ἐπιτροπῶν καὶ παρακαταθηκῶν ἀξιούμενος. τὸ δὲ σημεῖον· τὸ πρόσωπον πλατύ, τὰ στέρνα εὐρύτατα, ὀφθαλμὸς εὐειδής, τὰ ὦτα πλατέα, περὶ τοὺς ὤμους τετρίχωται· σημεῖον μέλαν περὶ τὰς λαγόνας ἢ ὑπὸ τὸν μαστὸν καὶ περὶ τὰ νευρικὰ τάσις. οἱ δὲ κλιμακτῆρες αὐτοῦ ἔτος ζ′, ιγ′, κβ′, λα′, μγ′, νς′, ξα′, οδ′, πδ′, ϙα′.

8 οἱ δὲ ἔχοντες τὸν τρίτον ἔσονται ἐκ μεγάλων γονέων καὶ αὐτοὺς διαστήσουσι καὶ τὰ αὐτῶν οὐ καλῶς διοικήσουσι καὶ ἐκδημοῦσι καὶ ναυαγίων πειρῶνται καὶ ἐπονειδίστως καὶ ἐμπαθῶς διαλαλοῦνται καὶ σινοῦνται ἐπὶ τὸν συνουσιαστικὸν τόπον καὶ ἀναπόλαυστοι γίνονται τῶν κατὰ φυσικὴν συνουσίαν ἡδονῶν καὶ τοῦ ἀξιωματικοῦ προσχήματος μεθίστανται καὶ ἄωροί τινες αὐτῶν ἀποθνήσκουσιν. τὰ δὲ σημεῖα αὐτῶν· τῷ προσώπῳ εὐειδεῖς καὶ ἐπιτερπεῖς, ἐοικότες γυναικί, ἀλλὰ μῶμον ἕξουσιν ἐν τῷ ἀριστερῷ ὀφθαλμῷ ἢ περὶ τὸν ἕνα τῶν ποδῶν· εὔοφρυς, μέσος τὸ μέγεθος καὶ λεπτός. εἰσὶ δὲ οἱ κλιμακτῆρες αὐτοῦ ἔτος θ′, ιβ′, κγ′, λα′, μς′, νθ′, ξα′, οδ′. Ταύρου τὸ μεσεμβόλημα καὶ Διδύμων· ὁ ἔχων τὸν ὡροσκόπον ἐν τούτῳ ἕξει δύο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φύσεις· ἄσπερμος, ἀπρεπὴς καὶ τοῖς μέλεσιν ἄπλαστος καὶ ἀειδής. Τὸ δὲ τῶν Διδύμων δωδεκατημόριον, ὃ εἰς ὤμους παραλαμβάνεται, ἔστιν Ἑρμοῦ οἶκος, δίσωμον, ἀρσενικόν, λογικόν, ἀνθρωποειδές. καὶ καθόλου μὲν εὐκρασίας ποιητικόν, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ φθαρτικά, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα μεμιγμένα καὶ ἄτακτα, τὰ δὲ βόρεια πνευματώδη καὶ σεισμοποιά, τὰ δὲ νότια ξηρὰ καὶ καυσώδη. Ὁμοίως κατὰ Δωρόθεον· ἔστι δὲ φωνῆεν κλίμα Καππαδοκῶν ὑπὸ τῷδε ἠδέ τε Περραιβῶν καὶ Φοινίκων θεοτεύκτων. κατὰ Πτολεμαῖον Ὑρκανία, Ἀρμενία, Μαντιανή, Κυρηναϊκή, Μαρμαρική, Αἴγυπτος κατὰ χώραν. κατὰ δὲ μέρος τῷ μὲν βορείῳ Διδύμων ὑπόκειται κατὰ τοὺς πόδας Βοιωτία, παρὰ τὴν χεῖρα Θρᾴκη, ὑπὸ τὸν νῶτον Γαλατία, τοῦ δὲ νοτίου ὑπὸ τὸν γλουτὸν Πόντος, κατὰ νῶτον Κιλικία, κατὰ τὴν ὠμοπλάτην Φοινίκη, κατὰ τὴν κορυφὴν Ἰνδική.

9 Τὰ δὲ ὅρια οὕτως· Στίλβων ἐν τούτῳ προτέρας ἓξ ἔλλαχε μοίρας, τὰς δ' ἴσας Φαέθων, τριτάτας Παφίη λάχε πέντε, ἑπτὰ δὲ θοῦρος Ἄρης, ἓξ δ' αὖ Φαίνων μετέπειτα. κατὰ δὲ Πτολεμαῖον· Ἑρμῆς ἑπτά, Ζεὺς ς , Ἀφροδίτη ζ , Ἄρης ς , Κρόνος δ . αἱ δὲ λαμπραὶ μοῖραι αὐτοῦ ς′, ιθ′, κα′, λ′. Οἱ δὲ τρεῖς δεκανοί εἰσιν οὗτοι· Θοσόλκ ὁ πρῶτος, Οὔαρε ὁ δεύτερος, Φούορι ὁ τρίτος. ὁ ἔχων τὸν πρῶτον ὡροσκοποῦντα ἔσται ἀγχίνους καὶ πεπαιδευμένος, φιλευφρόσυνος, ἐρωτικός, μισοπόνηρος, μικρόλυπος, τὸ ζῆν ἐν παρύγροις τόποις ἔχων, καὶ ἀκαταστατήσει κατὰ γυναῖκα καὶ ἐξ ἔρωτος ἢ φιλίας λήψεται γυναῖκα καὶ οὐρανίων μαθημάτων ἅψεται. τὰ δὲ σημεῖα αὐτοῦ· οὐλόκομος ἔσται, εὐμήκης τὴν ἡλικίαν, δύο περιστροφὰς ἕξει ἐν τῇ κεφαλῇ, περισσὸν δάκτυλον τῆς χειρός. οἱ δὲ κλιμακτῆρες αὐτοῦ ἔτος α′, θ′, κδ′, λδ′, μγ′, νγ′, ξε′, ογ′. ὁ δὲ ἔχων τὸν δεύτερον ἀχθήσεται μὲν πλουσίως, διαστήσει δὲ τοὺς γονεῖς θανάτῳ καὶ τὰ αὐτῶν μειώσει καὶ ἔσται λαμπρότερος τῶν γονέων δι' ἑαυτοῦ κτώμενος καὶ ἐν ἱεροῖς τιμηθήσεται καὶ εὐχρημάτιστος ἔσται καὶ λήψεται γυναῖκα ἀφ' αἵματος καὶ μετὰ τὸ ἀκαταστατῆσαι ἐν τῇ πρώτῃ ἡλικίᾳ τεύξεται καλῶν. τὰ δὲ σημεῖα αὐτοῦ· μέσος τὴν ἡλικίαν ἔσται, εὐειδὴς τὸ πρόσωπον, μέγας τὸ σῶμα· σημεῖον ὑπὸ τὴν μασχάλην.

10 εἰσὶ δὲ κλιμακτῆρες αὐτοῦ ἔτος ζ′, ιβ′, ιθ′, κα′, κς′, λς′, μγ′, νς′, ξε′, πδ′, ϙβ′. ὁ δὲ τρίτον ἔχων κακοπαθήσας ἐπὶ τῆς νεότητος διαστήσει τοὺς γονεῖς καὶ τὰ αὐτῶν μειώσει, ἐπὶ ξένης δὲ τὰ πλεῖστα οἰκήσει καὶ ἔσται βλάσφημος διὰ ζημίας, ἐν δὲ τοῖς κατὰ γυναῖκα ἐπίψογος ἔσται καὶ λαμβάνει γυναῖκα ἀναξίαν αὑτοῦ ἢ καὶ προεσκυλμένην. τὰ δὲ σημεῖα· λεπτοπρόσωπος ἔσται καὶ μικρόφθαλμος, ξανθὸς τὸ σῶμα, καυχήμων ἔσται. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος ζ′, ιβ′, κα′, λβ′, μγ′, νβ′, ξδ′, οδ′, πς′, ϙβ′. ὁ δὲ ἔχων τὸ μεσεμβόλημα Διδύμων καὶ Καρκίνου περὶ τὰ ὁρατικὰ σινωθήσεται ἢ καὶ λευκώματα ἕξει, τοῦ δὲ Διὸς ὁρῶντος τὸν τόπον τοῦ ἑνὸς ὀφθαλμοῦ τὸ σίνος ἔσται. Τὸ δὲ τοῦ Καρκίνου δωδεκατημόριον, ὃ εἰς στῆθος καὶ πλευρὰς παραλαμβάνεται, ἔστιν οἶκος Σελήνης, ὕψωμα Διὸς περὶ δεκαπέντε μοίρας, θερινόν, τροπικόν, ἄφωνον, ἀμφίβιον, γόνιμον, κυρτόν, κάθυγρον, θῆλυ, νυκτερινόν, προστάσσον, κόσμου ὡροσκόπος. καὶ καθόλου μέν ἐστιν εὐδιεινὸν καὶ θερμόν, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ καὶ κατὰ τὴν Φάτνην πνιγώδη καὶ σεισμοποιὰ καὶ ἀχλυώδη, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα πνευματώδη, τὰ δὲ βόρεια καὶ τὰ νότια ἔμπυρα καὶ καυσώδη· ἡ δὲ ἐν αὐτῷ Φάτνη λεγομένη ποιεῖ λευκώματα ἐν τοῖς ὀφθαλμοῖς. Τῷ δ' ὕπο Θρηϊκίων καὶ Αἰθιόπων κλίμα κεῖται. κατὰ δὲ Πτολεμαῖον Νουμηδία, Καρχηδονία, Ἀφρική, Βιθυνία, Φρυγία, Κολχική. μερικῶς δέ, ὡς Ὠδαψὸς λέγει, τὰ μὲν ἐμπρόσθια μέρη Βακτριανή, τὰ δὲ ἀριστερὰ Σκυθία, Ἀκαρνανία καὶ Ἑλλήσποντος καὶ Λιβυκὸν πέλαγος καὶ Βρετανία καὶ Θούλη νῆσος, κατὰ δὲ τοὺς πόδας Ἀρμενία καὶ Καππαδοκία, Ῥόδος, Κῶς καὶ Ἰλίου νῆσοι, κατὰ δὲ τὰ μέσα Ἀσία, ἐν δεξιοῖς δὲ Λυδία, Ἑλλήσποντος.

11 Τὰ δὲ ὅρια οὕτως· ἑπτὰ δὲ τὰς προτέρας ὁρίων μοίρας λάχε Θοῦρος ἐν τούτῳ, μετέπειτα δὲ ἓξ λάχεν ἡ Κυθέρεια, τὰς δ' ἴσας Ἑρμῆς, φαέθων Ζεὺς ἑπτὰ μετ' αὐτόν, δὶς δὲ δύω πυμάτας ἔλαχεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κρόνος ἀγκυλομήτης. κατὰ δὲ Πτολεμαῖον· Ἄρης ς , Ζεὺς ζ , Ἑρμῆς ζ , Ἀφροδίτη ζ , Κρόνος γ . αἱ δὲ λαμπραὶ μοῖραι αὐτοῦ η′, θ′, ιε′, κ′, κβ′, κς′. Οἱ δὲ τρεῖς αὐτοῦ δεκανοί· Σωθὶς ὁ πρῶτος, Σὶτ ὁ δεύτερος, Χνουμὶς ὁ τρίτος. ὁ οὖν γεννώμενος ἐπὶ τοῦ πρώτου δεκανοῦ ἔσται ἀγαθός, ἥσυχος, πιστευόμενος ἐφ’ οἷς λέγει, πολυμέριμνος, πολύφιλος, ἐξ ἐπινοίας πολλὰ κτώμενος καὶ ἐχθρῶν περιγινόμενος, τὰ δὲ κατὰ γυναῖκα ἕξει ἐπίψογα καὶ γαμήσας θάπτει ἐπὶ νεότητος, ὕστερον δὲ εὐνοηθήσεται καὶ ἐσχάτην καλὴν ἕξει. τὰ δὲ σημεῖα· εὐμήκης τὸ μέγεθος, ἡ θρὶξ ὡραία καὶ συνεστραμμένη, οἱ ὀφθαλμοὶ ἐπιτερπεῖς, αἱ ὀφρύες ὁμοίως, ἡ ῥὶς ὑψηλή, εὐρὺς τοὺς ὤμους, τὰ νεῦρα τῶν ποδῶν ἐξέχει· σημεῖον ὑπὸ τὴν μασχάλην ἢ ὑπὸ τὸν μαστὸν καὶ ἄλλο σημεῖον ἐπὶ τοῦ δεξιοῦ ἀγκῶνος ἔσται. οἱ δὲ κλιμακτῆρες τοῦ δεκανοῦ ἔτος θ′, ια′, κα′, λγ′, μθ′, νς′, ξγ′, οα′, πς′.

12 ὁ δὲ γεννώμενος ἐπὶ τοῦ δευτέρου δεκανοῦ τραφήσεται πλουσίως καὶ τῶν γονέων βελτίων καὶ θανάτους ἀδελφῶν ὄψεται καὶ δημοσιωθήσεται καὶ δοξασθήσεται ὑπὸ ὄχλων καὶ νόμους πιστευθήσεται, ἀκαταστατήσει δὲ ἐν τοῖς κατὰ γυναῖκα καὶ ἐπὶ τέκνοις λυπηθήσεται. τὰ δὲ σημεῖα αὐτοῦ· μικρομεγέθης, μελανόχρους, ψιλὸν τὸ γένειον, τὰ στήθη μικρά, σημεῖον μέλαν εὑρεθήσεται ἐπὶ τοῦ ὀμφαλοῦ, λόγῳ τοὺς ἀνθρώπους εὐφραίνων, ἔργῳ δὲ οὐδὲ ὅλως. οἱ δὲ κλιμακτῆρες ἔτος δ′, ζ′, ιβ′, κγ′, μβ′, νδ′, ξβ′, ογ′, πη′. ὁ δὲ ἐπὶ τοῦ τρίτου γεννώμενος ἔσται φρόνιμος καὶ τραφήσεται ἀγεννῶς καὶ διαστήσει τοὺς γονεῖς θανάτῳ καὶ μειώσει τὰ πατρῷα καὶ ἔσται φιλόφιλος καὶ κακοπαθήσει ἐπὶ τῆς νεότητος, ἐν δὲ τοῖς κατὰ γυναῖκα ψόγους ἕξει καὶ ἐν στρατιωτικῇ πράξει διαζήσει καὶ λήψεται σιδήρου πεῖραν καὶ ἐσχάτης ἀγαθῆς τεύξεται. τὰ δὲ σημεῖα αὐτοῦ· μέση ἡλικία, εὐτραφής, λιπαρός, ξανθός, λευκός, αἱ ὀφρύες μεγάλαι, τὰ στήθη πλατέα, προγάστωρ ἔσται, πόνους ἕξει περὶ τὰ σπλάγχνα. εἰσὶ δὲ οἱ κλιμακτῆρες ἔτος δ′, ζ′, ιβ′, κδ′, λγ′, μθ′, νβ′, ξγ′, ξθ′, οβ′, πς′. μὴ λαθέτω δὲ ὡς εἰκότως εἰς φυλακτήριον τοῦ στομάχου παραδέχονται τὸν Χνουμὶν ὡς κύριον ὄντα τοῦ στήθους τοῦ κόσμου καθὼς ἡ διαίρεσις τῶν ζῳδίων περιέχει. τὸ δὲ μεσεμβόλημα Καρκίνου καὶ Λέοντος ποιεῖ ἐμμανεῖς, μηδενὸς δὲ τῶν ἀγαθοποιῶν μαρτυροῦντος καὶ ὑπὸ τῶν γονέων καὶ τῶν συγγενῶν οἱ τοιοῦτοι ἐκβάλλονται καὶ μετὰ τῶν τετραπόδων ζῶσιν, οἱ δὲ ἀγαθοὶ ἐπιθεωρήσαντες σίνος ποιοῦσι καὶ πάθος. Τὸ δὲ τοῦ Λέοντος δωδεκατημόριον, ὅπερ εἰς καρδίαν καὶ τὰ περὶ αὐτὴν κατανοεῖται, ἔστιν οἶκος Ἡλίου, ἡμερινόν, τετράπουν, στειρῶδες, βασιλικόν, ἀρσενικόν, χερσαῖον, ἀσελγές, ἡμίφωνον.

13 καὶ καθόλου μέν ἐστι καυματῶδες καὶ πνιγῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ πνιγώδη καὶ λοιμικὰ τετραπόδων, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα ἔνικμα καὶ φθοροποιά, τὰ δὲ βόρεια κινητικὰ καὶ πυρώδη, τὰ δὲ νότια ὑγρά. Τῷ δ’ ὑπόκειθ’ Ἑλλάς, Φρυγίη θ’ ἅμα καὶ στόμα Πόντου. κατὰ δὲ Πτολεμαῖον Ἰταλία, Γαλλία, Ἀπουλία, Φοινίκη, Χαλδαία, Ὀρχηνία. κατὰ δὲ μέρος, ὡς ἄλλοι ἱστοροῦσιν, κατὰ μὲν κεφαλὴν Προποντίς, κατὰ τὸ στῆθος Ἑλλάς, ὑπὸ τὴν κοιλίαν Μακεδονία, τὰ δὲ πρὸς τῇ οὐρᾷ Φρυγία. Τὰ δὲ ὅρια οὕτως· ἓξ δ’ ἐπέχει Φαέθων προτέρας μοίρας ἐνὶ τούτῳ, πέντε δ’ ἔχει Παφίη, Φαίνων δ’ ἔχει ἑπτὰ μετ’ αὐτήν, ἓξ δ’ ἔχει Ἑρμείας, πυμάτας δ’ ἓξ ἔλλαχεν Ἄρης. κατὰ δὲ Πτολεμαῖον· Ζεὺς ἕξ, Ἀφροδίτη ἕξ, Ἑρμῆς ἑπτά, Κρόνος ἕξ, Ἄρης πέντε. αἱ δὲ τοῦ ζῳδίου λαμπραὶ μοῖραι α′, δ′, ε′, ις′, κ′, κς′, λ′. Οἱ δὲ δεκανοὶ αὐτοῦ τρεῖς· Χαρχνούμις ὁ πρῶτος, Ἥπη ὁ δεύτερος, Φούπη ὁ τρίτος. ὁ γεννώμενος οὖν ἐπὶ τοῦ πρώτου ὑπὸ ὄχλων δορυφορεῖται καὶ ἀκουσθήσεται καὶ ἔσται ὀξὺς καὶ ἀκαταφρόνητος, εὐεργετῶν τοὺς ὑποτασσομένους καὶ πολλοὺς σκεπάσει καὶ κτήσεται, εὐεπίψογος δὲ διὰ γυναῖκα. τὰ δὲ σημεῖα αὐτοῦ· εὐμήκης τὴν ἡλικίαν, τὸ πρόσωπον ὡραῖος, ἐρυθρός, οἱ ὀφθαλμοὶ μεγάλοι, εὔρινος, αἱ κνῆμαι λεπταί, πόνος ἔσται περὶ τὸν πόδα καὶ ἐμπνευμάτωσις αὐτῷ ἔσται.

14 οἱ δὲ τοῦ θεοῦ κλιμακτῆρες ἔτος α′, ια′, κγ′, λβ′, μς′, νζ′, ξθ′, οβ′, οδ′, πη′. ὁ δὲ γεννώμενος ἐπὶ τοῦ δευτέρου ἔσται δυνάστης, βασιλεύς, αὐτοκράτωρ ἀναγορευθήσεται καὶ πολλοὺς ὑποτάσσει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ κτίσει πόλεις, καὶ φορολογήσουσιν αὐτῷ πολλοί, καὶ θεογνωσία ἐπ’ αὐτῷ καὶ εὕρεσις χρυσοῦ καὶ ἔνθεος αὐτοῦ ἡ γνώμη καὶ ἰσόθεος τιμή. τὰ δὲ σημεῖα· εὐμεγέθης, εὐρύστερνος, ἐκ τῶν μηρῶν εἰς τοὺς πόδας ἰσχναίνεται, λεοντόχρους τὴν χροιάν, ἡδὺς διαλεγόμενος, πόνος ἔσται αὐτῷ περὶ τὰ νευρικά. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος θʹ, καʹ, λδʹ, μϛʹ, νβʹ, οʹ· ὁ θάνατος ὀξύς. ὁ δὲ ἐπὶ τοῦ τρίτου γεννώμενος τραφήσεται πλουσίως καὶ ἔσται φρόνιμος, πεπαιδευμένος, πολύφιλος, σωματικὰς δὲ βλάβας ἕξει καὶ περισφραγισμοὺς καὶ ἀγῶνας βασιλικοὺς καὶ ἐπιβουλὰς ἐξουσιαστικάς, ὕστερον δὲ αὐτῶν περιέσται καὶ κυριεύσει κτημάτων καὶ εὐχρημάτιστος ὑπὸ θεῶν καὶ ὑπὸ γυναικῶν εὐνοηθήσεται, σινωθήσεται δὲ περὶ τὰ ἄκρα. τὰ δὲ σημεῖα αὐτοῦ· μέσος τὴν ἡλικίαν, ἐρυθρὸς τὸ πρόσωπον, οἱ ὀφθαλμοὶ κεχυμένοι, ἔκλυτος περὶ τὰ γύναια. οἱ δὲ κλιμακτῆρες ἔτος ζʹ, ιγʹ, κγʹ, μγʹ, νβʹ, ξϛʹ, οδʹ, πθʹ· τελευτήσει δὲ ἐπὶ τῆς ἰδίας καὶ ταφήσεται. ὁ δὲ ἐπὶ τοῦ μεσεμβολήματος γεννώμενος ἔσται ἁρποκρατικὸς καὶ ἐγγὺς θεῶν ἔσται, τινὲς δὲ καὶ ἄγαμοι τελευτῶσιν. Τὸ δὲ τῆς Παρθένου δωδεκατημόριον, ὃ καὶ αὐτὸ εἰς γαστέρα παραλαμβάνεται, ἔσται οἶκος καὶ ὕψωμα Ἑρμοῦ περὶ δεκαπέντε μοίρας, ἡμερινόν, λογικόν, φωνῆεν, ἀνθρωποειδές, στειρῶδες, δίσωμον, θῆλυ, ὑποτακτικόν, πτερωτόν. καὶ καθόλου μέν ἐστι δίυγρον καὶ βροντῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ θερμότερα καὶ φθαρτικά, τὰ δὲ ἑπόμενα ὑδατώδη, τὰ δὲ βόρεια πνευματώδη, τὰ δὲ νότια εὔκρατα.

15 Τῇ δ’ ὕπο πᾶσα Ῥόδος καὶ Κυκλάδες ἄμμιγα νῆσοι καὶ δρύες Ὠγύγιαι, ἃς Ἀρκάδες ἄνδρες ἔδεσκον, καὶ βαθυδινήεις τε μέγας ῥόος Ὠκεανοῖο καὶ κλίμ’ Ἀχαιϊκὸν ἔσχε Λακωνίδος ἠδὲ Λακώνων. κατὰ δὲ Πτολεμαῖον Βαβυλωνία, μέση Αἰθιοπία, Μέση ποταμῶν, Ἀσσυρία, Ἑλλάς, Ἀχαΐα, Κρήτη. κατὰ μέρος δὲ κατὰ μὲν τὸν νῶτον Ἰωνία, κατὰ δὲ τὰ μέσα ἐξ ἀριστερῶν Ῥόδος, Πελοπόννησος, κατὰ δὲ τὸ σύρμα ἐξ ἀριστερῶν Ἀρκαδία, Κυρήνη, κατὰ τὴν δεξιὰν χεῖρα Δωρίς, κατὰ τὴν εὐώνυμον Σικελία, κατὰ τὸν Στάχυν Περσική. Ἡ δὲ τῶν ὁρίων τάξις οὕτως· ἑπτὰ δὲ τὰς προτέρας ἔλαχε Στίλβων ἐπὶ τῆσδε μοίρας καὶ δέκα Κύπρις ἔχει, Φαέθων δὲ κατ’ αὐτὴν τέσσαρας, ἑπτὰ δ’ Ἄρης, πυμάτας δύο δ’ ἔλλαχε Φαίνων. ὁ δὲ Πτολεμαῖος οὕτως· Ἑρμῆς ἑπτά, Ἀφροδίτη ἕξ, Ζεὺς ε , Κρόνος ϛ , Ἄρης ϛ . αἱ δὲ τοῦ ζῳδίου λαμπραὶ μοῖραι ιʹ, ιζʹ, κʹ, κϛʹ, κθʹ. Οἱ δὲ τρεῖς αὐτοῦ δεκανοί· Τὼμ ὁ πρῶτος, Οὐεστεβκὼτ ὁ δεύτερος, Ἀφόσο ὁ τρίτος. ὁ γεννώμενος οὖν ἐπὶ τοῦ πρώτου δεκανοῦ ἔσται ἀγαθός, φιλόγελως, πολύφιλος, ἐν τρυφῇ διάξει ἀγύναιος διὰ τὸ μὴ ἐπὶ μιᾶς μένειν καὶ κηδεμονίαν αὐτοῦ ποιήσεται ὁ οἰκεῖος αὐτοῦ δαίμων καὶ τύχη, ἔσται δὲ ἐπίνοσος, τεύξεται δὲ καὶ ἰατρικῶν βοηθημάτων καὶ μετὰ τὴν νεότητα εὐνοηθήσεται ἀπὸ γυναικὸς καὶ ἐσχάτης καλῆς τεύξεται.

16 τὰ δὲ σημεῖα αὐτοῦ· τὸ μῆκος ὑψηλόν, εὔτολμος τὴν ψυχήν, τὸ πρόσωπον εὐειδής, οἱ ὀφθαλμοὶ ἐπέραστοι, ἡ ῥὶς σιμὴ καὶ παχεῖα ὀλίγον· σημεῖον ἕξει περὶ τὸν κόλπον. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος ζʹ, ιβʹ, κγʹ, μαʹ, νζʹ, ξγʹ, οβʹ, πϛʹ. ὁ δὲ ἐπὶ τοῦ δευτέρου γεννώμενος ἔσται φρόνιμος, ἀγχίνους, πεπαιδευμένος, ὀξύς, χαρίεις, ἰδιοκτήμων, καταφρονῶν τῶν πατρῴων, ἐὰν δὲ Ἀφροδίτη συμπαθήσῃ τῷ δεκανῷ διὰ μουσικῆς καὶ ἁρμονίας εὐεργετεῖται καὶ φιλεῖται. τὰ δὲ σημεῖα αὐτοῦ· εὐπρεπὴς τὸ μέγεθος, τὸ πρόσωπον λεπτός, εὐλαβὴς περὶ τὰ θεῖα, ὄνομα δὲ ἕξει μέγα, ἄρξει πολλῶν, φρόνιμος ἔσται καὶ εὐγράμματος καὶ εὔφωνος καὶ ἐσχάτην καλὴν ἕξει. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος δʹ, θʹ, ιϛʹ, κβʹ, λεʹ, μγʹ, νζʹ, ξγʹ, οϛʹ, πβʹ, ϙϛʹ. ὁ δὲ ἐπὶ τοῦ τρίτου γεννώμενος ἔσται πλούσιος καὶ πεπαιδευμένος, σώφρων, δίκαιος, ἰδιοπράγμων, εὐσεβής, εὐμετάδοτος καὶ ἐπιτυχής, διὰ δὲ τέκνα καὶ γυναῖκα λυπεῖται, ἐσχάτης δὲ καλῆς τεύξεται. τὰ δὲ σημεῖα αὐτοῦ· μέση ἡλικία, μικροκέφαλος, εὔρινος, οὐ λείψει αὐτὸν ἄρτος ἕως θανάτου, ὀλιγοχρόνιος ἔσται καὶ θάνατον διὰ σιδήρου ἕξει. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος θʹ, ιηʹ, κδʹ, λεʹ, νβʹ, ξϛʹ, οδʹ, πϛʹ. ὁ δὲ ἐπὶ τοῦ μεσεμβολήματος γεννώμενος ἔσται ἀπόκοπος ἢ ἀνδράσι συνερχόμενος, εἰ δὲ γυνὴ εἴη ἔσται τριβὰς καὶ γυναικὶ συνερχομένη καὶ ἀνδρῶν ἔργα ἐκτελεῖ. Τὸ δὲ τοῦ Ζυγοῦ δωδεκατημόριον, ὅπερ εἰς ἰσχία παραλαμβάνεται, ἔστιν οἶκος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀφροδίτης, ὕψος Κρόνου περὶ κʹ μοῖραν, ἰσημερινόν, μετοπωρινόν, ἀνθρωποειδές, φωνῆεν, συριγγῶδες, ἀρρενικόν, κοπτόμενον τοῖς μέλεσιν, ὑποτακτικόν.

17 καὶ καθόλου μέν ἐστι τρεπτικὸν καὶ μεταβολικόν, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ καὶ τὰ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα ὑδατώδη, τὰ δὲ βόρεια πνευματώδη, τὰ δὲ νότια ἔνικμα καὶ λοιμικά. Καὶ κλίμα Κυρήνης ὑπὸ χηλαῖς, Ἰταλίη χώρη τε πέλει πλάστιγγας ὑπ’ αὐτάς. ὡς δ’ ἄλλοι, Βακτριανή, Κασπειρία, Σηρική, Θηβαΐς, Ὄασις, Τρωγλοδυτική. μερικῶς δέ, ὡς Ὠδαψὸς καὶ ἄλλοι ἱστοροῦσιν, ὁ Ζυγὸς ὅς ἐστι Χηλαὶ τοῦ Σκορπίου· κατὰ μὲν τὸ μέτωπον Ῥώμη καὶ τὰ περὶ αὐτήν, μέσα Ἀραβία, Αἴγυπτος, Αἰθιοπία, Καρχηδών, ὀπίσθια Λιβύη, Κυρήνη καὶ οἱ συνεχεῖς τόποι, δεξιὰ Σπάρτη καὶ Λιβύη, Σμύρνης ὄρος, κατὰ τὴν κεφαλὴν Τύρος, νῆσος Θρᾳκῶν ἡ πάγκαρπος ἡ κατὰ τὴν Ἀραβίαν κειμένη, κατὰ τὸ στῆθος Κιλικία, κατὰ τὴν κοιλίαν Σινώπη. Τὰ δὲ ὅρια οὕτως· ἓξ δ’ ὁρίων μοίρας ἔλαχεν Φαίνων ἐνὶ τούτῳ, ὀκτὼ δὲ στίλβων ἀστὴρ μέγας Ἑρμάωνος, ἑπτὰ δὲ Ζεὺς φαέθων, Παφίη δ’ ἴσας λάχεν ἑπτά, τὰς δ’ ὑπολειπομένας δισσὰς λάχεν Ἄρεος ἀστήρ. κατὰ δὲ Πτολεμαῖον· Κρόνος ϛ , Ἀφροδίτη ε , Ἑρμῆς ε , Ζεὺς η , Ἄρης ϛ . αἱ δὲ λαμπραὶ μοῖραι αὐτοῦ ιβʹ, ιζʹ, κγʹ, λʹ. Οἱ δὲ δεκανοὶ τρεῖς· ὁ πρῶτος Σουχωέ, ὁ δεύτερος Πτηχούτ, ὁ τρίτος Χονταρέ.

18 ὁ γεννώμενος ἐπὶ τοῦ πρώτου ἔσται πρόγονος καὶ διαστήσει τοὺς γονεῖς καὶ ἐν ζημίαις καὶ λύπαις ἐξετασθήσεται καὶ καταλείψει τὴν πατρίδα καὶ ἔσται μετὰ ἀλλοφύλων ἀνθρώπων καὶ πολλοὺς πόνους ὑποστὰς αὖθις ἐπανέρχεται εἰς τὴν πατρίδα καὶ βελτιωθήσεται καὶ ὄψεται τέκνων προκοπάς. τὰ δὲ σημεῖα αὐτοῦ· ὄνομα δεσπότου ἕξει, τραῦμα καὶ οὐλὴ ἔσται ἐν τῇ κεφαλῇ, πυρίκαυστος ἔσται περὶ τὴν χεῖρα καὶ περὶ τὸν πόδα, ἐξ ὑψηλοῦ τόπου κατακρημνισθεὶς οὐ τελευτήσει. οἱ δὲ κλιμακτῆρες τοῦ θεοῦ ἔτος θʹ, ιϛʹ, κβʹ, λϛʹ, μθʹ, νθʹ, ξϛʹ, οζʹ. ὁ δὲ ἐπὶ τοῦ δευτέρου γεννώμενος λαμπρός, πλούσιος, ἀρχοντικὸς καὶ ἐπὶ ἐλπίσιν ἐκδημῶν καὶ βασιλικαῖς δωρεαῖς καὶ τιμαῖς, συμβίῳ δὲ ἀγαθῇ περιπίπτει ὁ τοιοῦτος καὶ τέκνων γονὰς ἕξει, εὑρέματά τε εὑρίσκει καὶ τέκνων προκοπὰς θεωρεῖ. τὰ δὲ σημεῖα αὐτοῦ· τὸ μέγεθος ἴσος, τὸ πρόσωπον μέλας, ἡ θρὶξ ἀραιά, σημεῖον μέλαν ἔσται ἐπὶ τοῦ μαστοῦ καὶ ἕτερον ἐπὶ τὴν ὀσφύν, καὶ καταπονηθήσεται ὑπ’ αὐτοῦ. εἰσὶ δὲ οἱ κλιμακτῆρες τοῦ θεοῦ ἔτος θʹ, ιβʹ, ιδʹ, λϛʹ, μαʹ, νηʹ, ξγʹ, οδʹ, πηʹ. ὁ δὲ ἐπὶ τοῦ τρίτου γεννώμενος ἔσται σχέτλιος, εὐσχήμων, πλουσιόψυχος, πολύφιλος καὶ ἐν δημοσίαις ἀσχολίαις· ἔσται γνωστὸς ἐν τόποις πολλοῖς, εὐχρημάτιστος ὑπὸ θεῶν, ἀκαταστατήσει δὲ κατὰ γυναῖκα καὶ λήψεται προειλημμένην καὶ τεκνώσει, ἔνιοι δὲ καὶ στεφανηφοροῦσι καὶ ἄρχουσι πόλεων. τὰ δὲ σημεῖα αὐτοῦ· τὸ πρόσωπον ξανθός, μῶμον ἕξει περὶ τοὺς ὀφθαλμούς, θετὸν υἱὸν ἔξωθεν ἀναθρέψει, πόνον ἕξει περὶ τὰ νευρικά. εἰσὶ δὲ οἱ κλιμακτῆρες τοῦ θεοῦ ἔτος αʹ, θʹ, ιαʹ, κγʹ, λϛʹ, μβʹ, νθʹ, ξηʹ, οθʹ. ὁ δὲ ἐπὶ τοῦ μεσεμβολήματος γεννώμενος ἕξει ἑλκώσεις ἢ σηπεδόνας ἢ ῥευματισμοὺς καὶ σύριγγας ἢ καὶ ὕδερον καὶ φακώσεις καὶ βρογχοκήλας καὶ σκίρους ἢ κιρσούς.

19 Τὸ δὲ τοῦ Σκορπίου δωδεκατημόριον, ὃ εἰς τὸ αἰδοῖον παραλαμβάνεται, ἔστιν οἶκος Ἄρεως. τοῦτο δὲ τὸ κέντρον ἄσπορον καὶ πέφυκεν ὀφθαλμοὺς πηροῦν ἢ ὑποχύσεις καὶ λευκώματα ποιεῖν διὰ τοὺς νεφελοειδεῖς ἀστέρας τοὺς παρακειμένους ἐν τῷ Γαλαξίᾳ, καὶ ἔστι στερεόν, θῆλυ, χερσαῖον, ἡμερινόν, σπαστικόν, ἄφωνον, κοπτόμενον τοῖς μέλεσιν, ὑποτακτικόν, φολιδωτόν, κυρτόν, συριγγῶδες. καὶ καθόλου μέν ἐστι βροντῶδες καὶ πυρῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ νιφετώδη, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα σεισμώδη, τὰ δὲ βόρεια καυσώδη, τὰ δὲ νότια ἔνικμα. Ὑπὸ δ’ αὐτῷ ἔπλετο πᾶσα Καρχηδών, Τυρίης Διδοῦς χερὶ δωμηθεῖσα, Ἄμμωνος Λιβύη τ〈ε〉 ὑπ’ ὄμμασι Σικελίη χθών. κατὰ δὲ Πτολεμαῖον Μεταγωνῖτις, Μαυριτανία, Γαιτουλία, Συρία, Κομμαγηνή, Καππαδοκία. κατὰ μέρος δὲ ὑπόκειται ἐν τοῖς ἐμπροσθίοις Ἰταλία, ὑπὸ τὰ μέσα Ἰβηρία καὶ οἱ συνεχεῖς τόποι, κατὰ δὲ τὸ μέτωπον Ῥώμη καὶ Βαστερνία. Τὰ δὲ ὅρια οὕτως· ἑπτὰ δέ τοι μοίρας ὁρίων Πυρόεις λάχε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτου, τέσσαρας αὖ Παφίη, ὀκτὼ Στίλβων μετέπειτα, πέντε Ζεὺς φαέθων, πυμάτας δ’ ἓξ ἔλλαχε Φαίνων. κατὰ δὲ Πτολεμαῖον· Ἄρης ἕξ, Ἀφροδίτη ζ , Ζεὺς η , Ἑρμῆς ϛ , Κρόνος γ .

20 αἱ δὲ λαμπραὶ μοῖραι ζ′, ι′, ιδ′, κ′, λ′. Οἱ δὲ δεκανοὶ τρεῖς· ὁ πρῶτος Στωχνήνε, ὁ δὲ δεύτερος Σεσμέ, ὁ τρίτος Σισιεμέ. ὁ γεννώμενος ἐπὶ τοῦ πρώτου ἔσται ἀγχίνους, πεπαιδευμένος, δίκαιος καὶ διαστήσει τοὺς γονεῖς καὶ ἔσται ἐν ζημίαις καὶ τόπους ἀλλάσσει καὶ ὑπακουσθήσεται καὶ τόπων κυριεύσει καὶ κτημάτων καὶ πολλὰ χαρίζεται, ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης ἐπιθεωρήσῃ χρυσοῦ καὶ ἀργύρου τεχνίτης ἤτοι χρημάτων καὶ ὑπὸ γυναικῶν εὐνοεῖται, τινὲς δὲ ἀδελφαῖς συνέρχονται καὶ τεκνοῦσιν. τὰ δὲ σημεῖα αὐτοῦ· τὸ μέγεθος ἐπέραστος, τραῦμα ἕξει ἐν τῇ κεφαλῇ, οἱ ὀφθαλμοὶ μεγάλοι, τὰ στήθη καὶ οἱ ὦμοι πλατεῖς, σημεῖον ἔσται ἐν τῷ ἀριστερῷ ποδὶ καὶ ἄλλο ἐν τῇ δεξιᾷ χειρί. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος θ′, ιβ′, κβ′, λγ′, μβ′, νς′, ξγ′, ξθ′, ος′, πε′, ϙγ′. ὁ δὲ ἐπὶ τοῦ δευτέρου γεννώμενος ἔσται μέγας, πλούσιος, ἀρχοντικός, πεπαιδευμένος, γλυκὺς τῷ λόγῳ, σώφρων, πολλὰ δι’ ἑαυτοῦ κτώμενος, γνωστὸς πολλοῖς καὶ ὑπὸ ἐλευθέρων δουλευθήσεται, πολλῶν τεχνῶν καὶ μουσικῆς μεταλαμβάνει καὶ παλαίστρας, ἔσθ’ ὅτε ναύκληρος γίνεται, ἐνίοτε δὲ καὶ στρατοπεδάρχης, ἐὰν δὲ ὁ δεκανὸς θεωρηθῇ παρὰ Ἄρεως τομὰς καὶ καύσεις καὶ σπασμοὺς περὶ τὰ ἄκρα ποιεῖ. τὰ δὲ σημεῖα αὐτοῦ· μέσος τὸ μέγεθος, κεφαλὴ μεγάλη, εὔμορφος τὴν ὄψιν, ἀστειομελής, ἔσται σημεῖον περὶ τὸν κόλπον καὶ τὴν ὀσφύν. εἰσὶ δὲ οἱ κλιμακτῆρες ἔτος ζ′, ια′, κβ′, λγ′, μβ′, νζ′, ξα′, ογ′, πδ′, πθ′. ὁ δὲ ἐπὶ τοῦ τρίτου γεννώμενος ἔσται ἐν ζημίαις καὶ ἀνωμαλίαις καὶ ξενιτείαις καὶ τύχης μετεωρισμῷ καὶ ψυχικῶς καὶ σωματικῶς ἀρρωστήσει καὶ ἐχθρῶν ἐπιβουλῆς πειραθήσεται, εἰς δὲ τὸ κατὰ γυναῖκα ἀκαταστατήσει (ἤτοι γὰρ δούλαις ἢ ὑπάνδροις ἢ σίνος ἐχούσαις μίγνυται) καὶ ἐπὶ τέκνοις λυπηθήσεται, μετὰ δὲ τὴν πρώτην ἡλικίαν πολλὰ κτήσεται καὶ τόπων ἄλλων ἄρξει καὶ ἐσχάτης καλῆς τεύξεται, ἐὰν δὲ Ἀφροδίτη ἐπιθεωρήσῃ ἔσται ἐπαφρόδιτος καὶ φήμας καὶ πράξεις ἕξει διὰ μουσικῆς καὶ ῥυθμῶν καὶ χρυσοῦ καὶ ἀργύρου.

21 τὰ δὲ σημεῖα αὐτοῦ· μικρομεγέθης, μέλας, λαίμαργος, μῶμος ἔσται περὶ τὸ σῶμα αὐτοῦ, ἐπιβουλευθήσεται καὶ φαρμάκῳ καὶ δηλητηρίῳ τελευτήσει. οἱ δὲ κλιμακτῆρες ἔτος γ′, θ′, ιδ′, ιη′, κβ′, λα′, μγ′, νε′, ξε′, οδ′, πγ′, πζ′. τὸ δὲ μεσεμβόλημα ποιεῖ ἐκβολιμαίους ὑπὸ τῶν γονέων, ἐὰν δὲ ὁ τοῦ Διὸς ἐπιθεωρήσῃ παρασκευάζει ἀνακάμψαι πρὸς τοὺς γονεῖς ἢ πρὸς ἑτέρους οἳ τούτους τεκνοποιοῦνται. Τὸ δὲ τοῦ Τοξότου δωδεκατημόριον, εἰς ὃ ἀναφέρονται οἱ μηροί, οἶκος τοῦ Διός, δίσωμον, ἄρρεν, χερσαῖον, τετράπουν, στειρῶδες, βασιλικόν, πτερωτόν, ἡμερινὸν καὶ ἀπὸ μέρους ἀνθρωπόμορφον, κοπτόμενον μέλεσι καὶ ἥμισυ, φωνῆεν, συριγγῶδες. καὶ καθόλου μέν ἐστι πνευματῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ δίυγρα, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα πυρώδη, τὰ δὲ βόρεια πνευματώδη, τὰ δὲ νότια κάθυγρα καὶ μεταβολικά. Ἔστρωται δ’ ὑπὸ τῷδε βαθύπλουτον κλίμα Γάλλων, καὶ Κρήτη, Κρονίδαο Διὸς τροφός, ἡ δέ τε Μυσῆς ἁρπαγίμης ὑμέναιος ἔφυ κρατερῆς Εὐρώπης. κατὰ δὲ Πτολεμαῖον Τυρρηνία, Κελτική, Σπανία, Ἀραβία Εὐδαίμων.

22 κατὰ δὲ Ἵππαρχον κατὰ μὲν τὴν ῥάχιν Κρήτη, Σικελία, κατὰ δὲ τὰς πλευρὰς Ἰταλία, κατὰ δὲ τὸ μέσον καὶ τὴν κοιλίαν Ἰβηρία. ὡς δὲ Ὠδαψὸς καὶ ἄλλοι ἱστοροῦσιν, τὰ ἐμπρόσθια Κρήτη καὶ οἱ συνεχεῖς τόποι, ἀριστερὰ Σικελία, δεξιὰ Κύπρος καὶ Ἐρυθρὰ θάλασσα, κατὰ δὲ τοὺς ὀπισθίους πόδας Οὐζιομάται, Τυρρηνοί, κατὰ δὲ τὴν ῥάχιν Κασπιανοὶ καὶ τὰ περὶ τὸν Εὐφράτην ἔθνη, κατὰ τὴν οὐρὰν Μεσοποταμία καὶ Καρχηδονία καὶ ἡ Λιβυκὴ θάλασσα, κατὰ δὲ τὴν κεφαλὴν Ἰταλία καὶ ὁ τοῦ Ἀδρία κόλπος καὶ οἱ περὶ αὐτὸν οἰκοῦντες, κατὰ δὲ τὸ στῆθος Συρία, κατὰ δὲ τὴν φαρέτραν Ἀτλαντικὸν πέλαγος, κατὰ δὲ τὴν κοιλίαν Τριβαλλοί, Βακτριανή, Σικελία, ἐπὶ τοῖς ἐμπροσθίοις ποσὶν Αἴγυπτος καὶ οἱ συνεχεῖς τόποι. Τὰ δὲ ὅρια οὕτως· δώδεκα δὲ προτέρας Φαέθων μοίρας λάχε τούτου, πέντε δέ τοι Παφίη, τρι〈τά〉τας Στίλβων μετὰ τούσδε, τέσσαρας Ἑρμείας ἔλαχεν, Φαίνων δέ τε πέντε, τὰς δ’ ὑπολειπομένας Ἄρης λάχε δὶς δύο μοίρας. κατὰ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πτολεμαῖον· Ζεὺς η , Ἀφροδίτη ε , Ἑρμῆς ε , Κρόνος ϛ , Ἄρης ϛ. αἱ δὲ λαμπραὶ μοῖραι δʹ, ϛʹ, ιʹ, ιηʹ, κϛʹ, κθʹ. Οἱ δὲ τρεῖς αὐτοῦ δεκανοί· ὁ πρῶτος Ῥηουώ, ὁ δεύτερος Σεσμέ, ὁ τρίτος Κομμέ. ὁ γεννώμενος ἐπὶ τοῦ πρώτου δεκανοῦ ἔσται ἔλλειμμα, ἀνάλωσις, ὡς ὁ Τοξότης ἀποβάλλων καὶ λαμβάνων, καὶ ἔναντι ζηλοτυπίας, ἔσται δὲ θεόγνωστος καὶ εὐχρημάτιστος καὶ ὄψεται συγγενῶν θανάτους καὶ κινδυνεύσας ὑπὸ θεῶν σωθήσεται, εἰσὶ δὲ οἱ γεννώμενοι περισσομελεῖς καὶ πολλοὺς θρέψουσι δι' ἀγαθότητα καὶ ἔσονται ἐγγὺς μεγιστάνων, οἱ δὲ καὶ ἱπποτροφοῦσιν ἢ ἐπιτροπεύουσι καὶ στρατηγοῦσι καὶ ἀγορανομοῦσι καὶ ἀρχιερεῖς γίνονται καὶ ὑπὸ γυναικῶν εὐνοοῦνται.

23 τὰ δὲ σημεῖα· περικαλλῆ τὴν ἡλικίαν ἔχων, οἱ ὀφθαλμοὶ ἐπέραστοι, μακρὰ ἡ ῥίς, εὔοφρυς, σημεῖον περὶ τὴν πλευρὰν ἕξει. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος ιαʹ, κβʹ, λαʹ, μϛʹ, νγʹ, ξγʹ, οζʹ, πϛʹ. ὁ δὲ ἐπὶ τοῦ δευτέρου δεκανοῦ γεννώμενος διαστήσει τοὺς γονεῖς καὶ ἔσται ἐν κακοπαθείαις καὶ πενίαις καὶ ξενιτεύσει καὶ ὑποδραμεῖται οὓς οὐ προσδοκᾷ καὶ ψυχικὸν μετεωρισμὸν ἕξει, ὑπὸ δὲ συμβίου εὐνοηθήσεται καὶ τομῆς πεῖραν ἕξει καὶ αἱμαγμοῦ, εἰ δέ τις τῶν ἀγαθοποιῶν ἐπιμαρτυρήσῃ τὰ κακὰ διαλύσει καὶ προβαινούσης τῆς ἡλικίας ἔσται βελτίων, πράττει δὲ τέχνας διὰ χρυσοῦ καὶ ἀργύρου ἢ χρημάτων. τὰ δὲ σημεῖα αὐτοῦ· τὸ πρόσωπον ὠχρός, αἱ ὀφρύες πλατεῖαι, σημεῖον ἐπὶ τῶν στηθῶν αὐτοῦ εὑρεθήσεται, ὁ νῶτος αὐτοῦ ἄσαρκος ἔσται. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος ιαʹ, ιθʹ, καʹ, λβʹ, μϛʹ, ναʹ, ξαʹ, οβʹ, πϛʹ, ϙαʹ. ὁ γεννώμενος ἐπὶ τοῦ τρίτου τραφήσεται ὡς πλούσιος καὶ ἔσται ἐκ μεγάλων γονέων, ὀξύς, πεπαιδευμένος καὶ δημοσιεύσει καὶ κύριος ἔσται ζωῆς καὶ θανάτου καὶ ἐγγὺς βασιλέων ἔσται καὶ ἐπιτροπεύσει βασιλικῶν προσταγμάτων καὶ στρατευμάτων, ἐὰν δὲ ὁ δεκανὸς μαρτυρηθῇ παρὰ Διὸς ποιεῖ ἡγεμόνας, βασιλέων διαδόχους, πόλεις ὑποτάσσοντας, ἐὰν δὲ ὁ δεκανὸς μαρτυρηθῇ παρὰ Κρόνου ἢ Κρόνου μοῖρα ἀνατέλλῃ ἀποστάσεις ὄχλων καὶ χρημάτων ἀποβολὴν ποιεῖ καὶ ἀκαταστασίαν καὶ ἔχθρας καὶ ἐπιβουλὰς δουλικάς.

24 τὰ δὲ σημεῖα αὐτοῦ· τὸ μῆκος μακρόν, τὸ πρόσωπον ἐπέραστος, ὁ ἀριστερὸς ὀφθαλμὸς ὑποκέχυται, τὰ στήθη εὐρύτερα, εὔτολμος τὴν ψυχήν, σημεῖον ἕξει περὶ τὴν ἀριστερὰν κνήμην. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος ιαʹ, κϛʹ, λϛʹ, μβʹ, ναʹ, ξζʹ, οβʹ· ὁ δὲ θάνατος ὀξύς. τὸ δὲ μεσεμβόλημα ποιεῖ ἐν νέᾳ ἡλικίᾳ ἐπίψογον, ἐὰν δὲ θηλείας ᾖ τὸ θέμα ἔσται ἐν ἑταιρίᾳ καὶ πολυκοινίᾳ καὶ μεγάλῳ ἀνδρὶ συγκοιμηθεῖσα φιληθήσεται καὶ ἔσται σὺν αὐτῷ ἀπαλλαγεῖσα τοῦ προτέρου καὶ ἐσχάτης καλῆς τεύξεται. Τὸ δὲ τοῦ Αἰγοκέρωτος δωδεκατημόριον, ὃ εἰς γόνατα παραλαμβάνεται, οἶκός ἐστι Κρόνου, ὕψος Ἄρεως περὶ κη μοίρας, τροπικόν, χειμερινόν, θηλυκόν, ἡμερινόν, στειρῶδες, ὑποτακτικόν, ἀμφίβιον, διφυές, ἡμίφωνον. καὶ καθόλου μέν ἐστι κάθυγρον, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ καυσώδη καὶ φθαρτικά, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα ὄμβρων κινητικά, τὰ δὲ βόρεια καὶ νότια κάθυγρα καὶ φθαρτικά. Τῷ δ' ὕπο Κιμμερίη τέταται χθὼν ἡ πανέρημος. κατὰ δὲ Πτολεμαῖον Ἰνδική, Ἀριανή, Γεδρωσία, Θρᾴκη, Μακεδονία, Ἰλλυρίς. ὡς δὲ ἄλλοι ἱστοροῦσιν, ὑπόκειται αὐτῷ τὰ πρὸς ἑσπέραν καὶ μεσημβρίαν, κατὰ δὲ τὰς πλευρὰς Αἰγαῖον πέλαγος καὶ οἱ περιοικοῦντες καὶ Κόρινθος, κατὰ τὴν ζώνην καὶ τὸν νῶτον ἡ Μεγάλη θάλασσα, κατὰ τὴν οὐρὰν Ἰβηρία, κατὰ τὴν κεφαλὴν Κυλληνία, Τυρρηνία, κατὰ τὸ στῆθος Τυρρηνικὸν πέλαγος, κατὰ τὴν κοιλίαν μέση Αἴγυπτος, Συρία, Καρία.

25 Τὰ δὲ ὅρια οὕτως· ἑπτὰ δὲ τὰς πρώτας ἔλαχε Στίλβων πάλι μοίρας, ἑπτὰ δέ τοι Φαέθων, δὶς τέσσαρας ἡ Κυθέρεια, Φαίνων δὶς δύ' ἔχει, πυμάτας δ' Ἄρης ἴσα τούτῳ. κατὰ δὲ Πτολεμαῖον οὕτως· Ἀφροδίτη ϛ , Ἑρμῆς ϛ , Ζεὺς ζ , Κρόνος ἕξ, Ἄρης ε . αἱ δὲ τοῦ ζῳδίου λαμπραὶ μοῖραι ϛʹ, ιβʹ, ιεʹ, κδʹ, λʹ. Οἱ δὲ τρεῖς αὐτοῦ δεκανοί· Σμὰτ ὁ πρῶτος, Σρὼ ὁ δεύτερος, Ἰσρὼ ὁ τρίτος. ὁ γεννώμενος ἐπὶ τοῦ πρώτου ἔσται πρωτότοκος ἢ πρωτότροφος, φρόνιμος, βαθύς, πεπαιδευμένος, ἀγαθός, εὐπαρρησίαστος, καὶ ὑποτάσσει τοὺς ἐχθρούς, ὑπὸ δὲ τῶν ἰδίων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κινδυνεύσας σωθήσεται καὶ ἐν πολλαῖς ζημίαις ἔσται ἐν τῇ πρώτῃ ἡλικίᾳ, εἰς δὲ γυναῖκα ἀκαταστατήσει, ἐὰν δὲ ὁ τοῦ Διὸς ἐπιμαρτυρήσῃ τῷ δεκανῷ ἀγαθοὺς χρόνους ἕξει καὶ εὑρέματα εὑρήσει καὶ κυριεύσει πολλῶν καὶ ἐσχάτης καλῆς τεύξεται. τὰ δὲ σημεῖα αὐτοῦ· τὸ μῆκος μακρόν, τὰ στήθη εὐρύτερα, περιπατοῦντος ἐν ὁδοῖς τὰ νευρικὰ αὐτοῦ κινεῖται, σημεῖον μέλαν ἕξει περὶ τὴν μασχάλην. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος α′, δ′, θ′, ια′, ιζ′, κβ′, λα′, μβ′, νϛ′, ξγ′, οβ′, πα′, πθ′. ὁ δὲ ἐπὶ τοῦ δευτέρου γεννώμενος διαστήσει τοὺς γονεῖς θανάτῳ καὶ τὰ αὐτῶν μειώσει καὶ ἐν ζημίαις καὶ ξενιτείαις ἔσται καὶ μετὰ μεγάλων ἀνδρῶν ἀνατραφήσεται ποικίλος ὢν τοῖς ἤθεσι καὶ δι’ ὑγρῶν τὸ ζῆν ἔχων, ἀκαταστατήσει δὲ πρὸς γυναῖκα ἢ καὶ βραδυγαμήσει καὶ διαβληθήσεται ἐπὶ ὑπάνδροις καὶ χήραις καὶ δούλαις, μετὰ δὲ τὴν πρώτην ἡλικίαν ὠφεληθήσεται παρὰ γυναικὸς καὶ ἐσχάτης καλῆς τεύξεται.

26 τὰ δὲ σημεῖα αὐτοῦ· ὡραῖος τὸ μῆκος καὶ μακρός, εὐπρεπὴς τὴν ὄψιν, ἡ ῥὶς ὑψηλή, οἱ ὀφθαλμοὶ ἐνήδονοι, ἀλλὰ κακοήθης καὶ θερμὸς καὶ πονηρός. οἱ δὲ κλιμακτῆρες ἔτος ϛ′, θ′, ια′, κβ′, λα′, μα′, νβ′, ξγ′, οϛ′, πα′. ὁ δὲ ἐπὶ τοῦ τρίτου γεννώμενος ἔσται ἐκ μεγάλων γονέων καὶ εὐγενῶν καὶ τραφήσεται πλουσίως καὶ πιστευθήσεται πολλὰ καὶ ἔσται πεπαιδευμένος καὶ πολύφιλος, ὀξύς, μισοπόνηρος, ἀσελγής, εὐμετάβλητος, ἀκαταστατήσει δὲ κατὰ γυναῖκα καὶ ὕστερον εὐνοηθήσεται ὑπ’ αὐτῆς καὶ πολλὰ κτήσεται καὶ κυριεύσει πολλῶν. τὰ δὲ σημεῖα αὐτοῦ· ὠχρὸς ἔσται, σημεῖον ἕξει περὶ τὸν ἀριστερὸν ἀγκῶνα καὶ περὶ τοὺς μηροὺς τάσεις καὶ ὀλίγον χρόνον βιώσεται. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος δ′, ζ′, ια′, κβ′, λγ′, μϛ′, νβ′, ξγ′, οβ′· ὁ δὲ θάνατος ἐπὶ ξένης ἔσται. τὸ δὲ μεσεμβόλημα ποιεῖ ἐκβολιμαίους καὶ θηριοβρώτους. Τὸ δὲ τοῦ Ὑδροχόου δωδεκατημόριον, ὃ εἰς κνήμας παραλαμβάνεται, οἶκός ἐστι Κρόνου, ἀρσενικόν, στερεόν, φωνῆεν, λογικόν, νυκτερινόν, ἀνθρωπόμορφον. καὶ καθόλου μέν ἐστι ψυχρῶδες καὶ ὑδατῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ κάθυγρα, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα πνευματώδη, τὰ δὲ βόρεια καυσώδη, τὰ δὲ νότια νιφετώδη. Ὑπόκειται δὲ αὐτῷ κλίμα τῆς Αἰγύπτου καὶ ἡ Μέσ 〈σ〉 η τῶν ποταμῶν. 〈κατὰ δὲ Πτολεμαῖον〉 Σαυροματική, Ὠξιανή, Σουγδιανή, Ἀραβία, Ἀζανία, Γερμανική.

27 κατὰ μέρος δὲ ὑπόκειται αὐτῷ κατὰ μὲν τὴν ἀριστερὰν χεῖρα καὶ τὸ στῆθος Συρία, ὑπὸ δὲ τὴν δεξιὰν Εὐφράτης καὶ Τίγρις, κατὰ τὴν ὑδροχόην Τάναϊς καὶ οἱ πρὸς νότον καὶ ζέφυρον ῥέοντες. Τὰ δὲ ὅρια οὕτως· ἑπτὰ δὲ τὰς προτέρας Ἑρμῆς λάχεν, εἶτα μετ’ αὐτὸν ἓξ μοίρας Κύπρις, Φαέθων μετέπειτα λάχ’ ἑπτά, πέντε δὲ θοῦρος Ἄρης, πυμάτας δὲ Κρόνος λάχε πέντε. κατὰ δὲ Πτολεμαῖον· Κρόνος ϛ , Ἑρμῆς ϛ , Ἀφροδίτη η , Ζεὺς πέντε, Ἄρης ε . αἱ δὲ λαμπραὶ μοῖραι αὐτοῦ ια′, ιζ′, κ′, κε′, κθ′. Οἱ δὲ τρεῖς αὐτοῦ δεκανοί· Πτιαῦ ὁ πρῶτος, Ἀεὺ ὁ δεύτερος, Πτηβυοὺ ὁ τρίτος. ὁ γεννώμενος ἐπὶ τοῦ πρώτου ἔσται μέγας, πλούσιος, πεπαιδευμένος, πολύφιλος, παρρησιαστικός, μισοπόνηρος, δικαιοκρίτης, καὶ πολλοὶ ἐπ’ αὐτὸν καταφεύγουσι διὰ τὸ δίκαιον αὐτοῦ καὶ εἰκόνων καὶ ἀνδριάντων ἀξιωθήσεται καὶ ὑπὸ γυναικὸς εὐνοηθήσεται, ὄψεται δὲ θανάτους τέκνων. τὰ δὲ σημεῖα αὐτοῦ· τὸ πρόσωπον κεκερασμένον, σημεῖον εὑρεθήσεται περὶ τὸ στῆθος ἢ περὶ τὸν ἀριστερὸν πόδα καὶ περὶ τὴν πλευράν, οἱ δάκτυλοι τῶν ποδῶν αὐτοῦ ἐπικαμπεῖς. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος ζ′, ια′, ιθ′, κβ′, λα′, νζ′, ξβ′, οϛ′, πα′, ϙβ′. ὁ γεννώμενος ἐπὶ τοῦ δευτέρου κακοπαθήσει σωματικῶς καὶ ὅλως βιωτικῶς, ἐγκλήματα ἕξει καὶ φαρμακοποιΐας καὶ συκοφαντίας καὶ ὑπὸ τῆς κεφαλῆς κινδυνεύσει καὶ χρημάτων ἀποβολὴν καὶ ἐμπρήσεις καὶ ναυαγίας ἕξει καὶ ἀκαταστατήσει εἰς τὰ κατὰ γυναῖκα· ταῦτα ἕξει ἐν τῇ πρώτῃ ἡλικίᾳ, ὕστερον δὲ ἐν ἀναπαύσεσι γίνεται πολλὰ κτησάμενος.

28 τὰ δὲ σημεῖα αὐτοῦ· οὐ πάνυ εὐμεγέθης, μέλας τὸ χρῶμα, ἐπ’ ἀγαθῷ τῷ οἴκῳ ἐν ᾧ ἐγεννήθη, σημεῖον ἔσται περὶ τὴν ὀσφὺν καὶ ὑπὸ τὴν μασχάλην καὶ περὶ τὰ στήθη καὶ οἱ δάκτυλοι τῶν ποδῶν αὐτοῦ διεσταλμένοι. οἱ δὲ τοῦ θεοῦ κλιμακτῆρες ἔτος ιβ′, κϛ′, λγ′, μδ′, νϛ′, ξε′, ογ′, πδ′, ϙε′. ὁ δὲ ἐπὶ τοῦ τρίτου γεννώμενος ἐκ θεῶν σπαρήσεται καὶ ἔσται μέγας καὶ μετὰ θεῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θρησκευθήσεται καὶ ἔσται κοσμοκράτωρ καὶ πάντα αὐτῷ ὑπακούσεται, ἔσται δὲ ταῦτα ἐὰν καὶ ἀγαθοποιοὶ ἐπιμαρτυρήσωσι τῷ τόπῳ ἄνευ κακῶν παρουσίας. ἔσται δὲ αὐτοῦ τὰ σημεῖα· τὸ μῆκος οὐ πάνυ μακρόν, κιρρὸς καὶ ὑπόξανθος τὴν ὄψιν, σημεῖον ἕξει ἐπὶ τοῦ δεξιοῦ ὤμου καὶ ὑπὸ τὴν μασχάλην. οἱ δὲ κλιμακτῆρες ἔτος β′, ϛ′, θ′, ιβ′, κα′, μβ′, να′, ξδ′, οδ′, π′. ὁ δὲ ἐπὶ τοῦ μεσεμβολήματος γεννώμενος ἔσται τερατώδης, ἐκβολιμαῖος οἷον σατυρίσκος ἢ ἑρμαφρόδιτος, ὁλόλευκος, δίδυμος ἢ δικέφαλος. Τὸ δὲ τῶν Ἰχθύων δωδεκατημόριον, ὃ εἰς πόδας καὶ βάσιν παραλαμβάνεται, ἔστιν οἶκος Διός, ὕψωμα Ἀφροδίτης περὶ κ μοίρας, δίσωμον, θηλυκόν, γόνιμον, νυκτερινόν, νηκτόν, συριγγῶδες, φολιδωτόν, κοπτόμενον, πτερωτόν, ἄφωνον. καὶ καθόλου μέν ἐστι ψυχρὸν καὶ πνευματῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ εὔκρατα, τὰ δὲ μέσα κάθυγρα, τὰ δὲ ἑπόμενα καυσώδη, τὰ δὲ βόρεια πνευματώδη, τὰ δὲ νότια ὑδατώδη. Ὑπόκειται δ’ αὐτῷ ἡ Ἐρυθρὰ θάλασσα ἕως τῶν Ὠκεανοῖο ῥοῶν.

29 〈κατὰ δὲ Πτολεμαῖον〉 Φαζανία, Νασαμωνῖτις, Λυδία, Κιλικία, Παμφυλία. κατὰ μέρος δὲ κατὰ μὲν τὸ νότιον Μεσοποταμία καὶ κατὰ τὸν νῶτον τῆς Ἀνδρομέδας 〈...〉, κατὰ δὲ τὸ βόρειον 〈...〉. κατὰ μὲν τὸν Ὠδαψὸν τὰ ἐμπρόσθια Εὐφρατησία καὶ Τίγρις, καὶ τὰ μέσα Συρία καὶ Ἐρυθρὰ θάλασσα, Ἰνδική, μέση Περσίς, καὶ ὑπὸ τὸν νῶτον Ἀραβικὴ θάλασσα καὶ Βορυσθένης, κατὰ δὲ τὸν σύνδεσμον τοῦ βορείου Θρᾴκη, τοῦ νοτίου Ἀσία καὶ Σαρδώ. Τὰ δὲ ὅρια οὕτως· δώδεκα δὲ προτέρας μοίρας λάχε Κύπρις ἁπάσας, δὶς δὲ δύω Φαέθων, Στίλβων τρεῖς, ἐννέα Θοῦρος, τὰς δ’ ὑπολειπομένας δισσὰς Φαίνων λάχε μοίρας. κατὰ δὲ Πτολεμαῖον· Ἀφροδίτη η , Ζεὺς ἕξ, Ἑρμῆς ϛ , Ἄρης ε , Κρόνος ε . αἱ δὲ λαμπραὶ αὐτοῦ μοῖραι η′, ιε′, κ′, κγ′, κε′, λ′. Οἱ δὲ τρεῖς αὐτοῦ δεκανοί· ὁ πρῶτος Βίου, ὁ δεύτερος Χονταρέ, ὁ τρίτος Πτιβιοῦ. ὁ γεννώμενος ἐπὶ τοῦ πρώτου ἔσται μέγας καὶ ὄχλους ὑφ’ αὐτὸν ἕξει, ἔσται δὲ μονότονος, τοὺς ὑποτασσομένους εὐποιῶν, λυπηθήσεται δὲ ἐπὶ τέκνοις, θεοσεβὴς δὲ ἔσται καὶ εὐχρημάτιστος καὶ κινδυνεύσει τῷ τραχήλῳ καὶ ἐκφεύξεται· τινῶν αἱ γυναῖκες ἀποστεροῦνται, διεκδραμὼν δὲ τὰς τοῦ δεκανοῦ ἀνωμαλίας ἀγαθοὺς καιροὺς ἕξει καὶ ὑπὸ γυναικὸς εὐνοηθήσεται καὶ τεκνώσει.

30 τὰ δὲ σημεῖα αὐτοῦ· εὐμήκης τὴν ἡλικίαν, τὸ πρόσωπον εὐειδής, τοὺς ὤμους εὐρὺς καὶ βαδίζοντος αὐτοῦ ψόφος ἐκ τῶν νεύρων ἀκούεται, σημεῖον ἕξει ὑπὸ τὴν μασχάλην καὶ τοὺς πόδας. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος ιβ′, κβ′, κε′, κζ′, λγ′, μβ′, νβ′, ξδ′, ογ′, πβ′. ὁ δὲ ἐπὶ τοῦ δευτέρου γεννώμενος τραφήσεται πλουσίως καὶ διαστήσει τοὺς γονεῖς καὶ τὰ αὐτῶν μειωθήσεται καὶ δι’ ἑαυτοῦ κτήσεται πολλά· ἔσται γὰρ ἐμπορικός πώς τις καὶ περίκτητος καὶ φιλάνθρωπος καὶ πεπαιδευμένος, εἰδὼς καὶ τὰ οὐράνια καὶ ἥσυχος καὶ πιστεύσει καὶ πιστευθήσεται καὶ ἀποστερηθήσεται ἀπὸ φίλων καὶ γαμήσει γυναῖκα ἣν καὶ ἐκβαλεῖ ἐπιβουλευθεὶς παρ’ αὐτῆς, ἕξει δὲ πολλοὺς ἐχθροὺς οὓς καὶ ἐπόψεται, εἰ δὲ ἀγαθὸς ἐπίδη ἀστὴρ γαμήσει καλὴν γυναῖκα καὶ εὐσταθὴς ἔσται καὶ καλοῦ τέλους τεύξεται. τὰ δὲ σημεῖα αὐτοῦ· τὸ μέγεθος οὐ πάνυ ὑψηλόν, εὐπρεπής, ἡ θρὶξ μέλαινα καὶ ἀραιά, σημεῖον ἕξει περὶ τὸν δεξιὸν αὐτοῦ πόδα καὶ περὶ τὸν ὀμφαλόν. εἰσὶ δὲ οἱ τοῦ θεοῦ κλιμακτῆρες ἔτος δ′, ζ′, ι′, ιϛ′, κ′, λα′, μβ′, να′, ξα′, ξθ′, οβ′, οζ′, οθ′. ὁ δὲ ἐπὶ τοῦ τρίτου γεννώμενος ἔσται κεχαριτωμένος καὶ πεπαιδευμένος, πολύφιλος, τρυφητής, ἕξει δὲ σίνος ἐν τῷ σώματι καὶ ὄψεται θάνατον οἰκείων καὶ γυναικός, ἕξει δὲ τὸ ζῆν ἐν ποταμοῖς καὶ θαλάσσῃ καὶ τὰ τῶν γονέων μειώσει, φιλονεικήσει δὲ πρὸς ὑπερέχοντας καὶ γαμήσει προβεβηκυῖαν, εἰ δὲ ἐπιθεωρήσει ἀγαθοποιὸς πολλὰ κτήσεται καὶ ἀναλώσει εἰς τρυφήν. τὰ δὲ σημεῖα αὐτοῦ· ξανθοειδὴς ἔσται καὶ αἰλουρόφθαλμος. οἱ δὲ κλιμακτῆρες τοῦ θεοῦ ἔτος β′, ϛ′, θ′, ιβ′, κα′, λα′, μβ′, να′, ξζ′, οδ′, π′· ὁ δὲ θάνατος ὀξύς.

31 ἐπὶ δὲ τοῦ μεσεμβολήματος ὁ γεννώμενος αὐτόχειρ ἑαυτοῦ ἔσται ἢ καὶ ποτίμῳ φαρμάκῳ τελευτήσει ἢ καὶ ἀπάγξεται ἢ κατακρημνισθήσεται ἢ θηρίων βορὰ ἔσται ἢ ἀποκεφαλισθήσεται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ οὐδὲ ταφῆς ἀξιοῦται. οἱ δὲ αὐτοῦ κλιμακτῆρες τὸ πρὸ αὐτοῦ. 〈β′〉 Περὶ δυνάμεως τῶν ἑπτὰ πλανωμένων Ἀκόλουθον ἂν εἴη προσλαβεῖν περὶ τῆς τῶν ζ πλανωμένων δυνάμεως· πρὸς γὰρ ταύτην καὶ ἡ τῶν ἀπλανῶν ἀναφέρεται. ὁ μὲν οὖν Ἥλιος κατείληπται θερμαίνων ἅμα καὶ ξηραίνων. ἡ δὲ Σελήνη ὑγραίνει καὶ πεπαίνει ὥσπερ τὰ σώματα μετὰ τοῦ ἠρέμα θερμαίνειν. ὁ δὲ Κρόνος καταψύχει καὶ ἠρέμα ξηραίνει. ὁ δὲ Ἄρης ξηραίνει μάλιστα καὶ καίει. ὁ δὲ Ζεὺς εὔκρατον τὸ ποιητικὸν ἔχει, θερμαίνων ἅμα καὶ ὑγραίνων. καὶ ὁ τῆς Ἀφροδίτης δὲ τῶν αὐτῶν ἐστι κατὰ τὸ εὔκρατον ποιητικός. ὁ δὲ τοῦ Ἑρμοῦ ποτε μὲν ξηραντικός, ποτὲ δὲ ὑγραντικός. Τούτων δὲ ἀγαθοποιοὶ μέν εἰσι Ζεύς, Ἀφροδίτη, Σελήνη, κακοποιοὶ δὲ Κρόνος, Ἄρης, μέσοι δὲ Ἥλιος καὶ Ἑρμῆς. Καὶ ἀρρενικοὶ μὲν Ἥλιος, Κρόνος, Ζεύς, Ἄρης, θηλυκοὶ δὲ Σελήνη, Ἀφροδίτη, ὁ δὲ τοῦ Ἑρμοῦ ἐπίκοινος. ἔτι μὴν καὶ παρὰ τοὺς τοῦ Ἡλίου σχηματισμοὺς ἀρρενοῦνται καὶ θηλύνονται· ἐν μὲν γὰρ τοῖς ἀπ᾽ ἀνατολῆς μέχρι μεσουρανήσεως ἢ ἀπὸ δύσεως μέχρι τῆς ὑπὸ γῆν ἀντιμεσουρανήσεως σχηματισμοῖς ὡς ἀπηλιωτικοῖς ἀρρενοῦσθαι σημαίνει, ἐν δὲ τοῖς λοιποῖς δυσὶ τεταρτημορίοις ὡς λιβυκοῖς θηλύνεσθαι.

32 Καὶ ἡμερινοὺς δὲ εἰρήκασιν Ἥλιον, Κρόνον, Δία, νυκτερινοὺς δὲ Σελήνην, Ἀφροδίτην, Ἄρεα, ὁ δὲ τοῦ Ἑρμοῦ ἐπίκοινος. 〈γ′〉 Περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων δυνάμεως Κατείληπται δὲ καὶ ἡ τῶν ἀπλανῶν ἀστέρων δύναμίς τε καὶ φύσις κατὰ τὸ ὅμοιον τοῖς πλανωμένοις ὑποσημαινόντων τῷ χρώματι καθὼς οἱ ἀρχαῖοι καὶ ὁ θεῖος Πτολεμαῖος ἐκτίθεται. Τοῦ Κριοῦ οἱ ἐν τῇ κεφαλῇ τὸ ποιητικὸν ἔχουσι κεκραμένον τῇ τε τοῦ Ἄρεως καὶ τῇ τοῦ Κρόνου δυνάμει, οἱ δὲ ἐν τῷ στόματι τῇ τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῇ τοῦ Κρόνου, οἱ δὲ ἐν τῷ ὀπισθίῳ ποδὶ τῇ τοῦ Ἄρεως, οἱ δὲ ἐπὶ τῆς οὐρᾶς τῇ τῆς Ἀφροδίτης. Τῶν ἐν τῷ Ταύρῳ ἀστέρων οἱ μὲν ἐν τῇ κεφαλῇ ὁμοίαν ἔχουσι τὴν κρᾶσιν τῇ τε τῆς Ἀφροδίτης καὶ ἠρέμα τῇ τοῦ Κρόνου, οἱ δὲ ἐν τῇ Πλειάδι τῇ τε τῆς Σελήνης καὶ τῇ τοῦ Ἄρεως, τῶν δὲ ἐν τῇ κεφαλῇ ὁ μὲν λαμπρὸς τῆς Ὑάδος καὶ ὑπόκιρρος τῇ τοῦ Ἄρεως. Τῶν δὲ ἐν τοῖς Διδύμοις οἱ μὲν ἐπὶ τῶν ποδῶν τὴν ὁμοίαν κρᾶσιν ἔχουσι τῇ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῇ τῆς Ἀφροδίτης, οἱ δὲ περὶ τοὺς μηροὺς λαμπροὶ τῇ τοῦ Κρόνου, τῶν δὲ ἐν ταῖς κεφαλαῖς δύο λαμπρῶν ὁ μὲν ἐν τῇ προηγουμένῃ τῇ τοῦ Ἑρμοῦ (καλεῖται μέντοι καὶ Ἀπόλλωνος), ὁ δὲ ἐν τῇ ἑπομένῃ τῇ τοῦ Ἄρεως (καλεῖται δὲ καὶ Ἡρακλέους).

33 Τῶν δὲ ἐν τῷ Καρκίνῳ οἱ μὲν ἐπὶ τῶν ποδῶν δύο τῆς αὐτῆς ἐνεργείας εἰσὶ ποιητικοὶ τῇ τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῇ τοῦ Ἄρεως, οἱ δὲ ἐν ταῖς χηλαῖς τῇ τε τοῦ Κρόνου καὶ τῇ τοῦ Ἑρμοῦ, ἡ δ᾽ ἐν τῷ στήθει νεφελοειδὴς συστροφή, καλουμένη δὲ Φάτνη, τῇ τοῦ Ἄρεως καὶ τῆς Σελήνης, οἱ δὲ ἑκατέρωθεν αὐτῆς δύο, καλούμενοι δὲ Ὄνοι, τῇ τοῦ Ἄρεως καὶ τῇ τοῦ Ἡλίου. Τῶν δὲ τοῦ Λέοντος οἱ μὲν ἐπὶ τῆς κεφαλῆς δύο ὅμοιον ποιοῦσι τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν τῷ τραχήλῳ τρεῖς τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ, ὁ δὲ ἐπὶ τῆς καρδίας λαμπρός, καλούμενος δὲ Βασιλίσκος, τῷ τοῦ Ἄρεως καὶ τῷ τοῦ Διός, ὁ δὲ ἐν τῇ ὀσφύϊ καὶ ἐπὶ τῆς οὐρᾶς λαμπρὸς τῷ τοῦ Κρόνου καὶ τῷ τῆς Ἀφροδίτης, ὁ δὲ ἐν τοῖς μηροῖς τῷ τε τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ. Τῶν δὲ κατὰ τὴν Παρθένον οἱ μὲν ἐν τῇ κεφαλῇ καὶ ὁ ἐπ᾽ ἄκρας τῆς νοτίου πτέρυγος ὅμοιον ἔχουσι τῷ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, οἱ δὲ λοιποὶ τῆς πτέρυγος λαμπροὶ καὶ οἱ κατὰ τὰ περιζώματα τῷ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, ὁ δὲ ἐν τῇ βορείῳ πτέρυγι λαμπρός, καλούμενος δὲ Προτρυγητήρ, τῷ τοῦ Κρόνου καὶ τῷ τοῦ Ἑρμοῦ, ὁ δὲ καλούμενος Στάχυς τῷ τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Ἄρεως. Τῶν δὲ χηλῶν τοῦ Σκορπίου οἱ μὲν ἐν ἄκραις αὐταῖς ὡσαύτως διατιθέασι τῷ τε τοῦ Διὸς καὶ τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐν μέσαις τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Ἄρεως. Τῶν δὲ ἐν τῷ σώματι τοῦ Σκορπίου οἱ μὲν ἐν τῷ μετώπῳ τῷ τοῦ Ἄρεως καὶ ἠρέμα τῷ τοῦ Κρόνου, οἱ δὲ ἐν τῷ σώματι τρεῖς ὧν ὁ μέσος ὑπόκιρρος (καλεῖται δὲ Ἀντάρης) τῷ τοῦ Ἄρεως καὶ ἠρέμα τῷ τοῦ Διός, οἱ δὲ ἐν τοῖς σπονδύλοις τῷ τοῦ Κρόνου καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, οἱ δὲ ἐπὶ τοῦ κέντρου τῷ τε τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἑρμοῦ καὶ τῷ τοῦ Ἄρεως καὶ ἡ λεγομένη νεφελοειδὴς συστροφὴ τῷ τε τοῦ Ἄρεως καὶ τῆς Σελήνης.

34 Τῶν δὲ κατὰ τὸν Τοξότην ὁ μὲν ἐπὶ τῆς ἀκίδος τοῦ βέλους τῷ τοῦ Ἄρεως καὶ τῇ Σελήνῃ, οἱ δὲ περὶ τὸ τόξον καὶ τὴν λαβὴν τῆς χειρὸς τῷ τοῦ Διὸς καὶ τῷ τοῦ Ἄρεως, ἡ δὲ ἐν τῷ προσώπῳ συστροφὴ τῷ τε τοῦ Ἡλίου καὶ τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν ταῖς πτέρυξιν ἤτοι ἐφαπτίσι καὶ ἐν τῷ νώτῳ τῷ τοῦ Διὸς καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐν τοῖς ποσὶ τῷ τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου, τὸ δὲ ἐπὶ τῆς οὐρᾶς τετράπλευρον τῷ τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Κρόνου. Τῶν δὲ Αἰγοκέρωτος οἱ μὲν ἐπὶ τῶν κεράτων ἰσοδυναμοῦσι τῷ τε τῆς Ἀφροδίτης καὶ ποσῶς τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν τῷ στόματι τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, οἱ δὲ ἐν τοῖς ποσὶ καὶ ἐν τῇ κοιλίᾳ Ἄρει καὶ Ἑρμῇ, οἱ δὲ ἐν τῇ οὐρᾷ Κρόνῳ καὶ Διΐ. Τοῦ δὲ Ὑδροχόου οἱ μὲν ἐν τοῖς ὤμοις καὶ τῇ ἀριστερᾷ χειρὶ καὶ τῷ ἱματίῳ Κρόνῳ καὶ Ἑρμῇ, οἱ δὲ ἐπὶ τῶν μηρῶν Ἑρμῇ καὶ ἠρέμα Κρόνῳ, οἱ δὲ ἐν τῇ ῥύσει τοῦ ὕδατος Κρόνῳ καὶ ἠρέμα Διΐ. Τῶν δὲ Ἰχθύων οἱ μὲν ἐν τῇ κεφαλῇ τοῦ νοτίου Ἰχθύος ὅμοιοί εἰσι τῷ τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τοῦ Κρόνου, οἱ δὲ ἐν τῷ στόματι τῷ τοῦ Διὸς καὶ τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐπὶ τῆς οὐρᾶς καὶ ἐπὶ τοῦ νοτίου λίνου τῷ τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐν τῷ σώματι καὶ τῇ ἀκάνθῃ τοῦ βορείου Ἰχθύος τῷ τε τοῦ Διὸς καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, οἱ δὲ ἐν τῷ βορείῳ λίνῳ τῷ τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, ὁ δὲ ἐπὶ τοῦ συνδέσμου λαμπρὸς τῷ τε τοῦ Ἄρεως καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ.

35 〈δʹ〉 Περὶ τῶν βορειοτέρων τοῦ ζῳδιακοῦ Τῶν δὲ κατὰ τὸν βόρειον πόλον μορφώσεων οἱ μὲν περὶ τὴν Μικρὰν Ἄρκτον λαμπροὶ ὅμοιοί εἰσι τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, οἱ δὲ τῆς Μεγάλης Ἄρκτου τῷ τοῦ Ἄρεως, ἡ δὲ ὑπὸ τὴν οὐρὰν αὐτῆς τοῦ πλοκάμου συστροφὴ τῷ τῆς Σελήνης καὶ τῷ τῆς Ἀφροδίτης, οἱ δὲ ἐν τῷ Δράκοντι λαμπροὶ τῷ τοῦ Κρόνου καὶ τῷ τοῦ Ἄρεως, οἱ δὲ τοῦ Κηφέως τῷ τοῦ Κρόνου καὶ τῷ τοῦ Διός, οἱ δὲ περὶ τὸν Βοώτην ἐοίκασιν Ἑρμῇ καὶ Κρόνῳ, ὁ δὲ λαμπρὸς καὶ ὑπόκιρρος καλούμενος Ἀρκτοῦρος Ἄρει καὶ Διΐ, οἱ δὲ ἐν τῷ Στεφάνῳ Ἀφροδίτῃ καὶ Ἑρμῇ, οἱ δὲ κατὰ τὸν Ἐν γόνασιν Ἑρμῇ, οἱ δὲ ἐν τῇ Λύρᾳ καὶ ἐν τῷ Ὄρνιθι Ἀφροδίτῃ καὶ Ἑρμῇ, οἱ δὲ κατὰ τὴν Κασσιέπειαν Κρόνῳ καὶ Ἀφροδίτῃ, οἱ δὲ κατὰ τὸν Περσέα Διΐ καὶ Κρόνῳ, ἡ δὲ ἐν τῇ λαβῇ τῆς μαχαίρας συστροφὴ τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν τῷ Ἡνιόχῳ λαμπροὶ Ἄρει καὶ Ἑρμῇ, οἱ δὲ κατὰ τὸν Ὀφιοῦχον Κρόνῳ καὶ ποσῶς Ἀφροδίτῃ, οἱ δὲ περὶ τὸν αὐτὸν Ὄφιν Κρόνῳ καὶ Ἄρει, οἱ δὲ κατὰ τὸν Ὀιστὸν Ἄρει καὶ ποσῶς Ἀφροδίτῃ, οἱ δὲ τοῦ Ἀετοῦ Ἄρει καὶ Διΐ, οἱ δὲ τοῦ Δελφῖνος Κρόνῳ καὶ Ἄρει, οἱ δὲ τοῦ Ἵππου Ἄρει καὶ Ἑρμῇ, οἱ δὲ τῆς Ἀνδρομέδας Ἀφροδίτῃ, οἱ δὲ ἐν τῷ Τριγώνῳ τῷ περὶ τὸν Κριὸν Ἑρμῇ. 〈εʹ〉 Περὶ τῶν νοτιωτέρων τοῦ ζῳδιακοῦ Τῶν δὲ ἐν τοῖς νοτίοις τοῦ ζῳδιακοῦ μορφώμασιν ὁ μὲν ἐν τῷ στόματι τοῦ Νοτίου Ἰχθύος ὁμοίαν ἔχει τὴν ἐνέργειαν τῷ τῆς Ἀφροδίτης καὶ τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ περὶ τὸ Κῆτος τῷ τοῦ Κρόνου, τῶν δὲ περὶ τὸν Ὠρίωνα οἱ μὲν ἐπὶ τῶν ὤμων τῷ τοῦ Ἄρεως καὶ τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ λοιποὶ λαμπροὶ τῷ τε τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου, τῶν δὲ ἐν τῷ Ποταμῷ ὁ μὲν ἔσχατος καὶ λαμπρὸς τῷ τοῦ Ἄρεως, οἱ δὲ λοιποὶ τῷ τοῦ Κρόνου, οἱ δὲ ἐν τῷ Λαγωῷ τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Ἑρμοῦ, τῶν δὲ περὶ τὸν Κύνα οἱ μὲν ἄλλοι τῷ τῆς Ἀφροδίτης, ὁ δὲ ἐπὶ τοῦ στόματος λαμπρὸς τῷ τοῦ Διὸς καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, ὁ δὲ ἐν τῷ Πρόκυνι λαμπρὸς τῷ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, οἱ δὲ κατὰ τὸν Ὕδρον λαμπροὶ τῷ τε τοῦ Κρόνου καὶ τῷ τῆς Ἀφροδίτης, οἱ δὲ περὶ τὸν Κρατῆρα τῷ τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ περὶ τὸν Κόρακα τῷ τε τοῦ Ἄρεως καὶ τῷ τοῦ Κρόνου, οἱ δὲ τῆς Ἀργοῦς λαμπροὶ τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Διός, τῶν δὲ περὶ τὸν Κένταυρον οἱ μὲν ἐν τῷ ἀνθρωπίνῳ σώματι τῷ τῆς Ἀφροδίτης καὶ τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν τῷ ἱππείῳ τῷ τῆς Ἀφροδίτης καὶ τῷ τοῦ Ἄρεως, οἱ δὲ περὶ τὸ Θηρίον τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν τῷ Θυμιατηρίῳ τῷ τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Κρόνου, οἱ δὲ ἐν τῷ Νοτίῳ Στεφάνῳ λαμπροὶ τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Ἑρμοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

36 (1t) Αἱ μὲν οὖν τῶν ἀπλανῶν ἀστέρων καθ' ἑαυτοὺς δυνάμεις τοιαύτης ἔτυχον παρὰ τῶν παλαιῶν παρατηρήσεως. ἐκεῖνο δὲ νοείσθω, ὅτι τούτων τῶν ἀστέρων ἕκαστοι συνοικειοῦνται ταῖς χώραις ὅσαις καὶ τὰ τοῦ ζῳδιακοῦ κύκλου μέρη καθ' ὧν ἔχουσιν οἱ ἀπλανεῖς τὰς προσνεύσεις ἐπὶ τοῦ διὰ τῶν πόλων καὶ τοῦ γραφομένου δι' αὐτῶν κύκλου φαίνεται ποιούμενα τὴν συμπάθειαν.

37 〈ς′〉 Περὶ τῶν τριγώνων ὡς Δωρόθεος Κριὸς χαιτήεις τε Λέων τόξοιό τε Ῥυτήρ ἤματι Ἠελίοιο, Διὸς δέ τε νυκτὶ ἔασιν ἀλλάγδην, αἰνὸς δὲ Κρόνος τριτάτην λάχεν αἶσαν. Ταύρου, Παρθενικῆς τε καὶ Αἰγόκερω κρατέουσιν ἤματι Ἀφρογενής, νυκτὶ δέ τε δῖα Σελήνη, καὶ τρίτατος μετὰ τοῖσι θεὸς πολέμοισιν ἀνάσσων, ἐν δέ νυ Παρθενικῇ Μαίης προσλάμβανε κοῦρον. ἐν Διδύμοις, Ζυγῷ τε καὶ Ὑδροχόῳ κρυόεντι ἠμάτιος Φαίνων, ἀτὰρ ἔννυχος Ἀργεϊφόντης, τούτων δ' ὑστατίην Κρονίδης μοιράσατο τάξιν. Καρκίνον αὖτε λάχεν καὶ Σκορπίον ἠδέ τε λοίσθους Ἰχθύας ἠματί 〈η〉 Κύπρις, Πυρόεις δέ τε νυκτός, καὶ μετὰ τοὺς ἑλικῶπις ἔχει βασίλισσα Σελήνη. 〈ζ′〉 Ἐν οἷς χαίρουσι τόποις οἱ ἀστέρες Ἐκ δ' ἄρα τοι τούτων μᾶλλον Κρόνος Ὑδρηχόῳ, Ζεὺς δ' ἐνὶ Τοξευτῇ καὶ Σκορπίῳ ἥδεται Ἄρης, Κύπρις δ' ἐν Ταύρῳ γάνυται νόον, ἐν δέ νυ Κούρῃ Ἑρμείας· εἷς δ' ἔστι δόμος φωστῆρος ἑκάστου.

38 〈η′〉 Περὶ ὑψωμάτων Ἠέλιος Κριοῖο κατ' ἐννέα καὶ δέκα μοίρας ὑψοῦται, Μήνη δὲ περὶ τριτάτην Ταύροιο, εἰκοστῇ δὲ μιῇ Ζυγοῦ Κρόνος, Αἰγίοχος δὲ Καρκίνου ἐν δεκαπέντε, καθ' ἑβδομάδος δὲ τετάρτης Ἄρης Αἰγόκερω, περὶ δ' ἐννέα τρισσάκι Κύπρις Ἰχθύσι, Παρθενικῇ 〈δὲ〉 τρίτης κατὰ πεντάδος Ἑρμῆς. αἱ δὲ ταπεινώσεις ὑψώματα ἐν διαμέτρῳ. 〈θ′〉 Περὶ προστασσόντων καὶ ἀκουόντων Προστάσσοντα καὶ ἀκούοντα λέγονται τὰ τμήματα κατ' ἴσην διάστασιν ἀπὸ τοῦ αὐτοῦ καὶ ὁποτέρου τῶν ἰσημερινῶν σημείων ἐσχηματισμένα· καὶ τὰ μὲν ἐν τῷ θερινῷ ἡμικυκλίῳ προστάσσοντα, τὰ δὲ ἐν τῷ χειμερινῷ ἀκούοντα. 〈ι′〉 Περὶ ἰσοδυναμούντων καὶ βλεπόντων Ἰσοδυναμεῖν δὲ λέγεται καὶ βλέπειν ἄλληλα τὰ μέρη τὰ τοῦ αὐτοῦ καὶ ὁποτέρου τῶν τροπικῶν σημείων τὸ ἴσον ἀφεστῶτα· ἔστι δὲ φίλα καὶ οἰκεῖα ταῦτα λέγεσθαι διὰ τὸ καθ' ἑκάτερον αὐτῶν τοῦ Ἡλίου γινομένου τάς τε ἡμέρας ταῖς ἡμέραις καὶ τὰς νύκτας ταῖς νυξὶ καὶ τὰ διαστήματα τῶν οἰκείων ὡρῶν ἰσοχρονίως ἀποτελεῖσθαι, καὶ διὰ τὸ ἐκ τῶν αὐτῶν μερῶν τοῦ ὁρίζοντος ἀνατέλλειν καὶ εἰς τὰ αὐτὰ καταδύνειν. 〈ια′〉 Περὶ ἀσυνδέτων Ἀσύνδετα δὲ καὶ ἀπηλλοτριωμένα τμήματα ὅσα πρὸς ἄλληλα, ὡς προείρηται, τουτέστι μήτε ἀκούοντα ἢ προστάσσοντα ἢ βλέποντα ἢ ἰσοδυναμοῦντα ἢ τρίγωνα ἢ τετράγωνα ἢ ἑξάγωνα· καὶ ἔσται ταῦτα δι' ἑνὸς ἢ διὰ πέντε δωδεκατημορίων.

39 (1t) 〈ιβ′〉 Περὶ διαφορᾶς τόπων Καλοὶ δέ εἰσι τόποι ἐν οἷς δεῖ ἑστάναι αὐτούς· πρῶτος μὲν ὁ ὡροσκόπος, δεύτερος μεσουράνημα, γ′ ὁ ἀγαθὸς δαίμων, δ′ ἡ ἀγαθὴ τύχη, μετὰ τούτους τὸ δῦνον, εἶτα τὸ ὑπόγειον, ἐπὶ πᾶσι δὲ ὁ ἔννατος τόπος ὁ καλούμενος θεός· καὶ οἱ μὲν καλοὶ τόποι οὗτοι. κακοὶ δὲ ὁ β′, ὁ γ′ ἀπὸ τοῦ ὡροσκόπου καὶ ὁ ὄγδοος· οἵ τε λοιποὶ δύο ὅ τε ἕκτος καὶ 〈ὁ〉 δωδέκατος κάκιστοι. 〈ιγ′〉 Περὶ οἰκοδεσπότου καὶ συνοικοδεσπότου Οἰκοδεσπότης λέγεται ὁ τοῦ οἴκου κύριος, συνοικοδεσπότης δὲ ὁ συμμετέχων τοῦ οἴκου ὅταν τοῦ μὲν οἶκος ᾖ, τοῦ δὲ ὕψωμα ἢ καὶ τρίγωνον ἢ καὶ ὅριον. ὁ δὲ τῆς γενέσεως οἰκοδεσπότης ἐστὶν ὁ πλείονας λόγους ἔχων τῶν πέντε, τουτέστιν οἴκου, ὑψώματος, τριγώνου, ὁρίων, φάσεως πρὸς τὸν Ἥλιον. 〈ιδ′〉 Περὶ συναφῆς καὶ ἀπορροίας Συναφὴ καὶ κόλλησίς ἐστιν ὅταν ἤδη συνῶσιν ἀλλήλοις οἱ ἀστέρες ἢ καὶ ἐντὸς τριῶν μοιρῶν μέλλωσι συνάπτειν· ἡ δὲ Σελήνη λέγεται καὶ οὖσα ἐντὸς τῶν ιγ μοιρῶν μέλλειν συνάπτειν.

40 ἀπορρέει δὲ ὁ ἀστὴρ ἀπὸ τοῦ ἑτέρου ἤτοι σωματικῶς ἢ μετὰ τρεῖς μοίρας. 〈ιε′〉 Περὶ περισχέσεως Περισχεθῆναι λέγεται οἷον τὴν Παρθένον Λέων καὶ Ζυγὸς περιέχει. ὅταν οὖν Ἄρης ἐν Κριῷ τυχὼν πέμψῃ τὰς ἀκτῖνας ἐπὶ μὲν Ζυγὸν κατὰ διάμετρον, ἐπὶ δὲ Λέοντα κατὰ τρίγωνον, ἐὰν τὴν Σελήνην τύχῃ εἶναι ἐν Παρθένῳ ἢ τὸν ὡροσκόπον μηδενὸς τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγαθοποιῶν ὁρῶντος, φαῦλον τὸ σχῆμα καὶ ὀλιγοχρονίους ποιεῖ. λέγεται δὲ ἐμπερίσχεσις καὶ οὕτως, ὅταν δύο ἀστέρες ἀνὰ μέσον ἔχωσι τὴν Σελήνην ἢ τὸν ὡροσκόπον μηδενὸς ἄλλου εἰς τὸ μεταξὺ παρεμβάλλοντος ἀκτῖνα, χαλεπὴ δέ ἐστιν αὕτη ἡ ἐμπερίσχεσις ὅταν ὑπὸ κακοποιῶν γένηται. ⟨ιϛʹ⟩ Περὶ ἀκτινοβολίας Ἀκτινοβολεῖ δὲ πᾶς ἀστὴρ ὁ ἑπόμενος ἐν τοῖς εὐωνύμοις τὸν προηγούμενον ἐν τοῖς δεξιοῖς, οἷον ὁ ἐν Κριῷ τὸν ἐν Αἰγοκέρωτι τετραγώνῳ δεξιῷ, ἀκτινοβολεῖ ὁμοίως καὶ τὸν ἐν Τοξότῃ τριγώνῳ δεξιῷ. ὁ δὲ προηγούμενος τὸν ἑπόμενον ἐφορᾷ μὲν καὶ καθυπερτερεῖ φερόμενος ἐπ' αὐτόν, οὐκ ἀκτινοβολεῖ δέ· πάσης γὰρ αὐγῆς ἡ μὲν ὄψις εἰς τὸ ἔμπροσθεν φέρεται, ἡ δὲ ἀκτὶς εἰς τοὐπίσω. ὁ δὲ καθυπερτερῶν καὶ ἐπιδεκατεύων ὁ αὐτός ἐστιν· ὁ γὰρ ἐν Κριῷ καθυπερτερεῖ καὶ ἐπιδεκατεύει τὸν ἐν τῷ Καρκίνῳ. ⟨ιζʹ⟩ Περὶ δορυφορίας Δορυφορίας δὲ γένη ἐστὶ τρία.

41 (1t) πρῶτον ἐάν τινα ἐν οἴκῳ ὄντα ἰδίῳ ἢ ὑψώματι ἐπίκεντρον ἕτερος ἐν οἴκῳ ἰδίῳ κείμενος ἢ ὑψώματι κατοπτεύῃ ἐπὶ τὴν προαναφερομένην αὐτοῦ μοῖραν τὴν ἀκτῖνα βαλών, οἷον ἐὰν ἐν Λέοντι τὸν Ἥλιον ὄντα ὁ Κρόνος ἐν Ὑδροχόῳ ἴδῃ κατὰ διάμετρον ἢ Ζεὺς ἐν Τοξότῃ ⟨κατὰ⟩ τρίγωνον ἢ πάλιν Δία ἐν Καρκίνῳ Ἄρης ὢν ἐν Αἰγόκερῳ ἴδῃ. δεύτερον γένος τὸ κατὰ τὴν ἀκτινοβολίαν λεγόμενον, οἷον ἐὰν ἐπίκεντρον ἐν τῷ ὡροσκόπῳ φωστῆρα ἢ τῷ μεσουρανήματι κἂν ἐν ἀλλοτρίῳ οἴκῳ κείμενον τῆς αἱρέσεως ἀστὴρ ἀκτινοβολῇ, Ἡλίου μὲν εἰς τὴν προαναφερομένην μοῖραν, Σελήνης δὲ εἰς τὴν ἑξῆς ἐφ' ἣν φέρεται, κατ' ἰσοσκελῆ γραμμὴν τὴν ἀκτῖνα βαλών· πᾶσαι δὲ αἱ τρίγωνοι δορυφορίαι ἀμείνονες τῶν τετραγώνων καὶ διαμέτρων, αἱ δὲ ἑξάγωνοι ἀσθενέστεραι. τρίτον γένος ἐὰν ἐπικείμενον τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι ἀστέρα ἡμερινῇ μὲν γενέσει ἡμερινοί, νυκτερινῇ δὲ νυκτερινοὶ δορυφορήσωσι προηγούμενοι ἢ ἑπόμενοι· κατὰ τοῦτο δὲ τὸ σχῆμα Ἥλιος μὲν δορυφορηθήσεται ὑπὸ τοῦ προαναφερομένου, Σελήνη δὲ ὑπὸ τῶν ἐντὸς ἑπτὰ μοιρῶν. τὸν μέντοι Ἥλιον οὐ βλάπτουσι δορυφοροῦντες παραιρέται ἀφεστῶτες αὐτοῦ ιε μοίρας καὶ ὄντες ἀνατολικοί· κατὰ τὰ αὐτὰ δὴ καὶ αὐτὸς ὁ Ἥλιος δορυφορεῖν δύναται τὸν συναιρεστὴν ἐπίκεντρον, ἥ τε Σελήνη ὁμοίως. παρ' αἵρεσιν δὲ γίνονται δορυφορίαι ὅταν ἡμερινοὶ μὲν τοὺς νυκτερινοὺς δορυφορήσωσι, νυκτερινοὶ δὲ τοὺς ἡμερινούς· ἐὰν δὲ ὑπὸ ἀγαθοποιῶν ἡ δορυφορία γένηται, οὐδὲ οὕτως ἀσήμους ποιεῖ. ⟨ιηʹ⟩ Περὶ τῶν δωδεκατημορίων τῶν κατὰ τὰς μοίρας Καλοῦσι δωδεκατημόριον ἑκάστου ἀστέρος εἰς ὃ ἂν ζῴδιον ἐκπέσῃ ἡ τῶν μοιρῶν αὐτοῦ ποσότης δωδεκάκις γινομένη καὶ ἐκβληθεῖσα ἀφ' ἧς ἔχει μοίρας εἰς τὰ ἑπόμενα τῶν ζῳδίων, ἑκάστῳ τούτων λογιζομένων ἡμῶν μοίρας τριάκοντα.

42 (1t) ⟨ιθʹ⟩ Περὶ ἰδιοπροσωπίας καὶ λαμπηνῶν καὶ θρόνων Λέγονται δὲ καὶ ἰδιοπροσωπεῖν ὅταν ἕκαστος αὐτῶν τὸν αὐτὸν διασώσῃ ⟨πρὸς⟩ Ἥλιον ἢ καὶ Σελήνην σχηματισμὸν ὅνπερ καὶ ὁ οἶκος αὐτοῦ πρὸς τοὺς ἐκείνων οἴκους, οἷον ὅταν ὁ τῆς Ἀφροδίτης λόγου ἕνεκεν ἑξάγωνον ποιῇ πρὸς τὰ φῶτα διάστασιν, ἀλλὰ πρὸς Ἥλιον μὲν ἑσπέριος ὤν, πρὸς Σελήνην δὲ ἑῷος ἀκολούθως τοῖς οἴκοις. ἐν ἰδίαις δὲ λαμπήναις καὶ θρόνοις καὶ τοῖς τοιούτοις λέγονται ὅταν κατὰ δύο ἢ καὶ πλείους τῶν προεκτεθειμένων τρόπων, τουτέστιν οἴκῳ, ὁρίῳ, τριγώνῳ, ἀνατολῇ, ὑψώματι, συνοικειούμενοι τυγχάνωσι τοῖς τόποις ἐν οἷς καταλαμβάνονται· τότε μάλιστα διαμηκόταται γίνονται. ⟨κʹ⟩ Περὶ καθολικῶν ἐπισκέψεων καὶ ἀποτελουμένων Τούτων οὕτως προεκτεθειμένων ἀκόλουθον ἂν εἴη κατὰ τὸ κεφαλαιῶδες ἑπομένους τῷ θείῳ Πτολεμαίῳ λογικῶς ἐπελθεῖν τὰ καθόλου γινόμενα χώραις ἢ πόλεσι συμπτώματα.

43 ταῦτα δὲ μάλιστα συμβαίνει παρὰ τὰς ἐκλειπτικὰς φαντασίας Ἡλίου τε καὶ Σελήνης τὰς εὐαισθητοτέρας καὶ τὰς ἐν αὐταῖς παρόδους τῶν ἀστέρων καὶ τοὺς τούτων στηριγμοὺς καὶ φάσεις. Ἐπισκεψόμεθα οὖν τὰ τοιαῦτα τὸν τρόπον τοῦτον. πρῶτον θεασόμεθα ποίαις χώραις ἢ πόλεσιν αἱ κατὰ μέρος ἐκλείψεις καὶ τῶν τριῶν δὲ πλανωμένων Κρόνου, Διός, Ἄρεως οἱ στηριγμοὶ καὶ φάσεις τὰς ἐπισημασίας ποιοῦσιν, ἔπειτα τὸν καιρὸν τῶν ἐπισημασιῶν καὶ τῆς παρατάσεως τὴν ποσότητα δεήσει προγινώσκειν καὶ περὶ ποῖα τῶν γενῶν ἀποβήσεται τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σύμπτωμα, τελευταῖον δὲ τὴν αὐτοῦ τοῦ τελεσθησομένου ποιότητα θεωρήσομεν. Προσήκει τοίνυν πρὸς μὲν χώρας ἢ πόλεις σκοπεῖν τὸ τῆς ἐκλείψεως δωδεκατημόριον ποῖαι τούτῳ συνοικειοῦνται κατὰ τρίγωνον σχῆμα ἢ καὶ τετράγωνον, καὶ ὁμοίως ποίων πόλεων αἱ φωσφορίαι καὶ ὡροσκοπίαι τῷ τόπῳ τῆς ἐκλείψεως συμφωνοῦσιν· ἐφ’ ὧν δὲ οἱ χρόνοι τῶν κτίσεων οὐχ εὑρίσκονται, τῶν κατὰ καιρὸν ἀρχόντων ἢ βασιλευόντων τὸ μεσουράνημα ἐπισκοπητέον εἰ συμπάθειαν ἔχει πρὸς τὸν αὐτὸν τόπον. ἐφ’ ὅσων δὴ καὶ εὑρίσκωμεν χωρῶν ἢ πόλεων τὴν προκειμένην συνοικείωσιν, περὶ πάσας μὲν ὡς ἐπίπαν ὑπονοητέον ἔσεσθαι τὸ σύμπτωμα, ἐξαιρέτως δὲ περὶ τὰς πρὸς αὐτὸ τὸ τῆς ἐκλείψεως δωδεκατημόριον λόγον ἐχούσας καὶ ἐν ὅσαις αὐτῶν ὑπὲρ γῆν οὖσα ἡ ἔκλειψις ἐφαίνετο. Τοὺς δὲ χρόνους τῆς παρατάσεως τῆς ὅλης ἐκλείψεως λογισάμενοι καθ’ ἑκάστην οἴκησιν ἐν αἷς αἱ ἐκλείψεις φαίνονται ὁπόσας εἶναι συμβαίνει ἰσημερινὰς ὥρας ἢ καὶ μέρη, ἐφ’ ἡλιακῆς μὲν ἐκλείψεως ἐπὶ τοσούτους ἐνιαυτοὺς ὑπονοήσομεν ὁλοσχερῶς τὸ ἀποτελούμενον, ἐπὶ δὲ σεληνιακῆς ἐπὶ τοσούτους ὁμοίως μῆνας.

44 ἡ δὲ τούτου ἐπίτασις ἐκ τῆς σχέσεως τοῦ ἐκλειπτικοῦ τόπου συνοραθήσεται· πρὸς μὲν γὰρ τῷ ἀπηλιωτικῷ ὁρίζοντι ὁ τόπος ἐκπεσὼν κατὰ τὸ πρῶτον τριτημόριον τοῦ ὅλου χρόνου τῆς ἐκλείψεως τὴν ἐπίτασιν τοῦ συμπτώματος ποιήσεται, πρὸς δὲ τῷ μεσουρανήματι κατὰ τὸ μέσον τριτημόριον, πρὸς δὲ τῷ λιβυκῷ ὁρίζοντι κατὰ τὸ τελευταῖον τριτημόριον. Αἱ δὲ κατὰ μέρος ἀνέσεις καὶ ἐπιτάσεις ληφθήσονται ἀπό τε τῶν ἀνὰ μέσον συζυγιῶν ὅταν κατὰ τῶν τὸ αἴτιον ἐμποιούντων ἢ τῶν σχηματιζομένων αὐτοῖς συμπίπτωσιν, καὶ ἀπὸ τῶν ἄλλων παρόδων ὅταν οἱ ποιητικοὶ τοῦ προτελέσματος ἀστέρες ἀνατολὰς ἢ δύσεις ἢ στηριγμοὺς ἢ ἀκρονύκτους φάσεις ποιῶνται συσχηματιζόμενοι τοῖς τὴν αἰτίαν ἔχουσι δωδεκατημορίοις, ἐπειδήπερ ἀνατέλλοντες μὲν ἢ στηρίζοντες ἐπιτάσεις ποιοῦνται τῶν συμπτωμάτων, δύνοντες δὲ καὶ ὑπὸ τὰς αὐγὰς ὄντες ἢ ἀκρονύκτους ποιούμενοι φάσεις ἄνεσιν ἐμποιοῦσι τῶν ἀποτελουμένων. Περὶ ποῖα δὲ τῶν γενῶν ἀποβήσεται τὸ σύμπτωμα γνωσόμεθα ἐκ τῆς τῶν ζῳδίων ἰδιοτροπίας καὶ μορφώσεως καθ’ ὧν ἂν τύχωσιν ὄντες οἵ τε τῶν ἐκλείψεων τόποι καὶ οἱ τὴν οἰκοδεσποτείαν λαμβάνοντες ἀστέρες πλανώμενοί τε καὶ ἀπλανεῖς τοῦ τε τῆς ἐκλείψεως δωδεκατημορίου καὶ τοῦ κατὰ τὸ κέντρον τὸ πρὸ τῆς ἐκλείψεως. λαμβάνεται δὲ ἡ τούτων οἰκοδεσποτεία ἐπὶ μὲν τῶν πλανωμένων οὕτως. ὁ γὰρ τοὺς πλείστους λόγους ἔχων πρὸς ἀμφοτέρους τοὺς ἐκκειμένους τόπους τόν τε τῆς ἐκλείψεως καὶ τὸν τοῦ ἑπομένου αὐτῷ κέντρου κατά τε τὰς ἔγγιστα φαινομένας συναφὰς ἢ ἀπορροίας καὶ σχηματισμοὺς καὶ ἔτι κατὰ τὴν κυρίαν τῶν οἴκων καὶ τριγώνων καὶ ὑψωμάτων καὶ ὁρίων, ἐκεῖνος λήψεται μόνος τὴν οἰκοδεσποτείαν.

45 εἰ δὲ μὴ εὑρεθῇ ὁ αὐτὸς κύριος τῆς τε ἐκλείψεως καὶ τοῦ κέντρου, ἀλλὰ δύο, τὸν τὰς τῶν ἀμφοτέρων πλείονας ἔχοντα συνοικειώσεις ἑλόμεθα προκρίνοντες τὸν τῆς ἐκλείψεως κύριον· εἰ δὲ πλείονες εὑρίσκοιντο καθ’ ἑκάτερον τόπον ἐφάμιλλοι, τὸν ἐπικεντρότερον ἢ χρηματιστικώτερον ἢ τῆς αἱρέσεως μᾶλλον ὄντα προκρινοῦμεν εἰς τὴν οἰκοδεσποτείαν. τῶν δὲ ἀπλανῶν ἐπιλεξόμεθα τὸν λαμπρὸν τόν τε αὐτῷ τῷ ἐκλειπτικῷ τόπῳ συγκεχρηματικότα ἐπὶ τῷ παρῳχηκότι κέντρῳ κατὰ τοὺς σχηματισμοὺς τῶν ἐννέα τρόπων καὶ τὸν ἐν τῇ ὥρᾳ τῆς ἐκλείψεως ἢ συνανατείλαντα ἢ συμμεσουρανήσαντα τῷ κατὰ τὰ ἑπόμενα κέντρῳ τοῦ τόπου τῆς ἐκλείψεως. Θεωρηθέντων δὲ οὕτως τῶν εἰς τὴν αἰτίαν τοῦ συμπτώματος παραλαμβανομένων ἀστέρων ἐπισκεψόμεθα τὰς τῶν ζῳδίων μορφώσεις ἐν οἷς ἥ τε ἔκλειψις καὶ οἱ τὴν κυρίαν λαμβάνοντες ἀστέρες τυγχάνουσιν· ἀπὸ γὰρ τῆς τούτων ἰδιοτροπίας τὸ γένος τῶν διατιθεμένων ὡς ἐπίπαν καταλαμβάνεται. τὰ μὲν γὰρ ἀνθρωπόμορφα ζῴδια κατά τε τὸν ζῳδιακὸν καὶ τοὺς ἀπλανεῖς περὶ τὸ τῶν ἀνθρώπων γένος τὸ σύμπτωμα παρέξει· τῶν δὲ χερσαίων τὰ μὲν τετράποδα περὶ τὰ ὅμοια, τὰ δὲ ἑρπυστικὰ περὶ τὰ ἕρποντα καὶ ὁλκὰ τῶν ζῴων, καὶ πάλιν τὰ μὲν θηριώδη περὶ τὰ ἄγρια καὶ βλαπτικὰ τῶν ἀνθρώπων, τὰ δὲ ἥμερα περὶ

τὰ πρὸς χρῆσιν καὶ χειροήθη, οἷον ἵππων, βοῶν, προβάτων καὶ τῶν τοιούτων· ἔτι δὲ καὶ τῶν χερσαίων τὰ μὲν πρὸς ταῖς ἄρκτοις μᾶλλον περὶ τὰς τῆς γῆς αἰφνιδίους κινήσεις, τὰ δὲ περὶ μεσημβρίαν περὶ τὰς ἀπροσδοκήτους ἐκ τοῦ ἀέρος ῥύσεις.

46 πάλιν δὲ ἐν μὲν τοῖς τῶν πτερωτῶν μορφώμασιν ὄντες οἱ κύριοι τόποι, οἷον Παρθένῳ, Τοξότῃ, Ὄρνιθι, Ἀετῷ καὶ τοῖς τοιούτοις, περὶ τὰ πτηνὰ τὰ εἰς τροφὴν διοίσει, ἐν δὲ τοῖς νηκτοῖς περὶ τὰ ἔνυδρα καὶ ἰχθύας. καὶ Καρκίνος μὲν καὶ Αἰγόκερως καὶ Δελφὶς τοῖς θαλασσίοις ἀνήκει καὶ ταῖς τῶν στόλων ἀναγωγαῖς, Ὑδροχόος τε καὶ Ἰχθύες ποταμίοις καὶ πηγαίοις, ἡ δὲ Ἀργὼ ἀμφοτέροις διοίσει. Καὶ τὰ μὲν τροπικὰ καὶ ἰσημερινὰ τοῖς τοῦ ἀέρος καταστήμασι καὶ ταῖς ὥραις τὰς ἐπισημασίας παρέξει, ἰδίως δὲ καὶ τοῖς ἐκ τῆς γῆς φυομένοις κατὰ καιρόν· κατὰ μὲν τὴν ἐαρινὴν ἰσημερίαν τοῖς βλαστοῖς τῶν δενδρικῶν καρπῶν τῶν τότε συνακμαζόντων, κατὰ δὲ τὴν θερινὴν τροπὴν τοῖς καρποφορηθεῖσι καὶ ταῖς συγκομιδαῖς αὐτῶν, ἐν Αἰγύπτῳ δὲ ἰδικῶς τῇ τοῦ Νείλου ἀναβάσει, κατὰ δὲ τὴν μετοπωρινὴν ἰσημερίαν τῷ σπόρῳ, κατὰ δὲ τὴν χειμερινὴν τροπὴν τοῖς λαχάνοις καὶ τοῖς ἐπιπολάζουσι κατὰ τὸν καιρὸν ὀρνέοις καὶ ἰχθύσιν. προσέτι τὰ μὲν ἰσημερινὰ ἱεροῖς καὶ ταῖς περὶ θεοὺς θρησκείαις σημαίνει, τὰ δὲ τροπικὰ ταῖς τῶν ἀέρων καὶ ταῖς τῶν πολιτικῶν ἐθισμῶν μεταβολαῖς, τὰ δὲ στερεὰ θεμελίοις καὶ οἰκοδομήμασι, τὰ δὲ δίσωμα τοῖς ἀνθρώποις καὶ τοῖς βασιλεῦσιν. Ὁμοίως καὶ τὰ μὲν πρὸς ταῖς ἀνατολαῖς μᾶλλον ἔχοντα τὴν θέσιν ἐν τῷ χρόνῳ τῆς ἐκλείψεως περὶ τὴν νέαν ἡλικίαν καὶ καρποὺς καὶ θεμελίους σημαίνει τὸ ἐσόμενον, τὰ δὲ πρὸς τῷ ὑπὲρ γῆν μεσουρανήματι περὶ τὰ ἱερὰ καὶ τοὺς βασιλέας καὶ τὴν μέσην ἡλικίαν, τὰ δὲ πρὸς δυσμαῖς περὶ τὰς τῶν νομίμων μετατροπὰς καὶ τὴν παλαιὰν ἡλικίαν καὶ τοὺς κατοιχομένους ἐν τάφοις.

47 Περὶ πόστον δὲ μέρος τοῦ ὑποκειμένου γένους ἡ διάθεσις ἐπελεύσεται, τό τε τῆς ἐπισκοτήσεως τῶν ἐκλείψεων μέγεθος ὑποβάλλει καὶ αἱ τῶν τὸ αἴτιον ἐμποιούντων ἀστέρων πρὸς τὸν ἐκλειπτικὸν τόπον σχέσεις· ἑσπέριοι μὲν γὰρ πρὸς τὰς ἡλιακάς, ἑῷοι δὲ πρὸς τὰς σεληνιακὰς συσχηματισθέντες ἐπ’ ἔλαττον διατιθέασιν· διαμετροῦντες δὲ περὶ τὸ ἥμισυ, ἑῷοι δὲ πρὸς τὰς ἡλιακὰς καὶ ἑσπέριοι πρὸς τὰς σεληνιακὰς ἐπὶ τὸ πλέον. Αὐτὸ δὲ τὸ ἀποτέλεσμα πότερον ἀγαθῶν ἐστιν ἢ τῶν ἐναντίων ποιητικὸν ἀπὸ τῆς τῶν οἰκοδεσποτησάντων ποιητικῆς φύσεώς τε καὶ συγκράσεως τῆς πρὸς ἀλλήλους καὶ τῶν τόπων καθ’ ὧν ἂν ὦσι τετυχηκότες καταλαμβάνομεν. ἀρξόμεθα δὲ τῆς καθ’ ἕνα ἕκαστον τῶν πλανωμένων ποιητικῆς ἰδιοτροπίας, ἐκεῖνο κοινῶς ἐπισημαινόμενοι ὅτι ἐν ταῖς συγκράσεσιν οὐ μόνον τὴν πρὸς ἀλλήλους τῶν πλανωμένων μίξιν δεῖ σκοπεῖν, ἀλλὰ καὶ τὴν πρὸς τοὺς τῆς αὐτῆς φύσεως κεκοινωνηκότας ἤτοι ἀπλανεῖς ἀστέρας ἢ τόπους ζῳδιακοὺς κατὰ τὰς ἀποδεδειγμένας αὐτῶν πρὸς τοὺς πλανήτας συνοικειώσεις. ὁ μὲν Ἥλιος καὶ ἡ Σελήνη διατάκται καὶ ὥσπερ ἡγεμόνες εἰσὶ τῶν ἄλλων αἴτιοι γινόμενοι τῆς κατὰ τὴν ἐνέργειαν αὐτῶν ἰσχύος τε καὶ ἀδρανίας, διόπερ ἀφήσθωσαν. Περὶ δὲ τῶν πέντε πλανωμένων ἐκθησόμεθα.

48 ὁ μὲν οὖν τοῦ Κρόνου ἀστὴρ μόνος τὴν οἰκοδεσποτείαν λαβὼν καθόλου μὲν φθορᾶς τῆς κατὰ ψῦξιν αἴτιος, ἰδίως δὲ περὶ μὲν ἀνθρώπους γινομένου τοῦ συμπτώματος νόσους μακρὰς καὶ φθίσεις καὶ συντήξεις καὶ ὑγρῶν ὀχλήσεις καὶ τεταρταίους, φυγαδείας τε καὶ ἀπορίας καὶ πένθη καὶ συνοχὰς καὶ φόβους καὶ θανάτους μάλιστα τοῖς τὴν ἡλικίαν προβεβηκόσιν ἐμποιεῖ, τῶν δὲ ἀλόγων ζῴων περὶ τὰ εὔχρηστα σπάνιν καὶ τῶν ὄντων φθορὰς σωματικὰς καὶ νοσοποιοὺς ἀφ’ ὧν καὶ οἱ χρησάμενοι τῶν ἀνθρώπων συνδιατιθέμενοι καταφθείρονται, περὶ δὲ τὴν τοῦ ἀέρος κατάστασιν ψύχη φοβερά, παγώδη καὶ ὁμιχλώδη καὶ λοιμικὰ καὶ νιφετῶν πλῆθος οὐκ ἀγαθῶν, περὶ δὲ ποταμοὺς καὶ θαλάσσας χειμῶνας καὶ στόλων ναυάγια, ἰδίως δὲ θαλάσσαις ἀμπώτεις καὶ παλιρροίας καὶ ποταμῶν ὑπερμετρίαν, κάκωσιν, πρὸς δὲ τοὺς τῆς γῆς καρποὺς ἔνδειαν καὶ ἀπώλειαν ἤτοι ὑπὸ κάμπης ἢ ἀκρίδος ἢ μυῶν ἢ κατακλυσμῶν ἢ χαλάζης ἢ τῶν τοιούτων. Ὁ δὲ τοῦ Διὸς μόνος τὴν κυρίαν λαβὼν καθόλου μὲν αὐξήσεώς ἐστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιητικός, ἰδίως δὲ περὶ μὲν ἀνθρώπους γινομένου τοῦ ἀποτελέσματος δόξας ἀποτελεῖ καὶ εἰρηνικὰς καταστάσεις καὶ εὐθηνίας, εὐεξίας τε σωματικὰς καὶ ψυχικὰς καὶ δωρεὰς ἀπὸ τῶν βασιλευόντων, καὶ ἁπλῶς εὐδαιμονίας ἐστὶν αἴτιος, περὶ δὲ τὰ ἄλογα ζῷα τῶν μὲν εἰς χρῆσιν ἀνθρωπίνην δαψίλειαν καὶ πολυπλήθειαν ἐμποιεῖ, τῶν δὲ εἰς τὸ ἐναντίον φθορὰν καὶ ἀπώλειαν, εὔκρατον δὲ τὴν τοῦ ἀέρος κατάστασιν καὶ ὑγιεινὴν καὶ πνευματώδη καὶ ὑγρὰν καὶ θρεπτικὴν τῶν ἐπιγείων ἀπεργάζεται, στόλων δὲ εὐπλοίας καὶ ποταμῶν συμμέτρους ἀναβάσεις καὶ τῶν καρπῶν δαψίλειαν καὶ ὅσα τούτοις παραπλήσια.

49 Ὁ δὲ τοῦ Ἄρεως μόνος τὴν οἰκοδεσποτείαν λαβὼν καθόλου μὲν τῆς κατὰ ξηρότητα φθορᾶς αἴτιος, ἰδίως δὲ περὶ μὲν ἀνθρώπους γινομένου τοῦ συμπτώματος πολέμους ἐμποιεῖ καὶ στάσεις ἐμφυλίους καὶ αἰχμαλωσίας καὶ ἐπαναστάσεις καὶ χόλους ἡγεμόνων τούς τε διὰ τῶν τοιούτων θανάτους αἰφνιδίους, ἔτι δὲ νόσους πυρεκτικὰς καὶ τριταϊκὰς ἐπισημασίας καὶ αἱμάτων ἀναγωγὰς καὶ ὀξείας βιαιοθανασίας μάλιστα τῶν ἀκμαίων, ὁμοίως βίας τε καὶ ὕβρεις καὶ παρανομίας καὶ λῃστείας καὶ ἐμπρήσεις, πρὸς δὲ τὴν τοῦ ἀέρος κατάστασιν καύσωνας καὶ πνεύματα θερμά, λοιμικά, κεραυνῶν τε ἀφέσεις καὶ πρηστήρων καὶ ἀνομβρίας, καὶ κατὰ θάλασσαν στόλων αἰφνίδια ναυάγια διὰ πνευμάτων ἀτάκτων, τῶν τε ἀλόγων ζῴων καὶ τῶν ἐκ γῆς φυομένων σπάνιν εἰς χρῆσιν ἀνθρωπίνην ἤτοι ὑπὸ τῆς τοῦ καύσωνος καταφλέξεως ἢ βρούχου ἢ τῆς τῶν πνευμάτων ἐκτινάξεως ἢ ἐκ τῆς ἐν ταῖς ἀποθέσεσιν ἐμπρήσεως. Ὁ δὲ τῆς Ἀφροδίτης μόνος κύριος γενόμενος τοῦ συμβαίνοντος καθόλου μὲν παραπλήσια τῷ τοῦ Διὸς μετά τινος ἐπαφροδισίας ποιεῖ, ἰδίως δὲ πρὸς μὲν ἀνθρώπους δόξας καὶ τιμὰς καὶ εὐφροσύνας καὶ εὐετηρίας καὶ εὐγαμίας καὶ πολυτεκνώσεις καὶ εὐαρεστήσεις πρὸς πᾶσαν συναρμογὴν καὶ τῶν κτήσεων συναυξήσεις καὶ διαίτας καθαρίους καὶ τὰ σεβάσμια τίμια, πρὸς δὲ τὰ τοῦ ἀέρος 〈πνεύματα〉 εὐκράτων καὶ διύγρων καὶ θρεπτικῶν καταστάσεις, εὐαερίας τε καὶ αἰθρίας καὶ ὑδάτων γονίμων δαψιλείας καὶ εὐπλοίας καὶ ἐπιτυχίας καὶ ποταμῶν πλήρεις ἀναβάσεις, τῶν τε εὐχρήστων ζῴων καὶ τῶν τῆς γῆς καρπῶν μάλιστα δαψίλειαν καὶ εὐφορίαν καὶ ὄνησιν ἐμποιεῖ.

50 Ὁ δὲ τοῦ Ἑρμοῦ τὴν κυρίαν λαβὼν καθόλου μὲν ὡς ἐὰν ᾖ συγκιρνάμενος ἑκάστῳ τῶν ἄλλων, συνοικειοῦται ταῖς ἐκείνων φύσεσιν, ἰδίως δέ ἐστι πάντων μᾶλλον συγκινητικός, καὶ ἐν μὲν ἀνθρωπίνοις ἀποτελέσμασιν ὀξὺς καὶ πρακτικώτατος καὶ πρὸς τὸ ὑποκείμενον εὐμήχανος, λῃστειῶν δὲ καὶ κλοπῶν καὶ πειρατικῶν ἐφόδων καὶ δυσπλοίας ποιητικὸς ἐν τοῖς πρὸς τοὺς κακοποιοὺς σχηματισμοῖς, νόσων τε αἴτιος ξηρῶν καὶ ἀφημερινῶν ἐπισημασιῶν καὶ βηχικῶν καὶ ἀναφορικῶν καὶ φθίσεων, ἀποτελεστικὸς δὲ καὶ τῶν περὶ τὸν ἱερατικὸν λόγον καὶ τὰς τῶν θεῶν θρησκείας καὶ τὰς βασιλικὰς προσόδους καὶ τῆς τῶν ἐθίμων ἢ νομίμων κατὰ καιροὺς ἐναλλοιώσεως τῇ πρὸς τοὺς ἑκάστοτε τῶν ἀστέρων συγκράσει, πρὸς δὲ τὸ περιέχον μᾶλλον ξηρὸς ὢν καὶ εὐκίνητος διὰ δὲ τὴν πρὸς τὸν Ἥλιον ἐγγύτητα καὶ τὸ τάχος τῆς ἀνακυκλήσεως πνευμάτων ἀτάκτων καὶ ὀξέων καὶ εὐμεταβόλων μάλιστα κινητικὸς ὑπάρχει, βροντῶν τε εἰκότως καὶ πρηστήρων καὶ χασμάτων καὶ σεισμῶν καὶ ἀστραπῶν ἀποτελεστικός, ζῴων τε καὶ φυτῶν εὐχρήστων καὶ ποταμῶν ἐν μὲν ταῖς δύσεσι μειωτικός, ἐν δὲ ταῖς ἀνατολαῖς πληρωτικός. Ἰδίως μὲν τῆς οἰκείας φύσεως ἐπιτυχὼν ἕκαστος 〈τὰ〉 τοιαῦτα ἀποτελεῖ.

51 συγκιρνάμενος δὲ ἄλλος ἄλλῳ κατὰ τοὺς σχηματισμοὺς καὶ τὰς τῶν ζῳδίων ἐναλλοιώσεις καὶ τὰς πρὸς Ἥλιον φάσεις ἀναλόγως καὶ τὴν ἐν τοῖς ἐνεργήμασι σύγκρασιν λαμβάνων μεμιγμένην ἐκ τῶν κεκοινωνηκυιῶν φύσεων τὴν περὶ τὸ ἀποτελούμενον ἰδιοτροπίαν ποικίλην οὖσαν ἀπεργάζεται, ἀπείρου δὲ ὄντος καὶ ἀδυνάτου τοῦ καθ’ ἑκάστην σύγκρασιν τὸ ἴδιον ἀποτέλεσμα καὶ πάντας ἁπλῶς τοὺς καθ’ ὁποιουσδήποτε συσχηματισμοὺς διεξελθεῖν οὕτω πολυμερῶς νοουμένους εἰκότως ἂν καταληφθείη τὸ τοιοῦτον εἶδος ἐπὶ τῇ τοῦ μαθηματικοῦ πρὸς τὰς κατὰ μέρος διακρίσεις ἐπιβολῇ καὶ ἐπινοίᾳ. Παρατηρεῖν δὲ δεῖ πῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔχουσι συνοικειώσεως οἱ τὴν κυρίαν λαβόντες ἀστέρες πρὸς τὰς χώρας ἢ πόλεις αἷς τὸ σύμπτωμα διασημαίνεται. ἀγαθοποιοὶ μὲν γὰρ ὄντες καὶ συνοικειούμενοι τοῖς διατιθεμένοις καὶ μὴ καθυπερτερούμενοι ὑπὸ τῶν τῆς ἐναντίας αἱρέσεως ἔτι μᾶλλον ἀπεργάζονται τὸ κατὰ τὴν ἰδίαν φύσιν ὠφέλιμον, μὴ οὕτω δὲ ἔχοντες ἧττον ὠφελοῦσιν. τῆς δὲ βλαπτικῆς κράσεως οἱ τὴν κυρίαν λαβόντες ὁμοίως, ἐὰν μὲν συνοικειούμενοι τύχωσι τοῖς διατιθεμένοις ἢ καθυπερτερηθῶσιν ὑπὸ τῆς τῶν ἐναντίων αἱρέσεως, ἧττον βλάπτουσιν, μὴ οὕτως δὲ τυχόντες σφοδροτέραν τὴν βλάβην ἐμποιοῦσιν. καὶ τῶν ἀνθρώπων δὲ οἱ κατὰ τὰς οἰκείας γενέσεις τοὺς ἀναγκαιοτάτους τόπους (λέγω δὴ τοὺς φωσφοροῦντας ἢ τοὺς τῶν κέντρων) τοὺς αὐτοὺς τύχωσιν ἔχοντες τοῖς τὸ αἴτιον ἐμποιήσασι καθολικῶν (τουτέστι τοῖς ἐκλειπτικοῖς ἢ καὶ τοῖς τούτων διαμέτροις) ἐπισφαλέσταταί τε μάλιστα καὶ δυσφύλακτοι τυγχάνουσιν αἱ μοιρικαὶ θίξεις ἢ διαμετρήσεις τῶν ἐκλειπτικῶν τόπων πρὸς ὁπότερον τῶν φώτων.

52 〈κα′〉 Ἀποτελέσματα τῶν γινομένων ἐκλείψεων καὶ τῶν κομητῶν Ἀνέγραψαν δὲ οἱ παλαιοὶ Αἰγύπτιοι τὰ ἀποτελέσματα τὰ ἐκ τῶν ἐκλείψεων γινόμενα ὧν παρατιθέμεθα καὶ τούτων τὰ πλεῖστα συντόμως οὕτως. ἐπὶ τῶν τελείων ἐκλείψεων τὸ μὲν χρῶμα τὸ μέλαν θάνατον τοῦ ἄρχοντος καὶ ταπείνωσιν καὶ λιμὸν καὶ μεταβολὴν σημαίνει, τὸ δὲ ἐρυθρὸν τῆς χώρας κάκωσιν, τὸ δὲ ὑπόλευκον λιμὸν καὶ θάνατον τοῖς κτήνεσι καὶ ἐμπόροις, τὸ δὲ ἰοειδὲς πόλεμον καὶ λιμόν, τὸ δὲ χρυσοειδὲς λοιμὸν καὶ θάνατον. Τῶν δὲ ἀνέμων οἱ μὲν ἀπ’ ἄρκτου πνέοντες ἢ καὶ ἑτέρου μέρους τοῦ ὁρίζοντος ἐν τῷ καιρῷ τῆς ἐμπτώσεως καὶ μονῆς ἐκείναις ταῖς χώραις ταπείνωσιν σημαίνουσι καθ’ ὧν ἐγγὺς οὐσῶν πνεύσειαν. ἐν δὲ τῇ καθάρσει τῆς ἐκλείψεως ἄλλοι πνεύσαντες τὰς ὑφ’ αὑτοὺς χώρας αὐξήσουσιν, οἷον ὁ μὲν βορρᾶς τὰς πρὸς βορρᾶν χώρας, ὁ δὲ νότος τὰς πρὸς νότον, καὶ ἐπὶ τῶν λοιπῶν ἀνέμων ὁμοίως. ἡ δὲ χώρα ᾗ πρόσκειται ὁ καθήρας ἄνεμος ἐπιστρατεύσασα τῇ τῆς ταύτης ἐμπτώσεως κρατήσασα νικήσει· ἐπὰν δὲ δύο ἀνέμων ἡ ἔκλειψις γένηται, καθαρθῇ δὲ ὑφ’ ἑνὸς ἢ δυοῖν, τὸν αὐτὸν τρόπον διαληπτέον.

53 αἴσια γὰρ μηνύουσιν οἱ τῆς ἀνακαθάρσεως, τὰ ἐναντία δὲ οἱ τῆς ἐμπτώσεως ταῖς ὑποκειμέναις αὐτοῖς χώραις· ἐὰν δὲ ᾖ ὁ αὐτὸς ἄνεμος τῆς τε ἐμπτώσεως καὶ ἀνακαθάρσεως, ταπεινώσει μὲν τὴν χώραν, οὐδεὶς δὲ αὐτῆς ἐπικρατήσει. Σελήνης δὲ οὔσης ἐν τῇ ἐκλείψει ὅταν διᾴττων ἀστὴρ ἐπιδραμὼν ἔλθῃ εἰς αὐτήν, μηνύσει τύραννον μέγαν ταπεινωθήσεσθαι καὶ ταραχὴν ἕξειν τὸν οἶκον αὐτοῦ· εἰ δὲ ἅλως περὶ τὴν Σελήνην γένοιτο ἐκλελοιπυῖαν, ἔσται τειχήρης ὁ τύραννος πολιορκούμενος ὑπὸ πολεμίων· ἐὰν δὲ ἐξέλθῃ ἀστήρ, ὑπ’ αὐτῶν αἰχμάλωτος ἔσται. ἐκλελοιπυίας 〈δὲ〉 αὐτῆς βροντὴ γενομένη καθαίρεσιν τυράννου καὶ ταπείνωσιν τῆς χώρας σημαίνει, ἐκλείποντος δὲ Ἡλίου ἢ Σελήνης ὑετὸς ἐπιγινόμενος θάνατον σημαίνει. ἐὰν δὲ ἅμα τῇ ἀνατολῇ γένηται ἔκλειψις καὶ διακρατήσῃ εἰς τρεῖς ὥρας ἄχρι τῆς ἀνακαθάρσεως, τὰ σημαινόμενα ἔσται μετὰ τὴν ἔκλειψιν τριμήνου παρελθούσης· ἐὰν δὲ ἀπὸ τετάρτης ὥρας γένηται ἡ ἔκλειψις καὶ μείνῃ ὥρας δύο ἕως ἂν καθαρθῇ, ἑξαμήνου παρελθούσης ἔσται τὰ σημαινόμενα· καὶ ἕως δωδεκάτης ὥρας ὁμοίως συγκρίνεται ὁ χρόνος. Ὁλοσχερῶς δέ φασι τὴν Σελήνην ἐκλείπουσαν ἐν μὲν τῷ Κριῷ ἀφορίαν πάντων ἔσεσθαι σημαίνειν, ἐν δὲ Ταύρῳ σίτου φθοράν, ἐν δὲ Διδύμοις καὶ Καρκίνῳ σίτου δαψίλειαν καὶ οἴνου, ἐν δὲ Λέοντι σίτου πλῆθος κατὰ τὰ πεδία, ἐν δὲ Παρθένῳ προβάτων φθορὰν καὶ δένδρων, ἐν δὲ Ζυγῷ σίτου φθορὰν ὑπὸ ἀκρίδος καὶ νόσου, ἐν δὲ Σκορπίῳ λοιμόν, ἐν δὲ Τοξότῃ ὕδωρ καὶ χάλαζαν, ἐν 〈δὲ〉 Αἰγοκέρωτι σῖτον ἐν τοῖς πεδίοις ἔσεσθαι καὶ ἀνέμους μείζονας, ἐν δὲ Ὑδροχόῳ εὐθηνίαν καὶ σίτου φθορὰν ἐν τοῖς πεδίοις, ἐν δὲ τοῖς Ἰχθύσι πρωΐμους τοὺς σιτικοὺς καρπούς.

54 Τὸν δὲ Ἥλιον ἐν μὲν Κριῷ σίτου δαψίλειαν καὶ τὸ ἔτος ὑγιεινὸν ἀποδεικνύναι, ἐν δὲ Ταύρῳ σίτου φθορὰν ὑπὸ ἀκρίδος, ἐν δὲ τοῖς Διδύμοις λιμὸν ἰσχυρόν, ἐν δὲ Καρκίνῳ ὕδωρ πολὺ καὶ σίτου σπάνιν, ἐν δὲ Λέοντι σίτου σπάνιν, ἐν δὲ Παρθένῳ ἐπὶ τρίμηνον ἀπηλιώτην πνεύσεσθαι, ἐν δὲ Ζυγῷ βροντὰς καὶ λιμόν, 〈ἐν δὲ Σκορπίῳ ..., ἐν δὲ Τοξότῃ ...〉, ἐν 〈δὲ〉 Αἰγοκέρωτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σίτου σπάνιν, ἐν 〈δὲ〉 Ὑδροχόῳ σίτου δαψίλειαν, ἐν δὲ τοῖς Ἰχθύσιν ὕδωρ ὀλίγον. Μερικῶς δὲ ὡρίσαντο ἐν μὲν Κριῷ ἐκλείψεως γενομένης ἔσεσθαι ἐν Αἰγύπτῳ καὶ τοῖς κατὰ Συρίαν τόποις μέγιστα κακὰ καὶ τοῖς δυνάσταις τῶν τόπων θανάτους καὶ ἐπιβουλὰς καὶ ἀναιρέσεις καὶ τῶν δοκούντων ἐκπτώσεις καὶ στρατοπέδων συγκρούσεις καὶ ἁρπαγὰς καὶ ἐμπρησμούς, ἐν δὲ τῇ Λιβύῃ ὄχλων ἐπαναστάσεις καὶ τῷ ἡγουμένῳ κίνδυνον καὶ τοῖς πρὸς ἀνατολὰς καὶ ἑσπέραν. Ἐν δὲ Ταύρῳ ἀφορίαν σίτου ἐν Αἰγύπτῳ καὶ ὄχλων ἀκαταστασίαν, τῆς ἐκλείψεως γενομένης ἀπὸ τετάρτης ὥρας ἕως ἐννάτης ἐν Μηδίᾳ καὶ τῇ Ἐλυμαΐδι πολέμους, ἐν δὲ Κύπρῳ ἐρυσίβην, ἐν δὲ τῇ Ἀσίᾳ πανηγύρεις, ἑορτάς, πολυπλήθειαν, ἀπ’ ἀνατολῶν δὲ τῆς ἐκλείψεως γενομένης φόνους ἐν Συρίᾳ ἔσεσθαι, τὸν δὲ δυνάστην Συρίας καὶ Αἰγύπτου διενεχθέντας πρὸς ἀλλήλους μετ’ ἐνιαυτὸν καὶ ἓξ μῆνας κακῶς ἀπολεῖσθαι καὶ ὑφ’ ἑτέρων διαδεχθῆναι, ἀπὸ δυσμῶν δὲ γενομένης τοῖς πρὸς ἑσπέραν οἰκοῦσιν ἧτταν καὶ ταπείνωσιν ἔσεσθαι.

55 Κατὰ δὲ τοὺς Διδύμους Ἡλίου ἐκλείποντος ἐν τῇ πρώτῃ τριώρῳ τὸν δυναστεύοντα Ἀσίας μετ’ ἐνιαυτὸν τελευτήσειν ὡρίσαντο καὶ τοὺς πρωτοστατήσαντας ὑπὸ τῶν ὄχλων κατακοπήσεσθαι, περὶ δὲ τὴν τελευταίαν τρίωρον γενομένης Ἰταλίᾳ καὶ Κιλικίᾳ καὶ Λιβύῃ καὶ τοῖς πρὸς ἑσπέραν κατοικοῦσι φθορὰν καὶ ἀπώλειαν ἔσεσθαι. τῆς δὲ Σελήνης ἐν τῇ πρώτῃ τριώρῳ ἐκλειπούσης τῷ τῆς Ἀσίας βασιλεῖ βλάβην ἰσχυρὰν καὶ τοῖς οἰκοῦσι καὶ τετραπόδοις φθοράν, μάλιστα προβάτοις, ἐν δὲ τῇ δευτέρᾳ τριώρῳ κατασφαγὰς ἐν Λιβύῃ καὶ Συρίᾳ καὶ Βαβυλωνίᾳ, ἐν δὲ τῇ τετάρτῃ τριώρῳ μέρη τινὰ Αἰγύπτου καὶ Λιβύης καὶ Κιλικίας καὶ Ῥώμης θλιβῆναι καὶ τοὺς ὑποτεταγμένους ὑπὸ τῶν ὑπερεχόντων μάλιστα βλαβήσεσθαι. Ἐν δὲ Καρκίνῳ Ἥλιον ἐκλείποντα ἐν οἱᾳδήποτε τριώρῳ πάσῃ γῇ κάκωσιν σημαίνειν καὶ ἀκαταστασίαν ἀπὸ ἀνατολῆς ἕως δύσεως τοῖς οἰκοῦσιν. τὴν δὲ Σελήνην τὸν δυναστεύοντα Συρίας πρὸς ἄλλον δυνάστην συγκρούσειν καί τινα μέγαν ἄνδρα ἀπολέσθαι, ὑπό τε τῶν ὄχλων προδοθήσεσθαι τὸν ἡγούμενον καὶ τόπους ἐπιφανεῖς ἀφανισθήσεσθαι ὑπὸ σεισμῶν καὶ ἀνθρώπους ἐνδόξους ἀναιρεθήσεσθαι, ἐν δὲ ταῖς β τριώροις ταῖς τελευταίαις Βαβυλῶνι καὶ Αἰθιοπίᾳ φθορὰν ἔσεσθαι, Ἰνδοῖς δὲ εὐστάθειαν, ἀφανισμὸν δὲ τοῖς ἁπανταχοῦ ζῴοις.

56 Ἐν δὲ τῷ Λέοντι ἐκλείποντα τὸν Ἥλιον κατὰ τὴν πρώτην τρίωρον βαρβάρων στρατιὰν πολεμῆσαι τοῖς Ἕλλησι καὶ ἑλεῖν αὐτοὺς μηνύειν, κατὰ δὲ τὴν δευτέραν τρίωρον κατ’ Αἴγυπτον ἄνδρα μέγιστον ἀπολέσθαι καὶ φόνους καὶ διαρπαγὰς καὶ χειροκρατησίας ἔσεσθαι, ἐν δὲ τῇ τρίτῃ τριώρῳ Φρυγίαν καὶ Κιλικίαν πολλὰ ἄτοπα καὶ Θρᾴκην ἐπισχήσειν, ἐν δὲ τῇ τετάρτῃ τριώρῳ, τουτέστι δύνοντα, βαρβάρων ἐπίθεσιν καὶ πτῶσιν σημαίνειν. κατὰ δὲ τὴν πρώτην τρίωρον τὴν Σελήνην ἐκλείπουσαν ἐν Λέοντι μετ’ ἐνιαυτὸν ἄνδρα δυνάστην μετ’ ὄχλου πολλοῦ Κύπρῳ ἐπιστρατεῦσαι καὶ μὴ καλῶς ἀπαλλάξαι πολλοῦ λαοῦ ἀπὸ τῆς Αἰγύπτου ἐπ’ αὐτὸν ἐλθόντος καὶ πολλῶν ἀνδρῶν ἀναιρεθέντων, ἐν δὲ Βαβυλῶνι ἡγούμενον ἄνδρα ἀποστατῆσαι καὶ Λίβυας τὸν ἑαυτῶν ἡγούμενον ἀνελεῖν καὶ ἀπὸ τῆς τοιαύτης νεωτερίσεως τὴν χώραν διαφθαρῆναι, ἐν δὲ τῇ δευτέρᾳ τριώρῳ μοχθηρὰν τὴν θάλασσαν μηνύειν καὶ ὄχλων συστροφάς, ἐν δὲ τῇ τελευταίᾳ τριώρῳ Συρίας καὶ Αἰγύπτου ὄχλοις συγκρούσεις καὶ τοῖς πρὸς δυσμὰς οἰκοῦσιν. Ἐν δὲ Παρθένῳ τῆς Σελήνης ἐκλειπούσης δακτύλους δύο πρὸς νότον ἐν Αἰγύπτῳ μεγίστην πόλιν ἀνάστατον σημαίνειν καὶ τοὺς ἐπισήμους ταπεινοὺς καὶ τὰ τέκνα αὐτῶν ἀφαιρεθήσεσθαι καὶ ὠμότητα πολλὴν γενέσθαι ὑπὸ ὀχλοκρατησίας καὶ φόνους, καταφεύξεσθαι δὲ πρὸς τὸν τῆς Αἰγύπτου ἡγούμενον βοηθείας χρῄζοντας, ἐν δὲ τῇ δευτέρᾳ τριώρῳ ἐκλειπούσης τὸ ἥμισυ τοῦ κύκλου ἢ τὸ τρίτον τοῖς πρὸς βορρᾶν Αἰγυπτίοις λύπας καὶ στρατιὰν ἐπὶ τὴν Ἀσίαν σημαίνειν καὶ ἔξωθεν ἐπιστρατεῦσαι δυνάστην καὶ δόλους καὶ προδοσίαν γενέσθαι, ἀποστατῆσαι δὲ πολλοὺς τοῦ προτέρου ἡγεμόνος, ἐὰν δὲ ἐν τῇ τελευταίᾳ τριώρῳ ἐκλείπῃ, τοῖς πρὸς ἑσπέραν οἰκοῦσι πολλὰ κακὰ ἀπεργάζεται.

57

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ δὲ αὐτὰ καὶ ἐπὶ τῶν ἡλιακῶν ἐκλείψεων ἐσημειώσαντο. Ἐν Ζυγῷ δὲ ἤτοι Χηλαῖς τοῦ Σκορπίου Ἡλίου ἐκλείποντος πρώτῃ ἢ δευτέρᾳ τριώρῳ ὕδωρ πολὺ γίνεσθαι ἐν τοῖς θαλασσίοις τόποις τοῖς πρὸς βορρᾶν ὡς τὸν καρπὸν μὴ δύνασθαι συνελεῖν, τὸ δὲ σύμπτωμα Ἀρκαδίᾳ, Σουσιανῇ, Βακτριανῇ, Αἰθιοπίᾳ ἔσεσθαι καὶ τῇ περὶ τὸν Εὐφράτην χώρᾳ, ἀπὸ δὲ τετάρτης ἕως ἕκτης ἐπὰν ἐκλείπῃ καὶ περιστῇ τοῦ Σκορπίου τὸ στόμα καὶ ἀποκαθαρθῇ ἀπ' ἄρκτου, τὸν τῆς Ἀσίας βασιλέα μετὰ ἐννέα μῆνας τοὺς προεπιβουλεύσαντας αὐτῷ δολοφονῆσαι δηλοῖ καὶ ἐν Κιλικίᾳ φόνους πολλοὺς καὶ ἐν Μακεδονίᾳ καὶ Λιβύῃ καὶ Ἰταλίᾳ, ἀπὸ δὲ τοῦ τῆς ἐκλείψεως χρόνου μετὰ τρία ἔτη τὸν τῆς Αἰγύπτου βασιλέα πόλεμον ἐξοίσειν πρὸς τὸν τῆς Συρίας καὶ ἡττηθήσεσθαι καὶ ἐν Αἰγύπτῳ στρατόπεδα συναχθήσεσθαι καὶ στάσεως γενομένης τοὺς πρώτους ἀναιρεθήσεσθαι ὑπὸ τῶν ὄχλων, ἐν δὲ τῇ τρίτῃ τριώρῳ ἐκλείποντος τοῦ Ἡλίου τοῖς ἐν Φοινίκῃ καὶ Καππαδοκίᾳ νόσον ἔσεσθαι, ἐν δὲ Συρίᾳ κυνῶν θάνατον καὶ μετὰ ταῦτα ἀνθρώπων, τῇ δὲ δεκάτῃ ἢ ἑνδεκάτῃ ὥρᾳ τῆς ἐκλείψεως γενομένης θάνατον θηρίοις καὶ τοῖς ὑποζυγίοις σημαίνεσθαι.

58 καὶ τὴν Σελήνην δὲ ἐκλείπουσαν περὶ τὰς πρώτας τρεῖς ὥρας πᾶσαν δυσαρεστίαν καὶ ἀηδίαν ἐγγεννᾶν πάσῃ χώρᾳ καὶ βάρη τοῖς ὑποτεταγμένοις ἐπιβληθήσεσθαι ὡς τὰ κοινὰ θλιβῆναι καὶ τοὺς δυνάστας ἀποφυγεῖν εὔξασθαι, ἀπὸ δὲ τρίτης ὥρας ἕως ἑβδόμης ἐκλείπουσαν τῇ Κοίλῃ Συρίᾳ καὶ Φοινίκῃ καὶ Λιβύῃ καὶ Αἰγύπτῳ ἄνεσιν ποιῆσαι, δεκάτῃ δὲ ὥρᾳ καὶ ἑνδεκάτῃ ἐκλείπουσαν τοῖς παραθαλασσίοις τόποις θόρυβον καὶ Ἰωνίᾳ πόλεμον καὶ καρπῶν ἀφορίας σημαίνειν. Ἐν δὲ τῷ Σκορπίῳ περὶ πρώτην καὶ δευτέραν ὥραν Ἥλιος ἐκλείψας Γαλάτας πρὸς Ἕλληνας πόλεμον ποιήσειν, ἐν δὲ Λιβύῃ πολλὰ θηρία τὴν γῆν τέξεσθαι, ὥρᾳ δὲ τρίτῃ ἕως πέμπτης ἐκλείψας σημαίνει Ἀρμενίᾳ, Καππαδοκίᾳ, Λυδίᾳ, Φρυγίᾳ, Ἰωνίᾳ, Ἑλλησπόντῳ ἀηδῆ τοῖς τε ἄρχουσιν αὐτῶν, τῇ δὲ τρίτῃ τριώρῳ ἐκλείψας τῇ χώρᾳ τῇ πρὸς ἑσπέραν ἐρήμωσιν δηλοῖ ὡς πόλεις εἰς πόλεις καταφυγεῖν, τῇ δὲ τελευταίᾳ τριώρῳ ἐκλείψας καὶ δὺς πρὸ τοῦ καθαρθῆναι τὴν πρὸς ἑσπέραν χώραν μετ' ἐνιαυτὸν ἀφανισθήσεσθαι καὶ τὸν δυνάστην αὐτῶν ἀπολέσθαι μηνύει. ἡ δὲ Σελήνη πρώτῃ καὶ δευτέρᾳ ὥρᾳ ἐκλείψασα Αἰθιοπίᾳ καὶ τοῖς ἐνοικοῦσι σπάνιν ἔσεσθαι δηλοῖ, τρίτῃ δὲ καὶ τετάρτῃ καὶ πέμπτῃ Συρίᾳ καὶ Κιλικίᾳ καὶ Φοινίκῃ καὶ Αἰγύπτῳ πόλεμον ἔσεσθαι καὶ ἀκρίδα πολλὴν καὶ τὰ θηρία καταδαίσασθαι τοὺς καρποὺς καὶ πολλὰ παράδοξα σημεῖα ἐπιγενήσεσθαι, ἐὰν δὲ ὀγδόῃ ἢ ἐννάτῃ ἢ ἕως δυσμῶν ἐκλείψῃ, τῆς μὲν Αἰγύπτου τοὺς ὄχλους ἀπειθῆσαι τῷ ἡγουμένῳ καὶ μεγάλους ἄνδρας ἀναιρεθῆναι, Εὐβοίᾳ δὲ καὶ τῇ Περσῶν χώρᾳ συμφορὰς σημαίνει.

59 Ἐν δὲ Τοξότῃ Ἥλιος ἐκλείψας ἐν ταῖς πρώταις τέσσαρσιν ὥραις Κρήτην ἐμφύλιον πόλεμον ἕξειν, στάσεις δὲ καὶ πόλεμον πανταχῇ, πέμπτῃ ἢ ἕκτῃ ἢ ἑβδόμῃ ὥρᾳ Ἰβηρίᾳ, Σκυθίᾳ, τοῖς Ἕλλησι πόλεμον, ἐν δὲ Συρίᾳ ἐπήλυσιν βαρβάρων καὶ πόλεμον, Βαβυλῶνι δὲ φθορὰν δηλοῖ, ἀπὸ δὲ ὀγδόης ὥρας ἕως δωδεκάτης ἐκλείψας πόλεις ἐπιθαλασσίας ἀναστάτους ἔσεσθαι καὶ τὰ κοινὰ αὐτῶν διαφθαρῆναι καὶ τοῖς τῆς Ἀσίας καὶ Αἰγύπτου δυνάσταις ἀντιλογίαν ἔσεσθαι, τήν τε Σουσιανὴν χώραν ὑπὸ τῆς παρακειμένης καταδραμηθῆναι σημαίνει. τῆς δὲ Σελήνης ἐκλειπούσης ἐν ταῖς τέσσαρσι πρώταις ὥραις κίνησιν στρατιωτικὴν καὶ τοῖς ἔχουσι τὰ κοινὰ ταραχὰς καὶ φόβους ἔσεσθαι καὶ νόσους περὶ τοὺς ὀφθαλμοὺς κατὰ τὸ φθινόπωρον καὶ πολλοῖς τόποις ἔσεσθαι τὰ σημεῖα— Καρίᾳ, Ἰωνίᾳ, Αἰγύπτῳ, Ἀραβίᾳ, Βαβυλωνίᾳ, Μεσοποταμίᾳ καὶ τῇ παρὰ τὸν Νεῖλον καὶ Εὐφράτην μέχρι τῆς Ἐρυθρᾶς θαλάσσης καὶ μέχρι Ἐλυμαΐδος—καὶ τὸ ἔτος ἀπατηλὸν καὶ περίψυχρον καὶ λυπηρὸν ὡς καὶ τοῖς ἀνθρώποις ὑποψίας μοχθηρὰς ἐγγενέσθαι καὶ ἄλλον ἄλλῳ δόλους τεκτήνασθαι ὡς καὶ τοὺς κακούργους τὰ τῶν πλησίον ἀφελέσθαι καὶ χρημάτων ἐπιγραφὰς γενέσθαι τοῖς πλουσίοις, ἀπὸ δὲ τετάρτης ἀρχομένης ἕως δεκάτης βαρβάρων στρατεύματα ἐπὶ τοὺς Ἕλληνας καὶ περὶ Μακεδονίαν θόρυβον σημαίνει καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς πρωτεύοντας πεσεῖν, ἐν δὲ ταῖς λοιπαῖς ὥραις τοὺς πρὸς ἑσπέραν οἰκοῦντας ἑαυτοὺς πολιορκῆσαι δηλοῖ ὡς τοὺς νεκροὺς αὐτῶν κατέδεσθαι τὰ θηρία.

60 Ἡλίου δὲ ἐν Αἰγοκέρωτι περὶ τὴν πρώτην τρίωρον ἐκλείποντος τοῖς πρὸς νότον οἰκοῦσι κακὰ σημαίνει, περὶ δὲ δευτέραν τρίωρον κακὰ Ἐλυμαίᾳ, Περσίδι, Μηδίᾳ, Γερμανίᾳ, Ἰνδίᾳ δηλοῖ καὶ τοῖς πρὸς ἀνατολὴν καὶ ἀπηλιώτην οἰκοῦσιν, ἐν δὲ τῇ τρίτῃ τριώρῳ τοῖς ἐν τῷ Πόντῳ πόλεμον καὶ τοῖς ἐν τῇ Ἀσίᾳ καὶ Κύπρῳ καὶ τοῖς πρὸς νότον οἰκοῦσι σημαίνει, ἔτι δὲ νόσους καὶ φθορὰς καρπῶν καὶ φυτῶν καὶ γῆς, ἐν δὲ τῇ τελευταίᾳ τριώρῳ τετραπόδων διαφθορὰν τῶν ἐν τῇ δύσει. Σελήνη δὲ ἐν Αἰγοκέρωτι ἐκλείψασα ἐν τῇ πρώτῃ τριώρῳ ἄνδρα μέγαν ἐπὶ τὴν Αἴγυπτον ἐκ τῆς Ἀσίας στρατεύσασθαι καὶ τὸν ἡγούμενον αἰχμαλωτίσαι καὶ τοὺς ὄχλους τοὺς μὲν διαφθεῖραι, τοὺς δὲ ὑποχειρίους ἔχειν σημαίνει, μετὰ δὲ τὴν τούτων ἀπαλλαγὴν ἔσεσθαι ἐμφύλιον πόλεμον καὶ ὀχλοκρατίαν καὶ τοὺς πρώτους κατακοπῆναι καὶ ἀποστατῆσαι δὲ ἄλλους τοῦ ἡγουμένου καὶ ἄλλον ἄλλου ἀφελέσθαι τὰ κτήματα, τοὺς δὲ δεσπότας αὐτῶν δι’ ἔνδειαν ἐπαιτῆσαι τροφήν, ἐν δὲ ταῖς ἑξῆς ἄχρι τῆς ὀγδόης ὥρας ἐκλειπούσης νοσήματα περιοδικὰ ἐπελεύσεται ἀπὸ ἀνατολῆς μέχρι δύσεως καὶ Φοινίκη ὑπὸ τῶν ἔξω πολιορκηθήσεται, ὁ δὲ πολιορκῶν οὐδὲν ἀνύσει διὰ τὸ ἐπικοινωνεῖν τῷ Αἰγοκέρωτι τὸ τῆς Εἰληθυίας ζῴδιον ἀκέφαλον ὄν, ἐν δὲ ταῖς τελευταίαις ὥραις ἐκλείπουσα ἢ 〈εἰ〉 καὶ ἔχουσά τι μέρος τῆς ἐκλείψεως δύνει, σημαίνει στράτευμα ἔξωθεν ἐπὶ τὴν Ἀσίαν ἐλεύσεσθαι καὶ ὁ πρότερον δυναστεύων ἀπὸ τῶν ἰδίων ἐγκαταλειφθεὶς ἁλώσεται, μετὰ χρόνον δέ τινα οἱ προεπιβουλεύσαντες τῷ δυνάστῃ τίσουσι δίκας.

61 Ἐν δὲ Ὑδροχόῳ Ἥλιος ἐκλείψας τῇ πρώτῃ τριώρῳ τῷ πρὸς εὖρον μέρει κακὰ σημαίνει (Μεσοποταμίᾳ, Ἀραβίᾳ, Συρίᾳ Κοίλῃ, Αἰγύπτῳ, Αἰθιοπίᾳ, Λιβύῃ) καὶ τοῖς πρὸς ἑσπέραν πᾶσι καὶ ὄχλων ἔσεσθαι συστροφάς, ἐν δὲ τῇ δευτέρᾳ τριώρῳ ἐκλείπων τοὺς καρποὺς βλαστήσαντας ἐπισινεῖς ποιήσει καὶ ἔνυδρα πολλὰ γενόμενα ἀπολεῖται, τῇ δὲ τρίτῃ τριώρῳ ἔριν καὶ στάσιν προμηνύει ἔσεσθαι Ἰταλίᾳ, Κιλικίᾳ, Λιβύῃ, Λακωνικῇ καὶ ταῖς ἐν αὐταῖς πόλεσι πρὸς ἀλλήλας, ἐν δὲ τῇ τελευταίᾳ τριώρῳ ὁμοίως τὰ αὐτὰ σημαίνει. ἡ δὲ Σελήνη ἐκλείπουσα ἐν τῇ πρώτῃ τριώρῳ ὅλη ἢ τὸ δίμοιρον μέρος παρὰ τῶν δυναστῶν τοῖς ἐν Κιλικίᾳ πολλὰ ὀχληρὰ ἐπιταχθήσεσθαι καὶ βαρέα σημαίνει, ἐν δὲ τῇ δευτέρᾳ τριώρῳ ὁμοίως, ἐν δὲ τῇ τρίτῃ περὶ Κύπρον ἄτοπόν τι ἔσεσθαι καὶ λυπηρόν, Τυρρηνούς τε καὶ Ἰταλοὺς νόσοις περιπεσεῖσθαι χαλεπαῖς, ἐν δὲ τῇ τελευταίᾳ τριώρῳ τοὺς ἐν τῇ περιχώρῳ Λίβυας τοῖς τὰς πόλεις οἰκοῦσι πολεμήσειν σημαίνει καὶ τοὺς καρποὺς αὐτῶν ὑπ’ ἄλλων τρυγηθῆναι καὶ τὰς ὁδοὺς ἀποκλεισθῆναι. Ἐν δὲ τοῖς Ἰχθύσιν ὁ Ἥλιος ἐκλείπων ἐν τῇ πρώτῃ τριώρῳ ὅλος ἢ τὸ δίμοιρον μέρος τοῦ κύκλου τὸν τῆς Ἀσίας δυνάστην ὑπὸ βαρβάρων μηνύει ταπεινωθήσεσθαι καὶ πολλὰ ἀποβαλεῖν καὶ μετὰ τριετίαν 〈ἢ〉 μικρῷ πλέον ἄλλον τὴν ἐξουσίαν ἀπολαβεῖν, τετάρτῃ δὲ καὶ πέμπτῃ ἐκλείπων ἀπὸ πολλῶν τὴν Αἴγυπτον καὶ τὴν Συρίαν ὀχληθήσεσθαι, ἑβδόμῃ δὲ καὶ ὀγδόῃ χαλεπὰ πείσεσθαι Ἀρμενίαν, Καππαδοκίαν, Φρυγίαν, Ἰωνίαν, Λυδίαν, Ἑλλήσποντον, δεκάτῃ δὲ καὶ ἑνδεκάτῃ ὥρᾳ ἐκλείψας θάνατον ἀνθρώποις ἔσεσθαι ἀπὸ τῆς βαρβάρων χώρας εἰς Ἕλληνας καὶ τοῖς παραθαλασσίοις τόποις λοιμὸν σημαίνει.

62 καὶ ἡ Σελήνη δὲ ἐκλείπουσα ἐν τῇ πρώτῃ τριώρῳ Αἰγυπτίοις νόσους, φόνους, πράσεις, ἁλώσεις δηλοῖ, ἐν δὲ τῇ δευτέρᾳ τριώρῳ Αἰγυπτίοις ἐπὶ τέκνου δυνάστου πένθος καὶ φθορὰν αὐτῷ τῷ δυνάστῃ καὶ νόσον χαλεπὴν καὶ ἐπισφαλῆ, Κύπρον δὲ ἀκρίδα πολλὴν λυμανεῖσθαι προμηνύει, ἐν δὲ τῇ τρίτῃ τριώρῳ λῃστὰς κατὰ θάλασσαν πανταχοῦ γενέσθαι, ἐν δὲ τῇ τελευταίᾳ μερίδι τῶν ὡρῶν ἐκλείπουσα ἰχθύων ἅλωσιν πανταχοῦ σημαίνει, Μήδοις δὲ πρὸς ἀλλήλους πόλεμον· Σελήνης δὲ ὁμοχρόου γενομένης τῷ ἀέρι ἤτοι τῆς ἐκλείψεως αὐτῆς θάνατον ἀνθρώπων ἁπανταχοῦ σημαίνει. Καθολικῶς δὲ ἐσημειώσαντο Αἰγοκέρωτι, Ὑδροχόῳ, Ἰχθύσι, Κριῷ ἐκλείψεως γενομένης βλάβην βασιλεῦσι σημαίνειν, Ταύρῳ δὲ καὶ Διδύμοις καὶ Καρκίνῳ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λέοντι ὄχλων ἀκαταστασίας καὶ ταραχὰς καὶ ἔρεις, Παρθένῳ δὲ καὶ Ζυγῷ καὶ Σκορπίῳ καὶ Τοξότῃ ἱεροῖς τόποις καὶ κοινοῖς καὶ χώραις ἑλώδεσιν.

63 τὰς δὲ ἐν τῷ αὐτῷ μηνὶ τῆς Σελήνης καὶ τοῦ Ἡλίου γενομένας ἐκλείψεις ἐκ διαμέτρου ἀποτελεῖν παρετηρήσαντο ἐκ τῆς συγκράσεως ἑκατέρας ἐκλείψεως τῶν προεκτεθειμένων ἀποτελεσμάτων. ἵνα δὲ μὴ μακρὸν τὸν ὑπομνηματισμὸν ποιήσωμεν, ἀφήσθω τοῦτο τοῖς εὐεπιβόλοις ἀφ' ἑαυτῶν ἐπιγνῶναι. 〈κβʹ〉 Περὶ τῶν ἐν ταῖς ἐκλείψεσι σημείων Τὰ δὲ ἐν ταῖς ἐκλείψεσι γινόμενα προσκείσθω τῷ μέρει τούτῳ. ἐὰν οὖν ἐκλείψεως γενομένης ἀστέρες διᾴττωσιν εἰς τὸ ἔλλειμμα τῆς Σελήνης, δηλοῦσι μάχην πολεμίων κατὰ τὸ κλίμα τὸ προσοικειούμενον τῷ ζῳδίῳ· ἐὰν δὲ ὄμβρος ἐπιγένηται ἐκλείψει Ἡλίου ἢ Σελήνης, νόσους θανατηφόρους ἔσεσθαι μηνύει. Ἐὰν δὲ ὁ Ἥλιος ἐν Κριῷ ὅλος ἐκλείπῃ ἢ καὶ ἀμαυρωθεὶς γένηται ὡς κάτοπτρον ἢ ὡς αὐγὰς Σελήνης ἔχων ἄνευ ἀκτίνων, ἐν Συρίᾳ μεγάλων ἀνθρώπων καὶ ἐνδόξων ἀπώλειαν σημαίνει. ἐν δὲ Ταύρῳ ἐὰν 〈τὸ〉 τοιοῦτον φανῇ, ἐπὶ δύο ἡμέρας ἐπιτατικώτερον καὶ πλείοσιν ἔσεσθαι· ἐὰν δὲ ἐρυθρὸς γενόμενος δι' ὅλης τῆς ἡμέρας ὥστε καὶ τὰ ἐδάφη ἀνταυγεῖν αἱμωπά, φθορὰν καρπῶν καὶ ἀνθρώπων δηλοῖ καὶ φόνους ἔσεσθαι πολλαχοῦ.

64 ἐὰν δὲ ἐν Διδύμοις αἱματώδης γένηται ἀπὸ ἀνατολῆς ἕως δύσεως, Λιβύῃ καὶ Κιλικίᾳ κακὰ πολλὰ σημαίνει καὶ καρπῶν ἀφορίαν. ἐὰν δὲ ἐν Καρκίνῳ αἱματώδης γένηται, ταράξει τὴν Ἰνδῶν καὶ Σύρων καὶ Αἰγυπτίων βασιλείαν. 〈ἐὰν δὲ ἐν Λέοντι ...〉. ἐὰν δὲ ἐν Παρθένῳ, σφαγὰς ἔσεσθαι καὶ ὄχλων ἐπαναστάσεις τῷ ἡγουμένῳ προαγορεύει. ἐν Χηλαῖς δὲ ἐρυθρὸς γενόμενος ἀποστατῆσαι τοὺς ὄχλους τοῦ ἡγουμένου Λιβύης ποιεῖ, ἀμυδρὸς δὲ γενόμενος ἀνατέλλων πόλεμον ἔσεσθαι καὶ στενοχωρίαν ἐν Λιβύῃ καὶ Κιλικίᾳ καὶ Ἰταλίᾳ καὶ Φοινίκῃ καὶ τοῖς πρὸς ἑσπέραν οἰκοῦσιν. ἐν δὲ Σκορπίῳ Λιβύῃ καὶ Αἰθιοπίᾳ κακόν τι μηνύει. ἐν δὲ Τοξότῃ ἀνατείλας ὡς κομήτης ἐρυθρὸς τῷ τῆς Ἀσίας ἡγουμένῳ πόλεμον σημαίνει· ἐὰν δὲ τὴν κόμην πρὸς βορρᾶν ἀνατείνῃ, λύπας καὶ δενδρικοῦ καρποῦ ἀφορίαν ἀποτελέσει. ἐν δὲ Αἰγοκέρωτι ἀμαυρωθεὶς τῷ ἡγουμένῳ Αἰγύπτου καὶ τοῖς ὑπ' αὐτὸν χειμῶνα καὶ θόρυβον σημαίνει. ἐν δὲ Ὑδροχόῳ γενόμενος ἐρυθρὸς ἐπιθήσεσθαι τὰ στρατόπεδα τοῖς φίλοις τοῦ βασιλέως τοῦ κατὰ νότον διαγορεύει. ἐὰν δὲ ἐν τοῖς Ἰχθύσι κομήτης γένηται καὶ ἄλλος τις ἱερὸς ἀστὴρ ὀφθῇ ἐκ τῶν δρόμων, ἐν Αἰγύπτῳ καὶ Συρίᾳ φόνους καὶ σφαγὰς ἔσεσθαι λέγουσι καὶ πολλὰ παράδοξα καὶ ἄσεμνα καὶ τερατώδη καὶ ἐπὶ πολὺν χρόνον ἀκαταστασίαν. Ἐὰν δὲ ἐν Κριῷ Ἡλίου ὄντος ἀστέρες ὀφθῶσιν ἡμέρας, ἐπαναστάσεις καὶ σφαγὰς μηνύουσιν. 〈..........〉. ἐὰν δὲ ἐν Τοξότῃ ἡμέρας ἀστὴρ ὀφθῇ, πόλεμον ἐν Αἰγύπτῳ καὶ Ἀσίᾳ προαγορεύει.

65 ἐὰν δὲ ἐν Αἰγοκέρωτι τὸ ἱερὸν ἄστρον διαδράμῃ μέγα ποιοῦν φῶς, ταῖς παραθαλασσίοις πόλεσι ταῖς πρὸς νότον λύπας καὶ πήματα σημαίνει. ἐν δὲ τῷ Ὑδροχόῳ ἀστέρες φανέντες ἡμέρας πόλεμον ἐν Αἰγύπτῳ καὶ ἀθροίσεις ἐπ' ἀδικίᾳ προλέγει. ἐὰν δὲ ἐν Ἰχθύσιν ἄστρον τι ὀφθῇ ἡμέρας ἐν ᾧ δὴ τόπῳ, ἀνάγκας τοῖς ἐκεῖσε ἀνθρώποις καὶ κακῶν αὔξησιν καὶ δόλους κεκρυμμένους σημαίνει. Τὰς δὲ γινομένας ὑπὸ γῆν ἐκλείψεις τελείας σεισμῶν αἰτίας ὑπάρχειν ὡς ἐπὶ τὸ πλεῖστον ἐσημειώσαντο. τό τε βασιλικὸν τρίγωνον τὸ διὰ Κριοῦ καὶ Λέοντος καὶ Τοξότου βασιλεῦσι καὶ τῇ βασιλείῳ αὐλῇ· καὶ Ἡλίου μὲν ἐκλείποντος θάνατον τοῖς κατὰ ἀνατολὴν καὶ τὴν Ἀσίαν τυράννοις ἢ ἡγουμένοις σημαίνεσθαι, τῆς δὲ Σελήνης τοῖς κατὰ τὴν Εὐρώπην καὶ δυσμάς. ἐξαιρέτως δὲ κατὰ τὸν Ὑδροχόον καὶ τὸν Λέοντα ἐκλείποντος τοῦ Ἡλίου στειρώσεις, ξηράνσεις τῶν ποταμῶν καὶ τῶν ὑδάτων γίνεσθαι, κατὰ μὲν τὸν Ὑδροχόον τῶν κατ' ἄρκτον, κατὰ δὲ τὸν Λέοντα τῶν κατ' Αἴγυπτον καὶ μεσημβρίαν. τάς τε τοῦ Ὠκεανοῦ κατά τε ἀνατολὰς καὶ τὰς δύσεις ὑποχωρήσεις, πλημμύρας καὶ ἀμπώτεις τοῦ τε Ἀτλαντικοῦ πελάγους καὶ τῆς Ἐρυθρᾶς θαλάσσης τὰς καθ' ἕκαστον νυχθήμερον γινομένας ὑπὸ τῶν τῆς Σελήνης ἀνατολῶν καὶ καταδύσεων σαλεύεσθαι καὶ κινεῖσθαι ἐκ βάθρων σημαίνει. 〈κγʹ〉

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Περὶ ἐπισημασιῶν τῆς τοῦ Κυνὸς ἐπιτολῆς καὶ τῶν πρὸς αὐτὴν ἀστέρων Παρετήρησαν δὲ οἱ παλαιγενεῖς σοφοὶ Αἰγύπτιοι καὶ τὰς τῆς Σωθεὼς ἐπιτολὰς ἐν τῇ κε′ τοῦ μηνὸς Ἐπιφὶ καὶ τὰ τούτων ἀποτελέσματα ἐξέθεντο, ὧν πλείστων ὄντων ὀλίγα καὶ εὐσύνοπτα παρατίθεμαι.

66 (1t) Ἀνατείλασα τοίνυν ἡ Σωθὶς χρυσοειδὴς εἰς ἅπαντα γίνεται σύμφορος· εὐφορίαν γὰρ καὶ τὰ κάλλιστα τῇ χώρᾳ μηνύει, τάς τε ἀναβάσεις καὶ ἀποβάσεις τῶν ὑδάτων ἐν δέοντι καιρῷ καὶ κατὰ λόγον μηνύει, ὁμοίως τε καὶ τὸν σπόρον καὶ τὰ λοιπά. σκοτεινοῦ δὲ τοῦ ἄστρου ἀνατείλαντος πᾶν τοὐναντίον ἔσται καὶ τὰ γεννήματα ἐν σπάνει καὶ αἱ κύουσαι ἐκτρώσονται. Ἐπιτείλας δὲ ὁ ἀστὴρ μέγας καὶ λαμπρὸς βορέου πνέοντος καὶ τὴν ἀνάβασιν τῶν ὑδάτων κατὰ λόγον καὶ τὰ λοιπὰ ἐπὶ συμφέροντι μηνύει, σπόρους τε ἐπιτηδείους καὶ εὐφορίαν, τῷ τε τῆς χώρας βασιλεῖ νίκην κατὰ τῶν ἀντιπάλων· μικρὸς δὲ καὶ στυγνὸς ἀνατείλας βορέου πνέοντος ἐπιστρατεύσασθαι τῇ χώρᾳ τοὺς ἐκτὸς καὶ οὐ καλῶς ἀπαλλάξειν, τήν τε ἀνάβασιν τοῦ Νείλου καὶ αἰσίαν τῶν ὑδάτων ἐπιφορὰν ἔσεσθαι σημαίνει καὶ τὰς τιμὰς ἐλαττωθῆναι. μέγας δὲ καὶ λαμπρὸς λιβὸς καὶ νότου πνέοντος ἀμιξίας τε καὶ θανάτους, μετρίας τε τῶν ὑδάτων ἀναβάσεις καὶ λιμὸν μηνύει.

67 ἀνατείλας δὲ μέγας καὶ λαμπρὸς βορέου καὶ ἀπηλιώτου πνέοντος τὸν βασιλέα τῆς χώρας καταλείψειν τὸν ἑαυτοῦ θρόνον καὶ ἀφανῆ γενέσθαι καὶ πόλεμον ἔσεσθαι, μικροῦ δὲ ἀνατείλαντος βορέου καὶ ἀπηλιώτου πνέοντος ἀνάβασιν κατὰ λόγον ἔσεσθαι καὶ κρατηθῆναι τὰ Αἰθιόπων δι’ ἀλκῆς σημαίνει. μέλας δὲ ἀνατείλας λοιμὸν ποιεῖ, χλωρὸς δὲ νόσους, πυρρὸς δὲ πόλεμον καὶ σφαγάς. Ἐπισκοπητέον δὲ καὶ τὴν Σελήνην καὶ τοὺς πέντε ἀστέρας πῶς ἔχουσι σχήματός τε καὶ κινήσεως καὶ χρώματος πρὸς τὸ ἄστρον ἐν τῇ ἐπιτολῇ αὐτοῦ. τὸ γὰρ χρῶμα τὰ πάθη σημαίνει, τὰ δὲ σχήματα καὶ ἡ ποιὰ κίνησις ἢ οἱ στηριγμοὶ ἰσχυροτέραν ἢ ἀδρανῆ τὴν ἐνέργειαν ἐργάζονται· πᾶς δὲ ἀστὴρ ἀπογειότατος μὲν ὢν ἐπικοινωνεῖ πως τῆς δυνάμεως τοῦ ἀνωτέρου ἀστέρος, περιγειότατος δὲ μεταλαμβάνει τῆς τοῦ κατωτέρου, κατὰ μέσα δὲ κινούμενος ἕκαστος κινήματα τὴν ἰδίαν ἔχει δύναμιν καθαρεύων τῆς τῶν ἄλλων ἀστέρων κοινωνίας. ὁ δὲ τοῦ Κρόνου ἀπογειότατος γινόμενος ψυκτικώτατος γίνεται καὶ τὰ ἐπὶ γῆς οὕτω συνδιατίθεται, ἡ δὲ Σελήνη περιγειοτάτη τυχοῦσα τὰ τῇδε μᾶλλον συναλλοιοῖ ἤπερ ἐν ταῖς ἄλλαις αὐτῆς θέσεσιν, οἱ δὲ μεταξὺ ἀστέρες, ὡς ἔφην, ἐπικοινωνοῦσι τῆς ἀλλήλων δυνάμεως. πρὸς οὖν τὰς κινήσεις αὐτῶν καὶ τὰς θέσεις ἐπισκοπητέον καὶ τὰς ἐνεργείας· ἕκαστος δὲ αὐτῶν ἐν τοῖς στηριγμοῖς σημαίνει καὶ μᾶλλον ἐν τῷ δευτέρῳ στηριγμῷ κρατύνει τὸ τῆς αὐτοῦ δυνάμεως ἀποτέλεσμα, ἡ δὲ Σελήνη μετὰ τὰς ἀπορροίας τῶν ἀστέρων τὰς ἐπισημασίας εὐαισθητοτέρας ποιεῖται, καὶ οἱ λοιποὶ δὲ ἀστέρες πρὸς ἀλλήλους οὕτω ποιοῦνται.

68 Ὁ δὲ τοῦ Ἄρεως καὶ ὁ τοῦ Κρόνου ἐν τοῖς τῆς Σελήνης ἐκλειπτικοῖς τόποις τυχόντες ἄνευ ἀγαθοποιῶν λοιμῶν παραίτιοι γίνονται, μάλιστα περί τε τοὺς πόδας τῶν Διδύμων καὶ Καρκίνου τὸ στῆθος καὶ τοὺς αὐτοῦ πρώτους ἀστέρας καὶ τὸ Φάτνιον, Λέοντος τὸ στῆθος καὶ τὸν ἀμαυρὸν τὸν ἐπὶ τοῦ μαστοῦ τῆς Παρθένου καὶ τὸν ἔσχατον τοῦ Ζυγοῦ καὶ τὸν νότιον τὸν ἐν τῇ Πλάστιγγι καὶ Σκορπίου τὸ μέτωπον καὶ Τοξότου κατὰ τοὺς περὶ τὴν χεῖρα ἀστέρας καὶ Αἰγοκέρωτος τοὺς κατὰ τὴν οὐρὰν δύο. καὶ ἔκλειψις δὲ γενομένη Ἡλίου ἢ Σελήνης ἐν τούτοις τοῖς μέρεσιν ἢ καὶ χωρὶς αὐτῶν, ὑπὸ δὲ τῶν κακοποιῶν περισχεθεῖσα συγκακουμένου καὶ τοῦ Ἑρμοῦ, μὴ μαρτυρούντων τῶν ἀγαθοποιῶν, χαλεπωτάτη γίνεται, καὶ μάλιστα ἐν τοῖς τροπικοῖς· αἱ γὰρ ἐπὶ τούτων ἐκλείψεις καὶ μάλιστα Ἡλίου κοσμικὰ συμπτώματα ποιοῦσιν, αἱ δ’ ἐπὶ τοῦ Λέοντος κακώσεις βασιλέων καὶ ποταμῶν στειρώσεις. Παραφυλακτέον οὖν τάς τε θερινὰς τροπὰς καὶ τὰς χειμερινὰς καὶ τὰς ἄλλας τροπὰς καὶ τὰς γινομένας συζυγίας ἔγγιστα αὐτῶν. ἐπισκοπητέον καὶ πῶς ἔχουσι πρὸς αὐτὰς οἱ ἄλλοι πέντε πλανώμενοι, καὶ οὕτω καταστοχάζεσθαι τοῦ μέλλοντος συμπτώματος. Ἄρεως γὰρ μαρτυροῦντος μόνου κατὰ παρουσίαν ἢ διάμετρον ἢ τετράγωνον στάσιν ὑπονοητέον, ἰσχυροὺς καύσωνας καὶ ἐμπρήσεις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ τὴν ὑποκειμένην χώραν ᾗ προσοικείωται τὸ ζῴδιον, Κρόνου δὲ μόνου μαρτυροῦντος τὰ τοῦ Κρόνου ὑπονοητέον, τουτέστι πάγον καὶ ψυχρότητα, ὅθεν ἀναγκαῖον τὰς προγενομένας συνόδους ἢ πανσελήνους πρὸ τῶν τροπικῶν καὶ ἰσημερινῶν σκοπῆσαι καὶ τὰς μεταξὺ ἕως τῶν ἐφεξῆς τροπῶν, μήπως ὑπὸ ἀγαθοποιῶν ἢ κακοποιῶν μαρτυρῶνται, καὶ πρὸς αὐτὰς τὴν τῆς ἑξῆς τριμήνου κατάστασιν λαμβάνειν, τὰ δὲ μηνιαῖα ἀπὸ τῆς κατὰ μῆνα συνόδου σκοπεῖν, τὰ δὲ ἡμερήσια ἀπὸ τῶν τῆς Σελήνης σχημάτων μηνοειδῶν καὶ διχοτόμων καὶ ἀμφικύρτων καὶ πανσελήνων καὶ συνόδων.

69 ἔτι δὲ οἱ πέντε πλανώμενοι ἑῷοι ἀνατολικοὶ ὄντες καὶ προσθετικοὶ ἐν τῷ καιρῷ τῆς ἀναβάσεως ὄντες τοῦ Κυνὸς ἀστέρος ἢ καί τινες ἐξ αὐτῶν (μάλιστα Ἀφροδίτη καὶ Ἑρμῆς) ἀναβάσεις τοῦ Νείλου καλὰς καὶ μεγάλας καὶ εὐετηρίας ποιοῦνται. παρετηρήθησαν δὲ καὶ ἕκαστος τῶν τριῶν Κρόνος, Ζεύς, Ἄρης, ὅτι ἑῷοι μὲν καθεστῶτες ἀναβάσεις ποιοῦνται, ἑσπέριοι δὲ ὄντες καὶ ἐν δύσει τὸ ἐναντίον. Ὅσα δὲ ἀποτελοῦσιν οἱ ε πλανῆται ἐν τοῖς δωδεκατημορίοις κατὰ τὴν τοῦ ἄστρου ἀνατολὴν ταῦτά ἐστιν. Κρόνος ἐν μὲν Καρκίνῳ ἐγκαταλείψειν τὸν ἑαυτοῦ θρόνον τὸν τῆς Αἰγύπτου βασιλέα ἢ καὶ ἀποθανεῖσθαι σημαίνει καὶ ἐν τοῖς βασιλείοις στάσεις γενέσθαι καὶ ἀλλαγάς, τὴν δὲ ἀνάβασιν τοῦ Νείλου ὀλίγην καὶ σπάνιν γεννημάτων, ἐν δὲ Λέοντι εὐετηρίαν καὶ ἀνάβασιν, τῶν τε ἐκτὸς τόπων κάκωσιν, κτηνῶν πλῆθος, ἀνθρώπων φθοράν, ἐν δὲ Παρθένῳ ἀμιξίαν καὶ ἀκαταστασίαν καθ' ὅλην γῆν, τούς τε κροκοδείλους ἀγριωτέρους ἔσεσθαι καὶ θανάτους πολλοὺς καὶ δαιμόνων ἐπαποστολάς, ὁλοκαυσίας τε πρὸς τὸ παύσασθαι τοὺς θανάτους, ξηρῶν δὲ καρπῶν δαψίλειαν, ἐν δὲ Ζυγῷ πόλεμον ἐν Αἰγύπτῳ καὶ ἐπαναστάσεις, ἀνάβασίν τε τοῦ ποταμοῦ πολλὴν ἐν τῷ πρώτῳ ἔτει, ἐν δὲ τῷ δευτέρῳ ὀλίγην καὶ ἱερῶν πολυορκίαν, ἐν δὲ τῷ τρίτῳ γεννημάτων δαψίλειαν, ἐν δὲ τῷ Σκορπίῳ θανάτους καθ' ὅλην τὴν οἰκουμένην καὶ ἀνάβασιν καὶ ὀλιγοσιτίαν, ἐν δὲ Τοξότῃ ἀπώλειαν τῶν τῆς Αἰγύπτου ἡγουμένων, ἐπιγραφάς τε ἀφορήτους ἔσεσθαι καὶ ἱεροσυλίας, ἐν δὲ Αἰγοκέρωτι πόλεμον ἐν Αἰγύπτῳ, τῶν τε τοῦ βασιλέως φίλων ἀπώλειαν ἢ καὶ αὐτοῦ, τούς τε πένητας πλουτήσειν καὶ τοὺς πλουσίους πτωχεύσειν, τά τε ἀγάλματα ἀπολεῖσθαι καὶ ἀναρχίαν ἔσεσθαι, ἐν δὲ Ὑδροχόῳ δηλοῖ δύο βασιλεῖς πολεμῆσαι χάριν τῆς ἀρχῆς πρὸς ἑαυτοὺς καὶ τὴν ἀρχὴν οὐκ εἰς παῖδας ἐλθεῖν, τήν τε ἀνάβασιν ὀλίγην, τόν τε σπόρον καὶ τὰ φυτὰ εὐκαρπήσειν, λοιμόν τε ἔσεσθαι, ἐν δὲ Ἰχθύσιν ἀνάβασιν πολλὴν καὶ θανάτους, τοῦ δὲ βασιλέως οἰκεῖον ἀπολέσθαι, ἐν δὲ Κριῷ πολλῶν κακῶν ἐστιν αἴτιος τῷ κόσμῳ, γεννημάτων δὲ πλῆθος καὶ ἀνθρώπων φθορά, ἐν δὲ Ταύρῳ ἀγαθὰ τῇ γῇ καὶ ἀνάβασιν πολλὴν καὶ τὸ ὕδωρ φθοροποιὸν καὶ τῶν νεωτέρων θανάτους, ἐν δὲ Διδύμοις θανάτους καθ' ὅλην τὴν οἰκουμένην, τόν τε Νεῖλον συμμέτρως ἀνελθεῖν.

70 Ὁ δὲ Ζεὺς ἐν Καρκίνῳ ἐν τῷ καιρῷ τῆς τοῦ Κυνὸς ἀνατολῆς δηλοῖ τὸν βασιλέα μὴ ἀληθεύειν πρὸς τοὺς φίλους, ἀνάβασίν τε ἔσεσθαι καὶ σίτου εὐφορίαν, ἐν δὲ Λέοντι κακωθήσεσθαι τὸν βασιλέα καὶ φίλον αὐτοῦ ἀποβαλεῖν θανάτῳ, τήν τε ἀνάβασιν γενέσθαι καὶ βροχάς, κριθῆς τε καὶ ὀλύρας κάκωσιν, ἐν δὲ Παρθένῳ καὶ Ζυγῷ καὶ Σκορπίῳ σημαίνει τὸν βασιλέα τῆς Αἰγύπτου καταλείψειν τὸν ἑαυτοῦ θρόνον καὶ ἀκαταστατήσειν, τὴν δὲ γυναῖκα αὐτοῦ ἀλκιμωτέραν εἶναι, ἐν δὲ τοῖς ἔξω τόποις ἔσεσθαι γεννήματα, ἐν δὲ τῷ Τοξότῃ ἀκαταστασίαν καὶ ἀνάβασιν εὔτακτον, ἐν δὲ Αἰγοκέρωτι μηνύσει ἀντιπαρατάξασθαί τινα τῷ βασιλεῖ καὶ νικήσειν, τὸν δὲ βασιλέα ἐπὶ ἡμέρας φυγεῖν καὶ μετὰ ταῦτα ἐπανήξειν, ἐν δὲ Ὑδροχόῳ ἰσχυρὸν τὸν βασιλέα δεικνύει καὶ ἀνάβασιν καὶ πανουργίαν τινὸς τῶν τοῦ βασιλέως, ἐν δὲ Ἰχθύσιν ἀνάβασιν εὔθετον καὶ βασιλέως τελευτήν, ἐν δὲ τῇ Ἐλυμαΐδι χώρᾳ γεωργῶν ἀπώλειαν, ἐν δὲ Κριῷ μεγάλην ἀνάβασιν καὶ εὐετηρίαν, τὸν δὲ τῆς Συρίας ἡγούμενον ἀπολέσθαι, ἐν δὲ Ταύρῳ ἀποσημαίνει ἀγαθὰ καὶ κτηνῶν πλῆθος, ἐν δὲ Διδύμοις ἀνάβασιν καὶ εὐετηρίαν, ἀρρωστίας δὲ ἔσεσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

71 Ὁ δὲ τοῦ Ἄρεως ἀστὴρ ἐν τῇ τοῦ Κυνὸς ἀνατολῇ τυχὼν ἐν Καρκίνῳ ἀποτελεῖ ἀνάβασιν καὶ εὐετηρίαν, ὑπερέχοντος δὲ προσώπου ἀπώλειαν, ἐν δὲ τοῖς ἔξω μέρεσιν ἀβροχίαν, ἐν δὲ Λέοντι καρπῶν ἀφθονίαν καὶ ὄψιμον τὴν ἀνάβασιν, ἐν δὲ Παρθένῳ τὰ ἐν Συρίᾳ καλῶς καὶ ἐν Αἰγύπτῳ ἕξειν, ἐν δὲ Ζυγῷ τὴν ἀνάβασιν κατὰ λόγον καὶ εὐφορίαν τῶν ξηρῶν καρπῶν, θάνατον δὲ ταῖς κυούσαις, ἐν δὲ Σκορπίῳ σημαίνει λοιμὸν ἐν Αἰγύπτῳ καὶ βροντὰς καὶ χάλαζαν, ἐν δὲ Τοξότῃ ἀκαταστασίαν ἐν Συρίᾳ, ἐν δὲ Αἰγοκέρωτι ἀποτελέσει μεγάλην ἀνάβασιν, τούς τε κροκοδείλους παύσασθαι τῆς πολλῆς ἀγριότητος, θυμάτων ὁλοκαυτηθέντων θάνατόν τε καὶ λιμὸν κατὰ τὴν χώραν, ἐν δὲ Ἰχθύσι θάνατον βασιλέως καὶ ἀνάβασιν μετὰ τὸ ἀνανθῆναι, ἐν δὲ Κριῷ τὸν τῆς Ἐλυμαΐδος χώρας ἡγούμενον σημαίνει τελευτήσειν καὶ τὸν παῖδα αὐτοῦ μὴ διαδέξασθαι, ἐν δὲ Ταύρῳ ἀνάβασιν κατὰ λόγον καὶ εὐφορίαν, τοὺς δὲ θεοὺς προσδέξασθαι τὰς εὐχὰς μηνύει, ἐν δὲ τοῖς Διδύμοις ἀκαταστατήσειν τὴν Συρίαν καὶ ἀνομβρίαν ἔσεσθαι σημαίνει.

72 Ὁ δὲ τῆς Ἀφροδίτης ἀστὴρ ἐν τῷ καιρῷ τῆς τοῦ ἄστρου ἀνατολῆς τυχὼν ἐν Διδύμοις ἀνάβασιν ἱκανὴν καὶ ὀσπρίων πλῆθος σημαίνει, ἐν δὲ Καρκίνῳ ἀγαθὰ τῇ Αἰγύπτῳ καὶ ἀνάβασιν καὶ τῶν ἡγουμένων ἀπώλειαν, ἐν δὲ Λέοντι ὄχλων συνόδους, τῶν τε ὠνίων κουφισμούς, ἐν δὲ Παρθένῳ τῶν ξηρῶν καρπῶν πλεονασμούς, αὔξησίν τε τοῦ γένους τῶν γυναικῶν καὶ μοιχείας. Τοῦ δὲ Ἑρμοῦ ὄντος ἐν Διδύμοις κατὰ τὴν ἀνατολὴν τοῦ Κυνὸς ἀνάβασις ἔσται κατὰ λόγον καὶ εὐφροσύνη τοῖς δήμοις, καὶ ὁ βασιλεὺς ἐπικρατήσει, ἐν δὲ Καρκίνῳ ἱεροσυλίας καὶ ἁμαρτίας μηνύει, ἐν δὲ Λέοντι ἀνάβασιν καὶ σῖτον πολύν, ἐν δὲ τῇ Παρθένῳ σπόρον καλὸν καὶ εὐετηρίαν καὶ ἀλκὴν τῇ ἀρχῇ Συρίας. Ἐκ δὲ τῶν προειρημένων τὰς συγκράσεις τῶν ἀποτελεσμάτων ποιητέον ὅταν ἐν τῷ αὐτῷ ζῳδίῳ τύχωσιν ὄντες ἤ τινες αὐτῶν ἐν τῷ καιρῷ τῆς τοῦ ἄστρου ἀνατολῆς. ἡ δὲ Σελήνη τυχοῦσα μετὰ Κρόνου ἐν τῇ τοῦ Κυνὸς ἀνατολῇ σημαίνει ᾗ προσοικείωται χώρᾳ τὸ ζῴδιον ἐφ’ οὗ τυγχάνουσι πόλεμον καὶ λοιμὸν καὶ τὰ κυούμενα ζῷα φθαρήσεσθαι, σὺν τῷ Διὶ δὲ οὖσα ἡ Σελήνη θάνατον μεγάλων ἀνδρῶν, εἰρήνην τε καὶ εὐφορίαν δηλοῖ, σὺν τῷ Ἄρει δὲ μελαγχολώδη λοιμὸν καὶ πόλεμον ἔσεσθαι καὶ ἐμπρησμούς, σὺν δὲ τῷ τῆς Ἀφροδίτης νόσους γυναικῶν καὶ ἐκτρώσεις, σὺν δὲ τῷ τοῦ Ἑρμοῦ ἐπίνοσον τὸν καιρὸν σημαίνει νέοις καὶ ἐφήβοις. ἐπισκοπητέον δὲ τὸ ζῴδιον τίνι χώρᾳ προσοικείωται καὶ εἰς ποῖον μέλος παραλαμβάνεται καὶ οὕτω καταστοχάζεσθαι τῶν νοσημάτων. καὶ τὰς ἀνέσεις δὲ καὶ ἐπιτάσεις ἔτι ἔκ τε τῶν τῆς Σελήνης φωτισμῶν καὶ τῆς τῶν ἀστέρων φάσεώς τε καὶ δυνάμεως συνορατέον. Ἔτι δὲ παραφυλαξάμενοι Αἰγύπτιοι κατὰ τὰς τοῦ Κυνὸς ἐπιτολὰς βροντῶν γενομένων ἀπὸ τῆς πρώτης ἡμέρας ἄχρι τῆς ἑβδόμης πάγκακον τῇ Αἰγύπτῳ καὶ ἀφορίαν, βροχάς τε ἀνωμάλους καὶ τοῦ ἀέρος χειμῶνας.

73 μεγάλου δὲ καὶ λευκοῦ ἀνατείλαντος τοῦ ἄστρου καὶ διαπορευομένου τῷ χρώματι ὡς τὰ κύματα μέγαν τὸν Νεῖλον ἔσεσθαι καὶ εὐφορίαν, πυρροῦ δὲ ὄντος καὶ μιλτώδους πόλεμος ἔσται. ἐὰν δὲ μεγάλου ὄντος σύνεγγυς αὐτῷ ἀστέρες ὦσι μέλανες λιμὸς ἔσται, μικροῦ δὲ ὄντος καὶ χλωροῦ μετὰ τῶν σύνεγγυς ἀστέρων καὶ ἡ ἀνάβασις μικρὰ ἔσται καὶ σπάνις καρπῶν κατὰ πᾶσαν τὴν γῆν. ὀφθείσης δὲ μικρᾶς γραμμῆς νεφελοειδοῦς ἀποτεινούσης ἀπὸ τοῦ ἀστέρος ἐπὶ ἀπηλιώτην καὶ τοῦ ἄκρου τῆς γραμμῆς πυρώδους ὄντος ταραχὴ ἔσται καὶ ὁ μικρότερος τῶν κρατούντων περιέσται τοῦ μείζονος, γενομένης δὲ τῆς γραμμῆς πυρώδους καὶ μακρᾶς ἀποτεινούσης ἀπὸ τοῦ νότου ἐπὶ βορρᾶν καὶ τοῦ ἄκρου λυχνώδους πόλεμον καὶ θάνατον σημαίνει πάσῃ χώρᾳ. 〈κδ′〉 Περὶ τῶν ἐν ταῖς ἐκλείψεσι χρωμάτων καὶ κομητῶν Ἐπιτηρητέον δὲ καὶ τὰ ἐν ταῖς ἐκλείψεσι χρώματα ἤτοι αὐτῶν τῶν φώτων ἢ τῶν περὶ αὐτὰ γινομένων συστημάτων οἷον ῥάβδων ἢ ἄλλων τῶν τοιούτων. μέλανα γὰρ ἢ ὑπόχλωρα φανέντα σημαντικὰ γίνεται τῶν ἐπὶ τῆς τοῦ Κρόνου φύσεως εἰρημένων, λευκὰ δὲ τῶν ἐπὶ τῆς τοῦ Διός, ὑπόκιρρα δὲ τῶν ἐπὶ τῆς τοῦ Ἄρεως, ξανθὰ δὲ τῶν ἐπὶ τῆς τῆς Ἀφροδίτης, ποικίλα δὲ τῶν ἐπὶ τῆς τοῦ Ἑρμοῦ. καὶ ἐὰν ἐν ὅλοις τοῖς σώμασιν ἢ τοῖς περὶ αὐτὰ τόποις τὸ χρῶμα φαίνηται, περὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ πλεῖστα μέρη τῶν χωρῶν ἔσται τὸ σύμπτωμα, ἐὰν δὲ ἀπὸ μέρους, περὶ ἐκεῖνο μόνον τὸ μέρος καθ’ ὃ ἡ πρόσνευσις τοῦ ἰδιώματος ἔσται.

74 Τηρητέον δὲ καὶ τὰς συνισταμένας ἤτοι κατὰ τοὺς ἐκλειπτικοὺς καιροὺς ἢ καὶ ὁτεδήποτε κομητῶν ἐπιφανείας πρὸς τὰς καθόλου περιστάσεις, οἷον τῶν καλουμένων Δοκίδων ἢ Σαλπίγγων ἢ Πίθων καὶ τῶν τοιούτων, ὡς ἀποτελεστικὰς μὲν φύσει τῶν ἐπὶ τοῦ Ἄρεως καὶ τοῦ Ἑρμοῦ, πολέμων δὲ καὶ καυσωδῶν καταστημάτων καὶ τῶν τούτοις ἐπισυμβαινόντων, δηλούσας δὲ διὰ μὲν τῶν τοῦ ζῳδιακοῦ μερῶν καθ’ ὧν ἂν αἱ συστάσεις αὐτῶν φαίνονται καὶ τῶν κατὰ τὰ σχήματα τῆς κόμης προσνεύσεων τοὺς τόπους οὓς ἐπισκήπτουσι τὰ συμπτώματα, διὰ δὲ τῶν αὐτῆς τῆς συστάσεως ὡσπερεὶ μορφώσεων τό τε εἶδος τοῦ ἀποτελέσματος καὶ τὸ γένος περὶ ὃ τὸ πάθος ἀποβήσεται, διὰ δὲ τοῦ χρόνου τῆς ἐπιμονῆς τὴν παράτασιν τῶν συμπτωμάτων, διὰ δὲ τῆς πρὸς τὸν Ἥλιον σχέσεως τὴν καταρχήν, ἐπειδήπερ ἑῷοι μὲν ἐπιφαινόμενοι τάχιον σημαίνουσιν, ἑσπέριον δὲ βράδιον. Τῶν δὲ κομητῶν ὁ μὲν καλεῖται Ἱππεὺς καὶ ἱερὸς ἀστὴρ τῆς Ἀφροδίτης, μέγεθος ἔχων Σελήνης ὅλης πληθούσης, ὀξύτατος τὴν κίνησιν, ἐν ἑαυτῷ στίλβουσαν ἔχων τὴν χαίτην καὶ ἀπολήγουσαν εἰς τοὐπίσω, φέρεταί τε ἐπὶ τὸ αὐτὸ τῷ κόσμῳ διὰ τῶν δώδεκα ζῳδίων, φανεὶς δὲ βασιλέων καὶ τυράννων πτώσεις ταχείας ἀπεργάζεται καὶ μεταβολὰς πραγμάτων τῶν χωρῶν τούτων ἐφ’ ἃς ἐκπέμψει τὴν κόμην. Ὁ δὲ Ξιφίας τῷ τοῦ Ἑρμοῦ προσήκων φαίνεται δὲ ἰσχυρὸς καὶ χλωρότερος, παραμήκεις μᾶλλον ἀκτῖνας ἔχων περὶ αὑτόν, φανεὶς δὲ πρὸς ἀνατολὰς τῷ Περσῶν βασιλεῖ καὶ Ἀσσυρίων σημαίνει ἐπιβουλὴν καὶ φαρμακείας παρὰ τῶν σατραπῶν, πρὸς δὲ δυσμὰς φανεὶς ὁμοίως τοῖς πρὸς ἑσπέραν οἰκοῦσι μηνύει.

75 Ὁ δὲ Λαμπαδίας διαφέρων τῷ τοῦ Ἄρεως μακρότερός ἐστι καὶ πυρώδης, παραπλήσιος ταῖς διασειομέναις λαμπάσιν, φανεὶς δὲ πρὸς μὲν ἀνατολὰς ἐστραμμένος σημαίνει Περσίδι καὶ Συρίᾳ αὐχμόν, κεραυνούς, καρπῶν φθορὰν καὶ ἐμπρησμοὺς βασιλικῶν αὐλῶν, πρὸς δὲ μεσημβρίαν ἐστραμμένος τοῖς ἐν Λιβύῃ καὶ Αἰγύπτῳ κακόν, ὁμοίως καὶ ἀσπίδων πλῆθος σημαίνει, πρὸς δὲ δυσμὰς πάλιν τοῖς ἐνοικοῦσι ταῦτα δηλοῖ. Ὁ δὲ φύσει Κομήτης λέγεται τοῦ Διός, πραΰτερος φαίνεται καὶ μόνος στίλβει τῇ χαίτῃ καὶ ἐναργυρίζει καὶ μακρὰ πάλλει ὥστε μὴ ἀντωπεῖν, ἔχει δὲ ἐν ἑαυτῷ ἀνδρεῖον πρόσωπον, ὡς δοκεῖν θεοῦ, ὅθεν ὅπου ἀνατείλῃ καὶ νεύσῃ ἀγαθὰ σημαίνει τοῦ Διὸς ἐν Καρκίνῳ ἢ Σκορπίῳ ἢ Ἰχθύσιν ὄντος. Ὁ δὲ Δισκεὺς ὀνομαζόμενος τοῦ Κρόνου ἐστὶ στρογγύλος καὶ ὅμοιον ἔχει χρῶμα τοῦ Κρόνου, ἠλέκτρου ἀμορφότερος, περὶ δὲ τὴν περιφέρειαν αὐτοῦ ἀκτῖνες περικέχυνται, ἔστι δὲ μονοπρόσωπος καὶ πρὸς πᾶν κλίμα ὁμοίως διακείμενος· κινεῖ γὰρ παντοίους πολέμους ἐν πάσῃ χώρᾳ καὶ θάνατον μεγάλου βασιλέως καὶ τοὺς ἐν ἀρχαῖς καὶ δόξῃ ταπεινοῖ. Ἔστι δὲ καὶ ἄλλος κομήτης ῥοδοειδὴς καὶ μέγας, κυκλοτερής, ὃς καλεῖται Εἰληθυίας, κόρης ἔχων πρόσωπον, χρυσοειδεῖς ἔχων τὰς ἀκτῖνας κύκλῳ τῆς κεφαλῆς, ἡδύς τε τῇ προσόψει, τῷ τε χρώματι ὅμοιος ἀργύρου καὶ χρυσοῦ κράματι, σημαίνει δὲ ἀνθρώπων κατακοπὰς καὶ μεταβολὴν πραγμάτων ἐπὶ τὸ βέλτιον καὶ τοῖς συγκατακεκλιμένοις ἄφεσιν.

76 Ἔστι δὲ καὶ ἕτερος κομήτης τιτὰν ὃς καλεῖται Τυφών, χαλεπὸς λίαν καὶ πυρώδης, ἄμορφος καὶ βραδυκίνητος, ἔχει δὲ τὴν χαίτην ὡς μᾶλλον ὀπίσω, ἐπικαταφέρεσθαι δὲ εἴωθε τῷ Ἡλίῳ ἐν τοῖς πέρασι τοῦ ἀρκτικοῦ πόλου, φανεὶς δὲ πολλῶν κακῶν αἴτιος ἔσται, καρπῶν ἀπωλείας καὶ βασιλέων ἔν τε τῇ ἀνατολῇ καὶ δύσει. Αἱ δὲ Δοκίδες καὶ Πωγωνίαι μετὰ τῶν ἄλλων ἐκτὸς τοῦ ζῳδιακοῦ συνίστανται ἐν τῷ ἀρκτικῷ μέρει. 〈κε′〉 Περὶ τῆς τῶν μετεώρων σημειώσεως Περὶ δὲ τὰς κατὰ μέρος τῶν ἐπισημασιῶν προγνώσεις χρησιμεύουσιν αἱ παρατηρήσεις τῶν περὶ τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τοὺς ἄλλους ἀστέρας γινομένων. τὸν μὲν οὖν Ἥλιον τηρητέον πρὸς μὲν τὰς ἡμερησίους καταστάσεις ἀνατέλλοντα, πρὸς δὲ τὰς νυκτερινὰς δύνοντα, πρὸς δὲ τὰς παρατεινούσας κατὰ τοὺς πρὸς τὴν Σελήνην σχηματισμοὺς ὡς ἑκάστου σχήματος τὴν μέχρι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ἑξῆς κατάστασιν ὡς ἐπίπαν προσημαίνοντος. καθαρὸς μὲν γὰρ καὶ ἀνεπισκότητος καὶ εὐσταθὴς καὶ ἀνέφελος ἀνατέλλων ἢ δύνων εὐδεινῆς καταστάσεώς ἐστι δηλωτικός, ποικίλον δὲ τὸν κύκλον ἔχων ἢ ὑπόπυρρον ἢ ἀκτῖνας ἐρυθρὰς ἀποπέμπων ἤτοι ἐπὶ τὰ ἔξω ἢ ὡς ἐφ' ἑαυτὸν κυκλούμενον ἢ τὰ λεγόμενα παρήλια νέφη ἐξ ἑνὸς μέρους ἔχων ἢ σχήματα νεφῶν ὑπόκιρρα καὶ ὡσπερεὶ μακρὰς ἀκτῖνας ἀπομηκύνων ἀνέμων σφοδρῶν ἐστι σημαντικός, μέλας δὲ ἢ ὑπόχλωρος ἀνατέλλων ἢ δύνων μετὰ συννεφείας ἢ ἅλως ἔχων περὶ αὑτὸν μίαν ἢ δύο ἢ ἐξ ἀμφοτέρων τῶν μερῶν παρήλια νέφη καὶ ἀκτῖνας ὑπώχρους ἢ μέλανας χειμώνων καὶ ὑετῶν ἐστι δηλωτικός.

77 Τὴν δὲ Σελήνην τηρητέον ἐν ταῖς πρὸ τριῶν ἡμερῶν ἢ μετὰ τρεῖς παρόδοις τῶν τε συνόδων ἢ πανσελήνων ἢ διχοτόμων. λεπτὴ μὲν γὰρ καὶ καθαρὰ φαινομένη καὶ μηδὲν ἔχουσα περὶ αὑτὴν εὐδεινῆς καταστάσεώς ἐστι δηλωτική, λεπτὴ δὲ καὶ ἐρυθρὰ καὶ ὅλον τὸν τοῦ ἀφωτίστου κύκλον ἔχουσα διαφανῆ καὶ ὑποκεκινημένον ἀνέμων ἐστὶ σημαντικὴ καθ' ὧν ἂν μάλιστα ποιῆται τὴν πρόσνευσιν, μέλαινα δὲ ἢ ὠχρὰ ἢ παχεῖα θεωρουμένη χειμώνων καὶ ὄμβρων ἐστὶ δηλωτική. παρατηρητέον δὲ καὶ τὰς περὶ αὐτὴν γινομένας ἅλως. εἰ μὲν γὰρ μία εἴη καὶ αὐτὴ καθαρὰ καὶ ἠρέμα ὑπομαραινομένη, εὐδεινὴν κατάστασιν σημαίνει, εἰ δὲ δύο ἢ τρεῖς εἶεν, χειμώνων εἰσὶ δηλωτικαί· ὑπόκιρροι μὲν οὖσαι καὶ ὡς ἐκρηγνύμεναι τοὺς διὰ σφῶν ἀνέμους δηλοῦσιν. καθολικῶς μὲν ἐπὶ τῆς Σελήνης ὅσα μέν ἐστι λαμπρὰ καὶ καθαρὰ εὐδίας ἐστὶ δηλωτικά, ὅσα δὲ ἐρυθρὰ πνεύματος, ὅσα δὲ μέλανα καὶ γνοφώδη ὕδατος.

78 καὶ αἱ περὶ τοὺς ἀστέρας τούς τε πλανωμένους καὶ τοὺς λαμπροὺς τῶν ἀπλανῶν ἅλως συνιστάμεναι ἐπισημαίνουσι τὰ οἰκεῖα τοῖς τε χρώμασιν ἑαυτῶν καὶ ταῖς τῶν ἐναπειλημμένων φύσεσιν. Καὶ τῶν ἀπλανῶν δὲ τῶν κατά τι πλῆθος σύνεγγυς ὄντων παρατηρητέον τὰ χρώματα καὶ τὰ μεγέθη. λαμπρότεροι μὲν γὰρ καὶ μείζονες ὁρώμενοι παρὰ τὰς συνήθεις φαντασίας οἱ εἰς ὁποιονδήποτε μέρος ὄντες ἀνέμους τοὺς ἀπὸ τοῦ οἰκείου τόπου διασημαίνουσι, καὶ τῶν ἀϊδίων δὲ νεφελοειδῶν συστροφῶν οἷον τῆς Φάτνης καὶ τῶν ὁμοίων ἐπὰν αἰθρίας οὔσης αἱ συστάσεις ἀμαυραὶ καὶ ὥσπερ ἀφανεῖς πεπαχυμέναι θεωρῶνται, φορᾶς ὑδάτων εἰσὶ δηλωτικαί, καθαραὶ δὲ καὶ παλλόμεναι συνεχῶς πολλῶν πνευμάτων. ἐπὰν δὲ τῶν ἀστέρων τῶν παρ' ἑκάτερα τῆς Φάτνης τῶν καλουμένων Ὄνων ὁ μὲν βόρειος ἀφανὴς γένηται, βορέαν πνεῦσαι σημαίνει, ἐὰν δὲ ὁ νότιος, τὸν νότον. Καὶ τῶν ἐπιγινομένων δὲ κατὰ καιροὺς ἐν τοῖς μετεώροις αἱ μὲν τῶν κομητῶν συστροφαὶ πάντοτε αὐχμοὺς καὶ ἀνέμους προσημαίνουσι καὶ τοσούτῳ μείζονας ὅσῳ ἂν ἐκ πλειόνων καὶ ἐπὶ πολὺ ἡ σύστασις γένηται, αἱ δὲ διαδρομαὶ καὶ οἱ ἀκοντισμοὶ τῶν ἀστέρων εἰ μὲν ἀπὸ μιᾶς γένοιντο γωνίας, τὸν ἀπ' ἐκείνης ἄνεμον δηλοῦσιν, εἰ δὲ ἀπὸ τῶν ἐναντίων, ἀκαταστασίαν πνευμάτων, εἰ δὲ ἀπὸ τῶν τεσσάρων γωνιῶν, παντοίους χειμῶνας.

79 ὡσαύτως δὲ καὶ τὰ νέφη πόκοις ἐρίων ὄντα παραπλήσια προδηλωτικὰ ἐνίοτε χειμώνων, αἵ τε δὲ κατὰ καιροὺς συνιστάμεναι ἴριδες χειμῶνα μὲν ἐξ εὐδίας, εὐδίαν δὲ ἐκ χειμῶνος προσημαίνουσιν. Αἰθρίας δὲ οὔσης ὥσπερ ἀράχνια λεπτὰ μεταφερόμενα δηλοῖ τὸν ἀέρα περίψυχρον ἔσεσθαι ἰσχυρῶς, τοῦ δὲ ἀέρος καθαροῦ καὶ ἀνεφέλου ὄντος καὶ ἄνευ ὁμίχλης καὶ τῆς Σελήνης ὑπὸ γῆν οὔσης ἐπὰν ἐξαίφνης οἱ ἀστέρες ἀμαυροὶ γένωνται, χειμῶνα σημαίνουσιν. ἐὰν ἐν τῷ οὐρανῷ φλὸξ ὥσπερ ἡμμένη φανῇ πυρρὰς ἔχουσα διαστάσεις, πόλεμον σημαίνει. μέλας δὲ σφόδρα φαινόμενος ὁ οὐρανὸς σημαίνει στειρώσεις ποταμῶν καὶ φρεάτων, χλωρὸς δὲ φανεὶς δεσποτῶν ἀπώλειαν σημαίνει. Ἥλιοι δύο ὥσπερ φανέντες ἐκ παρηλίων νεφῶν δύο βασιλεῖς σημαίνουσι σχήσειν πρὸς ἀλλήλους, καθ' ὃ δὲ κλίμα ὁ μείζων ἐφάνη οὗτος νικήσει. κυάνεος δὲ φανεὶς ὁ Ἥλιος ἀνατέλλων πάσῃ γῇ λιμὸν καὶ λοιμὸν σημαίνει. ὁμίχλαι αἱ πρὸς τοῖς ὄρεσι γαλήνην ποιοῦσιν, αἱ δὲ ἐπεκκεχυμέναι καὶ διαρριπιζόμεναι ἀπαρκτίαν ἢ ἰάπυγα σημαίνουσιν. αὐχμοὶ ἔαρος ἢ φθινοπώρου ἐν μὲν τῇ δύσει φαινόμενοι ἀργέστην προλέγουσιν, ἐν δὲ τῇ ἀνατολῇ εὖρον. ἀνακόπτουσι δὲ χειμῶνα ἅπαντα τὰ πνεύματα πλὴν

εὔρου, τὸν δὲ προερεθίζουσιν. ἀλλὰ καὶ αἱ κορυφαὶ τῶν ὀρέων ἐν εὐδίᾳ ἦχον ἀποτελοῦσαι ἄνεμον σημαίνουσιν, ὁμοίως δὲ καὶ αἱ παραθαλάσσιοι ἀκταὶ ἠχοῦσαι ἐν εὐδίᾳ πελάγιον ἄνεμον καταγγέλλουσι, πολλοῦ δὲ ὄντος ἀνέμου ἐὰν μὴ ἐξερεύγηται τὰ κύματα βιαίως, πολυχρόνιον ἔσεσθαι τὸν χειμῶνα δηλοῖ.

80 Καὶ ἄλλα δὲ πλεῖστα παρετηρήθη εἰς πρόγνωσιν παρὰ τῶν ἀρχαίων, ἀρκεῖ δὲ οἶμαι καὶ ταῦτα πρὸς τὴν τῶν λοιπῶν πρόγνωσιν. ἡ μὲν δὴ τῶν καθολικῶν ἐπισκέψεων θεωρία κατὰ τὸ κεφαλαιῶδες ἐπὶ τοσοῦτον ἡμῖν ἐκ τῶν παρὰ τοῖς παλαιοῖς εἰρημένων ὑποτετυπώσθω, ἀρξόμεθα δὲ τῆς κατὰ τὸ γενεθλιακὸν εἶδος ἐν τοῖς ἑξῆς κατὰ τὴν προσήκουσαν ἀκολουθίαν μετὰ συντομίας ὁμοίως τοῖς ἔμπροσθεν. Τέλος τοῦ πρώτου βιβλίου. ΗΦΑΙΣΤΙΩΝΟΣ ΘΗΒΑΙΟΥ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ 〈ΓΕΝΕΘΛΙΑΛΟΓΙΚΟΝ〉 Ἐφεξῆς ἂν εἴη ἀκόλουθον τῶν πρώτων καὶ καθολικῶν προεκτεθειμένων ἡμῖν, ὦ σπουδαιότατε τῶν φίλων Ἀθανάσιε, ἐπισυνάψαι καὶ τὸ καθ’ ἕκαστον γενεθλιαλογικὸν εἶδος ἐπιμελουμένοις καὶ ἐνταῦθα μάλιστα τῆς πείρας τε καὶ συντομίας κατὰ τὸ δυνατόν· τὸ γὰρ πολυμερὲς τῆς θεωρίας ἐνταῦθα ποσῶς ἀναγκάζει πλείοσι χρῆσθαι.

81 (1t) καὶ τὰ μὲν οὕτως εὑρεθέντα παρὰ τοῖς ἀρχαίοις αὐταῖς λέξεσιν ἢ καὶ ἐμμέτρως ποιηθέντα φιλαλήθως ἐκτιθέμεθα, τὰ δὲ καὶ εἰς ἡμᾶς ἐλθόντα τῇ τε συνεχεῖ πείρᾳ καὶ παρατηρήσει πλείστων γενέσεων προσθεῖναι πειρασόμεθα τῷ μέρει τούτῳ. καὶ ἄλλως δ’ ἄν τις φιλομαθὴς καὶ φιλόπονος ὁρμώμενος ἔκ τε τῶν παλαιῶν συνταγμάτων καὶ τούτων αὐξήσειε ἂν τὴν τέχνην καὶ εὕροι ἂν πάμπολλα ἀληθῆ εἰς πρόγνωσιν τῶν τῷ ἀνθρωπείῳ γένει συμβαινόντων. ἀρξόμεθα δὲ ἐφεξῆς κατὰ τάξιν οὕτως. 〈α′〉 Περὶ σπορᾶς καὶ ἐκτέξεως Τῶν δὲ ἀνθρώπων τὴν σπορὰν λέγουσι γίγνεσθαι ἐπὶ μὲν τῶν δεκαμηνιαίων ἐν τῷ εὐωνύμῳ τετραγώνῳ τοῦ τῆς ἀποκυήσεως Ἡλίου (ἐκεῖ γὰρ ὄντος Ἡλίου ἡ σπορὰ ἐγένετο), ἐπὶ δὲ τῶν ἑπταμηνιαίων ἐν τῷ διαμέτρῳ· αὐτῶν δὲ τῶν δεκαμηνιαίων τοὺς μὲν τελεσιουργεῖσθαι τῆς μεγίστης ἀποκυήσεως διὰ ἡμερῶν σπη καὶ ὡρῶν η , τοὺς δὲ τῆς μέσης διὰ σογ καὶ ὡρῶν η , τοὺς δὲ τῆς ἐλαχίστης διὰ σνη καὶ ὡρῶν η , τῶν δὲ ἑπταμηνιαίων τοὺς μὲν τῆς μεγίστης ἀποκυήσεως ἡμερῶν εἶναι σς καὶ ὡρῶν η , τοὺς δὲ τῆς ἐλαχίστης ρος καὶ ὡρῶν η , τοὺς δὲ τῆς μέσης ρϙα 〈καὶ〉 ὡρῶν η .

82 Οἱ δὲ παλαιοὶ Αἰγύπτιοι οἱ περὶ Πετόσιριν διαβεβαιοῦνται λέγοντες ὡς ὅπου ἡ Σελήνη τυγχάνει ἐν τῇ ἀποκυήσει ἐκεῖνο τὴν σπορὰν ὡροσκόπησεν, ὅπου δὲ ἐπὶ τῆς σπορᾶς ἔτυχε τοῦτο ἐν τῇ ἀποκυήσει ὡροσκοπήσει ἢ τὸ τούτου διάμετρον. τινὲς δὲ καὶ οὕτω λαμβάνουσιν, ὅπερ οὐ πάνυ συμφωνεῖ ἡμῖν· πολυπλασίασον, φασίν, τὰς προανηνεγμένας μοίρας τοῦ ὡροσκοποῦντος ζῳδίου ἐν τῇ ἀποκυήσει ἐπὶ τὸ πλῆθος τῶν ὡρῶν καὶ τὰς γενομένας μοίρας ἔκβαλε ἀνὰ τριάκοντα ἀπὸ τοῦ ὡροσκόπου, καὶ ὅπου ἂν ἐκπέσῃ ὁ ἀριθμὸς ἐκεῖνο ὡροσκόπησε τὴν τοῦ σπέρματος καταβολήν. ἐπὶ δὲ τῆς Σελήνης ἄλλοι μὲν ἄλλα λέγουσιν. Ἀντίοχος δὲ ὁ Ἀθηναῖος λέγει καὶ ταύτην ἔχεσθαι τὴν μέθοδον ἀληθείας τινός· θέασαι, φησίν, πόστῃ τῆς Σελήνης ἐγεννήθη τις καὶ τούτῳ τῷ ἀριθμῷ πρόσθες ρπ καὶ ἀνθυφαίρει ἀεὶ ἀπὸ τοῦ γενεθλίου μηνὸς ἀνὰ κθ . εἰς ἣν δ’ ἂν ἡμέραν λήξῃ ὁ ἀριθμὸς σκόπει αὐτὴν ποῦ ἦν τότε ἡ Σελήνη· τὸ γὰρ ζῴδιον ἐφ’ οὗ πορεύεται νοείσθω ταὐτὸν ὂν καὶ ἐπὶ τῆς συλλήψεως ἔχον τὴν τῆς Σελήνης πάροδον. καὶ αὕτη ἡ μέθοδος ἐπὶ πάντων οὐ συμφωνεῖ, ἐξεθέμεθα δὲ αὐτὰς γυμνασίας χάριν καὶ ὑπὲρ τοῦ ἐκ πολλῶν τὸ αὐτὸ σύμφωνον εὑρεῖν.

83 ὁ μέντοι Ἀντίγονος φαίνεται μὴ ἐσκεμμένος τὴν περὶ τούτων ἀκρίβειαν διόπερ πάντῃ ἀποδοκιμάζει. Τῶν οὖν προεκτεθειμένων ἡ τῶν παλαιῶν Αἰγυπτίων μέθοδος μᾶλλον τῶν ἄλλων συμφωνεῖ, ὅθεν κατ’ αὐτοὺς ἐντέχνως σκέπτου τὸν τόπον τοῦτον οὕτως. ἐπειδὴ γὰρ εὑρέθη, ὡς προεῖπον, τῇ συνεχεῖ πείρᾳ τὸ ὡροσκοποῦν σημεῖον ἐν τῇ ἐκτέξει τοῦτο τὴν Σελήνην ἐπέχον ἐν τῇ σπορᾷ ὡς καὶ οἱ παρατηροῦντες τὸν καιρὸν τῆς σπορᾶς καὶ τὴν τότε μοῖραν τῆς Σελήνης τὴν αὐτὴν εὑρίσκουσιν ὡροσκοποῦσαν ἐν τῇ γενέσει, διὰ τοῦτο ἀναγκαῖον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν ὡροσκόπον πρῶτον σκοπῆσαι ἤτοι ἐκ τῶν κανόνων ἢ καὶ μεθοδικῶς ἐκ τῆς προγενομένης συζυγίας τῆς ἐκτέξεως οὕτως. ἀρίθμει ἐπὶ μὲν συνόδου ἀπὸ Ἡλίου ἕως τῆς μοίρας τῆς Σελήνης, καὶ τῶν γενομένων μοιρῶν τὸ ιβʹ λαβὼν ἀφαίρει εἰς τοὐπίσω ἀπὸ τῆς ἡλιακῆς, καὶ εἰς ἣν ἂν καταντήσῃ μοῖραν ἐκείνη ἔγγιστα ἔσται ἡ τῆς προγενομένης συνόδου μοῖρα. εἰ δὲ εἴη ἡ προγενομένη συζυγία πανσέληνος ὁμοίως ἀρίθμει ἀπὸ τῆς διαμέτρου μοίρας τῷ Ἡλίῳ ἕως τῆς Σελήνης καὶ τὸ ιβʹ πάλιν λαβὼν κούφισον ἀπὸ τῶν μοιρῶν τοῦ Ἡλίου, καὶ εἰς ἣν ἂν καταλήξῃ μοῖραν ἐκείνη σύνεγγυς ἔσται ἡ διαμετροῦσα τὴν τῆς προγενομένης πανσελήνου μοῖραν. ἐγνωσμένης δὲ τῆς μοίρας τῆς προγενομένης συζυγίας δήλη ἔσται καὶ ἡ ἡμέρα ἐν ᾗ γεγένηται 〈ἐκ〉 τοῦ πλήθους τῶν μεταξὺ μοιρῶν τῆς συζυγίας καὶ τοῦ γενεθλίου Ἡλίου κουφιζομένων ὀπίσω ἀπὸ τῆς γενεθλίου ἡμέρας ἑκάστης μοίρας λογιζομένης μιᾷ ἡμέρᾳ· τούτων οὕτω γνωσθέντων ὁ ὡροσκόπος σύνεγγυς δῆλος ἔσται. τὰς γὰρ μεταξὺ μοίρας τῆς προγενομένης συζυγίας καὶ τοῦ γενεθλίου Ἡλίου λογίζου κατὰ τὸ ἑξῆς ἀπὸ τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ὁ Ἥλιος πρὸς ἕκαστον ζῴδιον μίαν μοῖραν, καὶ εἰς ὃ ἂν καταλήξῃ ἐκεῖνος ἔσται ὁ ὡροσκόπος.

84 μεθοδικῶς ἐξακριβοῦται δὲ ἀπὸ τῆς γενεθλίου σεληνιακῆς μοίρας. Ἰστέον δὲ ὅτι ὅταν εὑρεθῇ ἡ Σελήνη ἐν τῇ ἐκτέξει ἐπὶ τοῦ ὡροσκόπου, εἶναί φασι τὸ βρέφος τῆς μέσης ἀποκυήσεως, τουτέστιν ἡμερῶν σογ ὡρῶν η , ἐὰν δὲ εὑρεθῇ ἐν τοῖς ἑπομένοις ζῳδίοις τοῦ ὡροσκόπου, ἔσται ὑπὲρ τὴν μέσην ἀποκύησιν, ἐὰν δὲ ἐν τοῖς ἡγουμένοις ζῳδίοις τοῦ ὡροσκόπου εὑρεθῇ, τότε ἔσται ἐλαττόνων ἡμερῶν τῆς μέσης ἀποκυήσεως. ἐὰν οὖν εὑρεθῇ ἡ Σελήνη ἐν τοῖς ἑξῆς ζῳδίοις τοῦ ὡροσκόπου, ἀρίθμει ἀπὸ τῆς μοίρας τοῦ ὡροσκόπου ἐπὶ τὴν Σελήνην καὶ τὰς γενομένας μοίρας μέρισον εἰς τὸ μέσον ἡμερήσιον δρόμημα τῆς Σελήνης, ὅ ἐστι μοιρῶν ιγ λεπτῶν ι , καὶ τὰς πρὸς ταῖς ἡμέραις ὥρας περιλειφθείσας μέρισον ὁμοίως εἰς τὸ ὡριαῖον δρόμημα αὐτῆς, ὅ ἐστι λεπτὰ λγ , καὶ τὰς γενομένας ἡμέρας τε καὶ ὥρας πρόσθες ταῖς τῆς μέσης ἀποκυήσεως ἡμέραις σογ ὥραις η , καὶ τὴν γενομένην ποσότητα κούφισον ἀπὸ τῆς γενεθλίου ἡμέρας εἰς τοὐπίσω· καὶ εὑρήσεις τὴν σπορίμην ἡμέραν. ἐὰν δὲ εὑρεθῇ ἡ Σελήνη ἐν τοῖς προανηνεγμένοις ζῳδίοις τῆς ὥρας ἐν τῇ ἐκτέξει ἔμπαλιν ποίει. ἀρίθμει ἀπὸ τῆς Σελήνης ἐπὶ τὴν τοῦ ὡροσκόπου μοῖραν καὶ τὰς γενομένας μοίρας μέρισον ὁμοίως εἰς τὸ μέσον ἡμερήσιον δρόμημα τῆς Σελήνης καὶ ὡριαῖον, καὶ τὰς γενομένας ἡμέρας τε καὶ ὥρας κούφισον ἀπὸ τῶν τῆς μέσης ἀποκυήσεως ἡμερῶν σογ ὡρῶν η , καὶ τὰς ὑπολοίπους ἀπὸ τῆς γενεθλίου ἡμέρας ἀφαίρει· καὶ εὑρήσεις παχυμερῶς τὴν σπορίμην ἡμέραν τε καὶ ὥραν. ὑπὲρ δὲ τοῦ ἀκριβέστερον εὑρεῖν ἀρίθμει τὴν Σελήνην καὶ τὸν Ἥλιον κατὰ τὴν ἀναφανεῖσαν ἡμέραν τε καὶ ὥραν τῆς σπορᾶς· καὶ ἐὰν εὕρῃς τὴν γενεθλίαν Σελήνην ἐν τοῖς ἑπομένοις ζῳδίοις τοῦ τῆς σπορᾶς Ἡλίου, λέγε τὴν σπορὰν ἐν ἡμέρᾳ γεγενῆσθαι, ἐὰν δὲ τὴν γενεθλίαν Σελήνην εὕρῃς ἐν τοῖς προανηνεγμένοις ζῳδίοις τοῦ τῆς σπορᾶς Ἡλίου, νόει τὴν σπορὰν ἐν νυκτὶ γεγενῆσθαι.

85 ἐὰν τοίνυν εὑρεθῇ ἡ σπορὰ ἐν ἡμέρᾳ, ἀρίθμει ἀπὸ τοῦ τῆς σπορᾶς Ἡλίου ἕως τῆς γενεθλίου Σελήνης τὰς μεταξὺ μοίρας, καὶ μαθὼν ἐν ποίαις μοίραις ἀναφέρονται κατὰ τὸ οἰκεῖον κλίμα μέρισον παρὰ τοὺς ὡριαίους χρόνους τοὺς παρακειμένους τῇ ἡλιακῇ μοίρᾳ ἐκείνης τῆς ἡμέρας ἢ ἐν ᾗ ἐνέπεσεν ἡ σπορά, καὶ ὅσας ἂν εὕρῃς ὥρας ἢ καὶ μόρια λέγε ταύτην εἶναι ἀκριβῆ ὥραν τῆς σπορᾶς. καὶ κατ' ἐκείνην τὴν ὥραν ἀρίθμησον τὴν Σελήνην ἀκριβῶς καὶ ἐφ' ἧς ἐστι μοίρας αὕτη ἐστὶν ἡ τοῦ ὡροσκόπου ἀκριβὴς μοῖρα τῆς γενέσεως. δῆλον δὲ ὡς καὶ ἡ ὡροσκοποῦσα μοῖρα τῇ ὥρᾳ τῆς σπορᾶς ἡ αὐτὴ ἔσται τῇ τῆς γενεθλίου Σελήνης καθὼς προείπομεν. ἐὰν οὖν ἐκ τῶν προειρημένων εὑρεθῇ ἡ μοῖρα τῆς σπορίμης Σελήνης σύμφωνος τῇ τοῦ ὡροσκόπου μοίρᾳ, φῶμεν ἀκριβῶς δίδοσθαι τὴν ὥραν τῆς γενέσεως, ἐὰν δὲ παρηλλαγμέναι ὦσιν αἱ μοῖραι καὶ εὑρεθῇ ἡ σπορίμη Σελήνη ἐλαττόνων μοιρῶν τοῦ κατὰ τὴν δοθεῖσαν ὥραν εὑρεθέντος ὡροσκόπου, δῆλον ὡς κουφίζεις τὸ διάφορον ἀπὸ τοῦ ὡροσκόπου, ἐὰν δὲ πλειόνων, προστίθης διότι ἀεὶ χρὴ νομίζειν τὴν ὡροσκοποῦσαν μοῖραν τὴν αὐτὴν εἶναι τῇ σπορίμῃ Σελήνῃ. ἐὰν δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν νυκτὶ ἡ σπορὰ εὑρεθῇ, ἔμπαλιν ποίει ἀπὸ τῆς γενεθλίου Σελήνης ἕως τοῦ τῆς σπορᾶς Ἡλίου καὶ τὰ αὐτὰ ποίει τοῖς προλελεγμένοις. Ποῖα δὲ ἐννεαμηνιαῖα καὶ ποῖα ἑπταμηνιαῖα γνωσθείη ἂν οὕτως.

86 σκοπήσαντες γὰρ ἐπὶ πάσης γενέσεως τὴν σπορίμην ἡμέραν ὡς ἐπὶ ἐννεαμηνιαίων καθ’ ὃν τρόπον ἐν τοῖς ἀνωτέρω δεδείχαμεν καὶ τὴν προγενομένην σύνοδον τῆς αὐτῆς σπορίμης ἡμέρας καὶ τὰς μεταξὺ μοίρας λαβόντες σὺν τῷ τρίτῳ μέρει αὐτῶν ἐκβάλλομεν ἀπὸ τῆς προγενομένης συνόδου τῆς σπορᾶς· καὶ ἐὰν ὑπερπέσῃ ὁ ἀριθμὸς τῶν μοιρῶν τὴν ἡμέραν τῆς συνόδου τῆς γενομένης μετὰ τὴν σποράν, φαμὲν εἶναι τὸ βρέφος ἑπταμηνιαῖον, ἐὰν δὲ εὑρεθῇ ἐλάττων ὁ ἀριθμός, ἐννεαμηνιαῖον. πάλιν δὲ γνόντες τὸ ὡροσκοποῦν ζῴδιον καὶ μοῖραν ἐπὶ τῆς ὥρας τῆς προγενομένης συνόδου τῆς σπορᾶς, καθὼς καὶ ἐπὶ τῶν ἐννεαμηνιαίων ἐμάθομεν, τυποῦμεν ὀρθογώνιον τρίγωνον ἀπὸ τούτου τοῦ ζῳδίου, δηλονότι τοῦ ὡροσκοποῦντος, ἀπὸ τῆς ἀνατολῆς εἰς τὰ ἡγούμενα ἔχον τὴν μὲν ὑποτείνουσαν πλευρὰν πρώτην μοιρῶν ρν , μεθ’ ἣν τὴν ὑπτίαν ρκ , τὴν δὲ λοιπὴν πλευρὰν ἑστῶσαν λοιπῶν μοιρῶν τοῦ κύκλου ϙ εἰς συμπλήρωσιν τῶν τξ μοιρῶν τοῦ ζῳδιακοῦ. μετὰ δὲ ταῦτα πάλιν σκοπήσομεν ὁμοίως τὴν ὡροσκοποῦσαν μοῖραν ἐπὶ τῆς προγενομένης συνόδου τῆς γενεθλίου ἡμέρας εἰς ποίαν πλευρὰν τῶν τριῶν ἐμπίπτει· ἐὰν μὲν εἰς τὴν ὑποτείνουσάν φαμεν εἶναι ἐννεαμηνιαῖον, ἐὰν δὲ εἰς τὴν ὑπτίαν ἑπταμηνιαῖον, ἐὰν δὲ εἰς τὴν λοιπὴν τὴν ὀρθὴν ὑποπτεύσομεν ἄλογον εἶναι ζῷον τὸ τεχθὲν ἢ ἀλλόκοτόν τι ἢ καὶ ὀλιγοχρόνιον. σκοποῦσι δὲ καὶ τὰς μοίρας τῶν δύο συνόδων τῆς τε γενεθλίου ἡμέρας καὶ τῆς σπορίμης· καὶ ἐὰν εὕρωσι τὴν μὲν μίαν σύνοδον ἐπὶ τῆς ὑποτεινούσης πλευρᾶς τοῦ προειρημένου τριγώνου, τὴν δὲ ἑτέραν ἐπὶ τῆς ὑπτίας, λέγουσιν εἶναι ἐννεαμηνιαῖον, ἐὰν δὲ ἡ μὲν μία ἐπὶ τῆς ὑπτίας, ἡ δὲ ἑτέρα ἐπὶ τῆς ὀρθῆς, ἑπταμηνιαῖον, ἐὰν δὲ ἐπὶ τῆς ὑποτεινούσης ἡ μία, ἡ δὲ ἄλλη ἐπὶ τῆς ὀρθῆς, ἄλογόν τι σημαίνει ζῷον ἢ καὶ ἀλλόκοτον καὶ ὀλιγοχρόνιον.

87 Ὑποδείγματος δὲ χάριν ἔστω τινὰ τετέχθαι ἐν τῷ ϙζʹ ἔτει ἀπὸ τῆς Διοκλητιανοῦ βασιλείας Ἀθὺρ λʹ ὥρᾳ ϛʹ ἐν τῷ τρίτῳ κλίματι, καθ’ ἣν ὥραν εὕραμεν τὸν μὲν Ἥλιον Τοξότου μοίρᾳ δʹ ἔγγιστα, τὴν δὲ Σελήνην Ταύρου λεπτῷ μζʹ, τὸν δὲ ὡροσκόπον Ὑδροχόου μοίρᾳ κεʹ. ἐπεὶ οὖν εὑρέθη ἡ Σελήνη ἐν τοῖς ἑπομένοις ζῳδίοις τοῦ ὡροσκόπου, ἀριθμεῖν χρὴ ἀπὸ τοῦ ὡροσκόπου ἕως τῆς μοίρας τῆς Σελήνης, καὶ εὕραμεν μοίρας ξε λεπτὰ μζ · ἃς παραβαλόντες παρὰ τὸ ἡμερήσιον κίνημα τῆς Σελήνης, τουτέστι μοίρας ιγ , εὑρήκαμεν ἡμέρας ε , καὶ τὰ ὑπολειφθέντα λεπτὰ μζ ὁμοίως παραβαλόντες παρὰ τὸ ὡριαῖον μέσον δρόμημα τῆς Σελήνης εὕραμεν ὥραν α γʹ ἔγγιστα. τὰς οὖν ἡμέρας ε καὶ ὥραν α γʹ προσεθήκαμεν ταῖς ἡμέραις τῆς πρώτης ἀποκυήσεως σογ γʹ καὶ ἐγένοντο ἡμέραι σοη καὶ ὧραι θ γʹ, ἀνακουφισάντων δὲ ἡμῶν ταύτας εἰς τοὐπίσω ἀπὸ τῆς γενεθλίου ἡμέρας τε καὶ ὥρας Ἀθὺρ λʹ ὥρᾳ ϛʹ ἔφθασεν εἰς Μεχεὶρ κϛʹ εἰς κζʹ ὥρᾳ νυκτερινῇ ηʹ· κουφιζομένου καὶ τοῦ τετάρτου μέρους ἐμβολίμου ἡμερονυκτίου, ὥρας ϛ , εὑρίσκεται ϙϛʹ ἔτει Μεχεὶρ κϛʹ εἰς κζʹ ὥρα δευτέρα, καθ’ ἣν ὥραν τὸν Ἥλιον εὑρήκαμεν 〈Ἰχθύων〉 μοίρᾳ ..., τὴν δὲ Σελήνην 〈Ὑδροχόου〉 μοίρᾳ ... Ἐγνωσμένου δὲ τοῦ τῆς σπορᾶς καιροῦ μεθοδικῶς ἢ καὶ παρατηρητικῶς χρηστέον αὐτῷ εἰς διάσκεψιν τῶν σωματικῶν τε καὶ ψυχικῶν ἰδιωμάτων ἐκ τοῦ τότε σχηματισμοῦ τῶν ἀστέρων καὶ τῆς τοῦ περιέχοντος διαδόσεως.

88 καὶ αὐτῇ δὲ τῇ ἐκτροπῇ προσεκτέον ὡς μεγίστῃ καὶ αὐτῇ δυναμένῃ τὰ αὐτὰ σημαίνειν καὶ μόνῳ τούτῳ τῆς κατὰ τὴν σπορὰν καταρχῆς λειπομένῃ τῷ δι’ ἐκείνης καὶ τὰ πρὸ τῆς ἐκτέξεως δύνασθαι προγινώσκεσθαι περὶ τοῦ βρέφους ἔτι ἀτελοῦς ὄντος κατὰ γαστρός, ταύτῃ δὲ περὶ ἀνθρώπου ἤδη τελειωθέντος. ὅθεν εὐλόγως ἂν ἐκείνη μὲν ὀνομάζοιτο σπέρματος ἀνθρωπίνου γένεσις, αὕτη δὲ ἀνθρώπου· πλεῖστα γὰρ αὐτῷ τότε προσγίνεται ἃ προσῆν ὅτε κατὰ γαστρὸς ἦν. τὴν κατὰ τὴν ἐκτροπὴν τοίνυν ἀρχὴν σκοποῦντες ἐξ αὐτῆς μᾶλλον ἀκριβῶς καταστοχαζόμεθα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάντων τῶν ἀνθρωπίνων συμπτωμάτων ὑποπιπτόντων καὶ ἐνταῦθα διὰ τῆς αὐτῆς θεωρίας καὶ τῶν κατὰ τῆς σπορᾶς χρόνον ἰδιωμάτων. 〈β′〉 Περὶ μοίρας ὡροσκόπου Περὶ δὲ τῆς ὡροσκοπούσης μοίρας μέθοδόν τινα ὁ φιλαλήθης Πτολεμαῖος ἐκτίθεται ἣν καὶ ἡμεῖς εὑρίσκομεν σχεδὸν ἐπὶ πάντων συμφωνοῦσαν· φησὶ γὰρ οὕτως. ἐπειδὴ περὶ τοῦ πρώτου καὶ κυριωτάτου μορίου (τουτέστι τῆς κατὰ τὴν ἐκτροπὴν ὥρας) ἀπορία γίνεται πολλάκις, μόνης μὲν ὡς ἐπίπαν τῆς δι᾽ ἀστρολάβων ὡροσκοπίων κατ᾽ αὐτὴν τὴν ἔκτεξιν διοπτεύσεως τοῖς ἐπιστημονικῶς παρατηροῦσι τὸ λεπτὸν τῆς ὥρας ὑποβάλλειν δυναμένης, τῶν δὲ ἄλλων σχεδὸν ἁπάντων ὡροσκοπίων οἷς οἱ πλεῖστοι τῶν ἐπιμελεστέρων προσέχουσι πολλαχῇ διαψεύδεσθαι τῆς ἀληθείας δυναμένων, τῶν μὲν ἡλιακῶν παρὰ τὰς τῶν θέσεων καὶ τῶν γνωμόνων ἐπισυμ〈πι〉πτούσας διαστροφάς, τῶν δὲ ὑδραγωγίων παρὰ τὰς τῆς ῥύσεως τοῦ ὕδατος ὑπὸ διαφόρων αἰτιῶν 〈καὶ διὰ τὸ〉 τυχὸν ἐποχάς τε καὶ ἀνωμαλίας, ἀναγκαῖον ἂν εἴη προπαραδοθῆναι τίνα ἄν τις τρόπον εὑρίσκοι τὴν ὀφείλουσαν ἀνατέλλειν μοῖραν τοῦ ζῳδιακοῦ κατὰ τὸν φυσικὸν καὶ ἀκόλουθον λόγον προυποτεθείσης τῆς ὡροσκοπούσης μοίρας κατὰ 〈τὴν〉 δεδομένην σύνεγγυς ὥραν διὰ τῶν ἀναφορικῶν κανόνων.

89 Δεῖ λαμβάνειν τὴν τῆς ἐκτροπῆς προγενομένην ἔγγιστα συζυγίαν ἐάν τε σύνοδος ᾖ ἐάν τε πανσέληνος καὶ τὴν μοῖραν ἀκριβῶς διεσκεμμένους, συνόδου μὲν οὔσης τὴν ἀμφοτέρων δηλονότι τῶν φώτων, πανσελήνου δὲ τὴν τοῦ ὑπὲρ γῆν αὐτῶν ὄντος κατὰ τὸν χρόνον τῆς ἐκτροπῆς, καὶ ἰδεῖν τοὺς πρὸς αὐτὴν οἰκοδεσποτικὸν λόγον ἔχοντας ἀστέρας, τοῦ τρόπου καθόλου τοῦ κατὰ τὴν οἰκοδεσποτείαν ἐν πέντε τούτοις θεωρουμένου—τριγώνῳ τε καὶ οἴκῳ καὶ ὑψώματι καὶ ὁρίῳ καὶ φάσει ἢ σχηματισμῷ— τουτέστιν ὅταν ἕν τι ἢ τὰ πλείονα τούτων ἢ καὶ πάντα ὁ ζητούμενος ἔχῃ τόπος πρὸς τὸν μέλλοντα οἰκοδεσποτήσειν. ἐὰν οὖν τινα τῶν ἀστέρων εὕρωμεν οἰκείως διακείμενον πρὸς ταῦτα πάντα ἢ τὰ πλείονα, ὅσας ἂν οὗτος ἐπέχῃ μοίρας ἀκριβῶς ἐν ᾧ παροδεύει ζῳδίῳ ἐν τῷ τῆς ἐκτροπῆς χρόνῳ τοσαύτας φῶμεν ὡροσκοπεῖν ἐν τῷ ζῳδίῳ τῷ εὑρεθέντι διὰ τῶν κανόνων κατὰ τὴν διδομένην σύνεγγυς ὥραν· οὕτω γὰρ ἐξ ἀκριβουμένων ἰσαρίθμως εὑρίσκεται τῇ τοῦ ἀστέρος ἐποχῇ καὶ τὸ λεπτὸν τῆς ὡροσκοπούσης μοίρας. ἐὰν δὲ δύο ἢ πλείους συνοικοδεσπότας εὕρωμεν, οὗ ἂν αὐτῶν ἡ ποσότης τῶν μοιρῶν ἐγγυτέρω τύχῃ τῇ παχυμερῶς ὡροσκοπούσῃ (τῇ τουτέστι ποσότητι τῶν μοιρῶν ἀκριβεῖ) χρησόμεθα καί φαμεν κατὰ τὴν τούτου μοῖραν ἰσαρίθμως τὸ ὡροσκοποῦν ζῴδιον ὡροσκοπεῖν.

90 ἐὰν μέντοι πλείων ᾖ ἡ ἀπόστασις τῶν τῆς οἰκοδεσποτείας μοιρῶν πρὸς τὴν κατὰ τὸ ὁλοσχερὲς ὡροσκοποῦσαν μοῖραν μᾶλλον ἤπερ πρὸς τὴν κατὰ τὸ ὅμοιον μεσουράνημα, τῷ αὐτῷ ἀριθμῷ πρὸς τὴν μεσουρανοῦσαν μοῖραν καταχρησάμενοι διὰ ταύτης καὶ τὰ λοιπὰ τῶν κέντρων καταστησόμεθα. Ταῦτα μὲν ὁ Πτολεμαῖος ἐντέχνως πάνυ καὶ φυσικῶς περὶ τῆς ὡροσκοπούσης μοίρας ἐκτίθεται. ἐκκείσθω δὲ καὶ τὰ παρ᾽ ἄλλοις ἐκτεθέντα φιλοκαλίας χάριν ὑπὲρ τοῦ τὸν ὡροσκόπον εὑρεῖν παχυμερῶς εἰ καὶ μὴ αὐτὴν τὴν μοῖραν ἔστιν ἀκριβῶσαι ὡς ὁ θεῖος Πτολεμαῖος. χρηστέον οὖν καὶ τῇ μεθόδῳ τῇ προεκτεθειμένῃ ἐν τῷ τῆς σπορᾶς λόγῳ σύνεγγυς εὑρισκούσῃ τὸν ὡροσκόπον. τὰς γὰρ μεταξὺ μοίρας τῆς προγενομένης συζυγίας καὶ τοῦ γενεθλίου Ἡλίου ἐκβάλλοντες ἀπὸ τοῦ Ἡλίου, καθ᾽ ἕκαστον ζῴδιον μίαν μοῖραν διδόντες, καὶ εἰς ὃ καταντήσῃ ζῴδιον ἐκεῖνο ἔσται τὸ ὡροσκοποῦν παχυμερῶς. Ὁ δὲ Ἀνουβίων ἐν τοῖς ἐλεγείοις τάδε φησίν· ὡρονόμον δὲ μάθοις ὥρης ἄτερ ἄστρασιν ἄλλοις σκεπτόμενος Μήνην καὶ μέγαν Ἠέλιον. ἡμερινῇ γενέσει μὲν ἀπ᾽ Ἠελίοιο νοήσας οἴκου δεσπόζων ἔνθα βέβηκε θεός, κεῖθεν δὲ στοιχηδὸν ἀριθμηθήμεναι ἄστρα μέχρι Σεληναίης ἀστέρος ἱσταμένου, πάντα δ᾽ ἀπ᾽ Ἠελίοιο διέκβαλε τοῦτον ἀριθμόν· εἰς ὅ τι δ᾽ ἂν λήξῃ κεῖθι καὶ ὡρονόμος. χρὴ δὲ Σεληναίης προτέρης ἀνελέσθαι ἀριθμόν ὥρην νυκτερινὴν σκεπτόμενον θέματος. εἰ δέ κεν Ἠέλιος γ᾽ ὀλίγας μοίρας ἔχῃ ἄστρων, χρὴ τετράγωνα θ᾽ ὁρᾶν καὶ διάμετρα τόπων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

91 σκέπτου, φησίν, τὸν οἰκοδεσπότην τοῦ οἴκου ἐν ᾧ ἐστιν ὁ Ἥλιος ἐπὶ τῶν ἡμερινῶν γενέσεων καὶ ἀπ’ αὐτοῦ ἀρίθμει τὰ ζῴδια ἕως τῆς Σελήνης τοῦ οἰκοδεσπότου καὶ τὴν ποσότητα τῶν ζῳδίων ἔκβαλλε ἀπὸ τοῦ οἴκου ἐν ᾧ ἐστιν ὁ Ἥλιος, καὶ εἰς ὃ ἂν ζῴδιον ἐκπέσῃ ἐκεῖ ὁ ὡροσκόπος. ἐπὶ δὲ τῶν νυκτερινῶν χρὴ ἄρξασθαι ἀπὸ τῆς Σελήνης τῇ αὐτῇ μεθόδῳ καὶ ἐκβάλλειν ὁμοίως ἀπ’ αὐτῆς ἤτοι Ἡλίου τὴν τῶν μεταξὺ ζῳδίων ποσότητα. ἐὰν δὲ ὁ Ἥλιος τύχῃ, φησίν, ἐν ἀρχῇ τῶν ζῳδίων, τὰ τετράγωνα καὶ τὸ διάμετρον τῆς ἐκβαλλομένης ποσότητος σκοπεῖν χρὴ μὴ ἐφ’ ἑνὸς εἴη ὁ ὡροσκόπος. αὕτη ἡ μέθοδος συμφωνεῖ ἡμῖν σχεδὸν ἐπὶ πάντων. Ἐκθετέον δὲ καὶ ἄλλην καλλίστην μέθοδον καὶ αὐτὴν συμφωνοῦσαν. προδεδόσθαι χρὴ τὸ ἐν νυκτὶ τετέχθαι τὸν ζητούμενον ἢ ἐν ἡμέρᾳ, καὶ τούτου δεδομένου σκόπει τὴν τοῦ Ἡλίου μοῖραν καὶ ταύτῃ ἀεὶ πρόσθες μοίρας β 〈 ? 〉 σκεπτόμενος ἀπὸ Θὼθ ἕως Μεχείρ, ἀπὸ δὲ Φαμενὼθ ἕως Μεσωρεὶ πάλιν ἀεὶ ἄφελε μοίρας β ? . καὶ τὴν γινομένην οὕτω ποσότητα τῶν μοιρῶν τοῦ Ἡλίου δωδεκάκις ποιήσας ἔκβαλε ἀπὸ τῆς τοῦ Ἡλίου μοίρας, καὶ εἰς ὃ ἂν ἐκπέσῃ ζῴδιον ἐκεῖνο ὡροσκοπεῖ ἢ τὸ τούτου τρίγωνον ὡς περικλείειν τὴν μέθοδον εἰς δύο ζῴδια σημαίνοντα τὸν ὡροσκόπον· τὸ γὰρ ἄλλο ζῴδιον τοῦ τριγώνου εὑρίσκεται ὑπὸ γῆν. Ἔσται δὲ τούτου ὑπόδειγμα. ἐγὼ ἐτέχθην Ἀθὺρ λʹ ἐν ἡμέρᾳ τοῦ Ἡλίου 〈ἐπ〉 ἔχοντος Τοξότου μοίρας δ ἔγγιστα· ταῖς δ προσέθηκα β ? καὶ τὰς ς ? δωδεκαπλασιάσας ἐκβάλλω ἀπὸ τῆς τοῦ Ἡλίου μοίρας, καὶ πίπτει 〈εἰσ〉 Ὑδροχόου τὰ τελευταῖα.

92 ὡροσκοπήσει οὖν ὁ Ὑδροχόος ἢ οἱ Δίδυμοι ἢ ὁ Ζυγός. ἀλλ’ ἀδύνατον εἶναι τὸν Ζυγὸν διὰ τὸ ὑπὸ γῆν εἶναι, ὁμοίως καὶ τοὺς Διδύμους διὰ τὸ τριγωνικὴν πλευρὰν πίπτειν εἰς τὰ τελευταῖα αὐτοῦ καὶ εἶναι ὁμοίως ὑπὸ γῆν· ὁ γὰρ Ἥλιος τυγχάνει ἐν ἀρχῇ τοῦ Τοξότου, καὶ ἀπ’ αὐτοῦ ἕως τῆς ἀρχῆς τῶν Διδύμων ὁμοίως τὸ ὑπὲρ γῆν ἡμισφαίριον τῆς ἡμέρας ἐστίν. πιστευτέον οὖν ἐν τῷ Ὑδροχόῳ μόνον πίπτειν τὸν ὡροσκόπον. ἐὰν δέ ποτε δύο ζῴδια ὑπὲρ γῆν ᾖ τοῦ τριγώνου εἰς ἃ ὑπονοοῦμεν εἶναι τὸν ὡροσκόπον, καταστοχαζόμεθα καὶ τοῦ εἴδους τοῦ ἀνθρώπου ποίῳ μᾶλλον τῶν ζῳδίων ἀπείκασται καὶ πρὸς ἐκεῖνο ἀποφαινόμεθα. Εἰσὶ δὲ Κριοῦ μὲν ὡροσκοποῦντος οἱ τικτόμενοι τῷ εἴδει ὀστώδεις, δασεῖς καὶ μέσοι μᾶλλον 〈ἢ〉 εὐμήκεις, καὶ τὰ ἔσχατα αὐτοῦ κίνδυνον ποιεῖ, ἐνίοτε δὲ καὶ τὸ πρόσωπον κάτω κύπτοντες καὶ δειλοὶ καὶ παῖκται καὶ αἰσχρολόγοι. Ταύρου δὲ σιμοὶ καὶ ταυρόφθαλμοι, ὑπομέλανες, πλατυμέτωποι καὶ πλατύρρινοι, ἀνεσταλμένοι τὰς τρίχας, ἔσθ’ ὅτε φαλακροὶ καὶ μικρὰ ὦτα ἔχοντες, ὑποκριταί, ψευδεπιεικεῖς, τὰ χείλη ἐνίοτε μείζονα ἔχοντες καὶ τοὺς μυκτῆρας μεγάλους καὶ τὰς ὀφρῦς, καὶ τὰ ἔσχατα αὐτοῦ κιναίδους γεννᾷ. τῶν δὲ Διδύμων ὡροσκοπούντων οἱ γεννώμενοι σύμμετροι τῷ σώματι, ἐπίρρινοι, ἔσθ’ ὅτε οὖλοι καὶ μεγάλα ὦτα ἔχοντες καὶ τοῖς ὤμοις εὔσαρκοι. ὁ δὲ Καρκίνος ποιεῖ ὀστώδεις, στρογγυλοπροσώπους, ἔσθ’ ὅτε μέλανας ὡς πρὸς τὸ κλίμα καὶ ἀναφαλαντιαίους, τοὺς δὲ ὀδόντας πολλούς, ἔσθ’ ὅτε τὸ δὲ μῆκος ἀσυμμέτρους (καὶ γὰρ τὰ κάτωθεν ἔχουσι μείζονα, τὰ δὲ ἄνωθεν ἐλάσσονα), ἔχουσι δὲ τὴν γαστέρα ὑπὸ τὸ στῆθος προκύπτουσαν καὶ αὐτὸ τὸ στῆθος πλατὺ καὶ τοὺς ὀφθαλμοὺς ὑποκεχυμένους ἔχουσιν, μάλιστα ὅσοι ἐγγὺς ἔχουσι τὸν ὡροσκόπον τῆς Φάτνης νεφελοειδοῦς οὔσης.

93 ὁ δὲ Λέων γλαυκούς, πυρρότριχας, ἰσχυρούς, ὑποκύρτους, τὰ ἄνωθεν πλατεῖς καὶ δασεῖς, μάλιστα τοὺς ἐν ταῖς πρώταις μοίραις τικτομένους, ποιεῖ δὲ οὔλους καὶ παχυρρίνους καὶ λεοντοπροσώπους, βορούς, λεπτοὺς τὰς κνήμας, ἐν δὲ ταῖς τελευταίαις μοίραις περὶ τὴν ῥάχιν ψιλοὺς τὰς τρίχας, ἀναφαλαντιαίους, ἔσθ’ ὅτε καὶ κιναίδους. ἡ δὲ Παρθένος συμμέτρους τῇ ἡλικίᾳ καὶ μᾶλλον μακρούς, εὐπεπλασμένους, μακροκοιλίους καὶ ὀρθοὺς καὶ κοσμίους. ὁ δὲ Ζυγὸς εὐοφθάλμους, ὑπομέλανας, ἔσθ’ ὅτε καὶ μακροὺς καὶ οὔλους τὰς τρίχας καὶ δικαίους καὶ αἰδήμονας. ὁ δὲ Σκορπίος μικροφθάλμους, ὠχρούς, ὦτα μικρὰ ἔχοντας, ἔσθ’ ὅτε μαδαροὺς τὸ γένειον ἢ γλαυκοὺς τοὺς ὀφθαλμούς, τὴν δὲ φάρυγγα ἐξέχουσαν ἔχοντας καὶ τοὺς ὤμους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλατεῖς, μακροὺς ταῖς κνήμαις καὶ ὠκεῖς, φθονεροὺς καὶ ἅρπαγας, τὰ δὲ ἔσχατα τὰ περὶ τὸ κέντρον ποιεῖ κιναίδους, ἔσθ’ ὅτε δέ τινας καὶ ὑποχύσεις ἐν τοῖς ὀφθαλμοῖς ἔχοντας διὰ τὸ νεφέλιον τὸ περὶ τὸ κέντρον καὶ ἀναφαλαντιαίους ποιεῖ. ὁ δὲ Τοξότης μακροὺς τοῖς μηροῖς, ταῖς δὲ κνήμαις εὐπλάστους, εὐγενείους, προγάστορας, εὐχρόους τὰς χεῖρας, εὐκολύμβους, φιλοῦντας τὸ ὀχεῖσθαι εἰς ζῷα, φαλακρούς, τὰ δὲ τελευταῖα ποιεῖ κιναίδους, ἔσθ’ ὅτε δὲ καὶ τοὺς πώγωνας προπολιοῦντας.

94 ὁ δὲ Αἰγόκερως μικροφυεῖς ποιεῖ, μάλιστα ἐν ταῖς πρώταις μοίραις, καὶ κούφους τὸ στῆθος, λεπτοὺς τὰ σκέλη, ὀξυπώγωνας, ἔσθ’ ὅτε δασεῖς τὰ σκέλη, ὀστώδεις, κάτω κύπτοντας, ἀσελγεῖς. ὁ δὲ Ὑδροχόος εὐσώμους, εὐγενείους, εὐυπολήπτους, ἔσθ’ ὅτε καὶ προγάστορας καί τινας ἔχοντας μείζονα τὴν μίαν κνήμην τῆς ἑτέρας. οἱ δὲ Ἰχθύες ποιοῦσιν εὐρυτέρους τοῖς ὤμοις καὶ εὔτριχας, λευκοὺς τὸ μέτωπον καὶ μέγα στέρνον ἔχοντας, ἔσθ’ ὅτε καὶ προκύπτοντας, μελανοφθάλμους, βραδέως φθεγγομένους, ἰδιοπράγμονας. Ταῦτα μὲν καὶ τὰ τοιαῦτα σημαίνει τὰ ζῴδια αὐτὰ καθ’ ἑαυτὰ ἐν τῷ ὡροσκόπῳ, ἐπιτυχόντες δὲ ἐν αὐτοῖς οἱ πλανώμενοι ἕκαστος πρὸς τὰ ἰδιώματα μεταποιεῖ πως. Κρόνος μὲν μέλανας καὶ δυσειδεῖς καὶ αὐχμηροὺς ποιεῖ, Ἄρης δὲ ξανθούς, γλαυκοὺς τοὺς ὀφθαλμούς, τετανότριχας, γοργούς, ὦτα μικρὰ ἔχοντας, Ζεὺς δὲ λευκούς, εὐσάρκους, μεγαλοφθάλμους, εὐπώγωνας, ἀγαθοὺς τῷ τρόπῳ, ἡ δὲ Ἀφροδίτη μετὰ τούτων τὸ ἁβρὸν καὶ εὔοπτον ποιεῖ, ὁ δὲ Ἑρμῆς ἰσχνούς, ὠχρούς, συμμέτρους τε καὶ οὐλοκόμους, καλούς τε καὶ γενναίους, ὁ δὲ Ἥλιος καὶ ἡ Σελήνη συντρέπονται μὲν οἷς ἂν συντύχωσιν, ἰδίᾳ δὲ ὁ Ἥλιος εὐτραφεῖς, εὐρήτους ποιεῖ, ἡ δὲ Σελήνη εὐκράτους καὶ εὐσάρκους. Ἐκ μὲν οὖν τῶν προλελεγμένων τῆς τῶν ζῳδίων φύσεως καὶ τῶν ζ πλανωμένων ἔστιν εὑρεῖν παχυμερῶς μὲν τὸν ὡροσκόπον, δηλονότι τῇ συνεχεῖ πείρᾳ καὶ γυμνασίᾳ χρωμένους τῇ τῶν ζῳδίων τε καὶ ἀστέρων φύσει καὶ τοῖς κλίμασιν ἐπὶ τῶν ἤδη τελειωθέντων ἀνθρώπων, ἐξακριβοῦν δὲ τὴν ὡροσκοποῦσαν μοῖραν κατὰ τὴν τοῦ θείου Πτολεμαίου μέθοδον ἣν εὑρίσκομεν σχεδὸν ἐπὶ πάντων ἀληθεύουσαν.

95 〈γʹ〉 Περὶ διαιρέσεως καὶ τάξεως γενεθλιαλογικῆς Εὐλόγως δέ φησιν ὁ Πτολεμαῖος· εἴ τις αὐτῆς τῆς τάξεως ἕνεκεν διαιροίη τὸ καθόλου τῆς γενεθλιαλογικῆς θεωρίας, εὕροι ἂν τῶν δυνατῶν καὶ κατὰ φύσιν καταλήψεων πρὸ μὲν τῆς γενέσεως μόνην τὴν περὶ τῶν γονέων ἐπίσκεψιν, πρὸ δὲ τῆς γενέσεως καὶ μετὰ γένεσιν τὴν περὶ ἀδελφῶν (συμβαίνει γὰρ καὶ προτετέχθαι τινὰ τοῦ περὶ οὗ ἡ σκέψις καὶ ἐπιτεχθήσεσθαι), τῶν δὲ κατ’ αὐτὴν τὴν γένεσιν οὐ μίαν οὐδὲ περὶ ἑνὸς τὴν θεωρίαν γίνεσθαι (ἔσται γὰρ ὅ τε περὶ ἀρρενικῶν καὶ θηλυκῶν λόγος καὶ 〈ὁ〉 περὶ διδυμογόνων καὶ πλειστογόνων καὶ 〈ὁ περὶ〉 τεράτων καὶ 〈ὁ〉 περὶ ἀτρόφων), τῶν δὲ μετὰ τὴν γένεσιν ὁ περὶ χρόνων ζωῆς, ἔπειτα ὁ περὶ μορφῆς σώματος καὶ ὁ περὶ παθῶν ἢ σινῶν σωματικῶν, ἑξῆς δ’ ὁ περὶ ψυχῆς ποιότητος καὶ ὁ περὶ παθῶν ψυχῆς, ἔπειθ’ ὁ περὶ τύχης κτητικῆς καὶ ὁ περὶ τύχης ἀξιωματικῆς, μετὰ ταῦτα ὁ περὶ πράξεως ποιότητος, εἶτα ὁ περὶ συμβιώσεως γαμικῆς καὶ ὁ περὶ τεκνοποιίας καὶ ὁ περὶ φιλίας, ἑξῆς δὲ ὁ περὶ ξενιτείας, καὶ τελευταῖος ὁ περὶ τῆς τοῦ θανάτου ποιότητος, τῇ μὲν δυνάμει συνοικειούμενος τῷ περὶ χρόνων ζωῆς, τῇ τάξει δὲ εἰκότως ἐπὶ πᾶσι τούτοις τιθέμενος.

96 Φησὶ δὲ καθόλου· χρὴ σκοπεῖν τὸν οἰκειούμενον τόπον τοῦ ζῳδιακοῦ τῷ ζητουμένῳ τῆς γενέσεως κατ’ εἶδος κεφαλαίῳ καθάπερ λόγου ἕνεκεν τῷ περὶ πράξεως τὸν τοῦ μεσουρανήματος ἢ τῷ περὶ πατρὸς τὸν ἡλιακόν, ἔπειτα θεωρεῖν τοὺς λόγον ἔχοντας πρὸς τὸν ὑποκείμενον τόπον τῶν ἀστέρων οἰκοδεσποτείας κατὰ τοὺς πέντε τρόπους καθὼς προείπομεν ἐπάνω. κἂν εἷς ᾖ ὁ τοὺς πέντε λόγους ἔχων αὐτῷ δοτέον τὴν τῆς πρωτείας οἰκοδεσποτείαν, εἰ δὲ δύο ἢ τρεῖς εἶεν τοῖς τὰς πλείους ἔχουσιν ψήφους. μετὰ δὲ ταῦτα πρὸς μὲν τὸ ποῖον τοῦ ἀποτελέσματος σκοπεῖν τάς τε τῶν οἰκοδεσποτησάντων ἀστέρων φύσεις καὶ τὰς τῶν δωδεκατημορίων ἐν οἷς εἰσιν, πρὸς δὲ τὸ μέγεθος καὶ τὴν δύναμιν πότερον ἐναργῶς

τυγχάνουσι διακείμενοι πρός τε τὸ κοσμικὸν καὶ 〈τὸ〉 κατὰ τὴν γένεσιν ἢ τὸ ἐναντίον (δραστικώτατοι μὲν γάρ εἰσιν ὅταν κοσμικῶς μὲν ἐν ἰδίοις ἢ ἐν οἰκείοις ὦσι τόποις καὶ πάλιν ὅταν ἀνατολικοὶ τυγχάνωσιν ἢ προσθετικοὶ τοῖς ἀριθμοῖς, κατὰ γένεσιν δὲ ὅταν ἐπὶ τῶν κέντρων καὶ τῶν ἐπαναφορῶν παροδεύωσιν, καὶ μάλιστα τῶν πρώτων—λέγω δὲ τῶν κατὰ τὰς ἐπαναφορὰς καὶ μεσουρανήσεις—, ἀδρανέστατοι δὲ ὅταν ἐν ἀλλοτρίοις ἢ ἀνοικείοις τόποις καὶ δυτικοὶ ἢ ἀναποδιστικοὶ τοῖς δρόμοις ὦσιν, κατὰ γένεσιν δὲ ὅταν ἀποκλίνωσι τῶν κέντρων), πρὸς δὲ τὸν καθόλου χρόνον τοῦ ἀποτελέσματος πότερον ἑῷοί εἰσιν ἢ ἑσπέριοι πρός τε τὸν Ἥλιον καὶ τὸν ὡροσκόπον, ἐπειδήπερ τὰ μὲν προηγούμενα ἑκατέρου αὐτῶν τεταρτημόρια καὶ τὰ διάμετρα τούτοις ἑῷα γίνεται, τὰ δὲ λοιπὰ καὶ ἑπόμενα ἑσπέρια, καὶ πότερον ἐπὶ τῶν κέντρων τυγχάνουσιν ἢ τῶν ἐπαναφορῶν (ἑῷοι μὲν γὰρ ὄντες ἢ ἐπίκεντροι κατ’ ἀρχὰς γίγνονται δραστικώτατοι, ἑσπέριοι δὲ ἢ ἐπὶ τῶν ἀναφορῶν βράδιον).

97 〈δʹ〉 Περὶ γονέων Ὁ μὲν προηγούμενος τύπος, φησί, τῆς ἐπισκέψεως τῆς κατ’ εἶδος οὗ διὰ παντὸς ἔχεσθαι προσήκει τοῦτον ἔχει τὸν τρόπον, ἀρκτέον δὲ ἤδη κατὰ τὴν ἐγκειμένην τάξιν ἀπὸ πρώτου τοῦ περὶ γονέων λόγου. ὁ μὲν τοίνυν Ἥλιος καὶ ὁ τοῦ Κρόνου ἀστὴρ τῷ πατρικῷ προσώπῳ συνοικειοῦται κατὰ φύσιν, ἡ δὲ Σελήνη καὶ ὁ τῆς Ἀφροδίτης τῷ μητρικῷ, καὶ ὅπως ἂν οὗτοι διακείμενοι τυγχάνωσι πρός τε ἀλλήλους καὶ πρὸς τοὺς ἄλλους τοιαῦτα δεῖ καὶ τὰ περὶ τοὺς γονέας ὑπονοεῖν. τὰ μὲν γὰρ περὶ τῆς τύχης καὶ τῆς κτήσεως αὐτῶν σκεπτέον ἐκ τῆς δορυφορίας τῶν φώτων, ἐπειδὴ περιεχόμενα μὲν ὑπὸ τῶν ἀγαθοποιῶν καὶ τῶν τῆς αὐτῆς αἱρέσεως ἤτοι ἐν τοῖς αὐτοῖς ζῳδίοις ἢ ἐν τοῖς ἑξῆς ἐπιφανῆ καὶ λαμπρὰ τὰ περὶ τοὺς γονέας διασημαίνει, καὶ μάλιστα ὅταν τὸν μὲν Ἥλιον ἑῷοι δορυφορῶσιν ἀστέρες, τὴν δὲ Σελήνην ἑσπέριοι, καλῶς καὶ αὐτοὶ διακείμενοι καθ’ ὃν εἰρήκαμεν τρόπον. ἐὰν δὲ καὶ ὁ τοῦ Κρόνου ἢ καὶ ὁ τῆς Ἀφροδίτης ἀνατολικοί τε τυγχάνωσι καὶ ἰδιοπροσωπήσαντες ἢ ἐπίκεντροι, εὐδαιμονίαν πρόδηλον ὑπονοητέον κατὰ τὸ οἰκεῖον ἑκατέρου τῶν γονέων, τὸ δὲ ἐναντίον ἐὰν κενοδρομοῦντα ᾖ τὰ φῶτα καὶ ἀδορυφόρητα, ταπεινότητος καὶ ἀδοξίας τοῖς γονεῦσίν ἐστι δηλωτικά, καὶ μάλιστα ὅταν καὶ ὁ τῆς Ἀφροδίτης καὶ ὁ τοῦ Κρόνου μὴ καλῶς φαίνωνται διακείμενοι.

98 ἐὰν δὲ δορυφορῆται μέν, μὴ μέντοι ὑπὸ τῶν τῆς αὐτῆς αἱρέσεως ὡς ὅταν Ἄρης μὲν ἐπαναφέρηται τῷ Ἡλίῳ, Κρόνος δὲ τῇ Σελήνῃ, μὴ καλῶς κειμένων τῶν ἀγαθοποιῶν καὶ κατὰ τὴν αὐτὴν αἵρεσιν, μετριότητα καὶ ἀνωμαλίαν περὶ τὸν βίον αὐτῶν ὑπονοητέον. κἂν μὲν σύμφωνος ᾖ ὁ κλῆρος τῆς τύχης (ὁ ἀπὸ Ἡλίου πάντοτε ἐπὶ τὴν Σελήνην λαμβανόμενος ἐπί τε ἡμέρας καὶ νυκτὸς καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου) τοῖς τὸν Ἥλιον ἢ τὴν Σελήνην ἐπὶ καλῷ δορυφορήσασι, παραλήψονται σῶα τὰ τῶν πατέρων, ἐὰν δὲ ἀσύμφωνος ἢ ἐναντίος μηδενὸς τῶν ἀγαθοποιῶν εἰληφότων τὴν δορυφορίαν, ἄχρηστος αὐτοῖς καὶ ἐπιβλαβὴς ἡ τῶν γονέων ἔσται κτῆσις. Περὶ δὲ πολυχρονιότητος αὐτῶν σκεπτέον ἀπὸ τῶν ἄλλων συσχηματισμῶν. ἐὰν οὖν ὁ τοῦ Διὸς ἢ ὁ τῆς Ἀφροδίτης συσχηματισθῶσιν ὁπωσδήποτε τῷ τε Ἡλίῳ καὶ τῷ τοῦ Κρόνου καὶ αὐτὸς ὁ τοῦ Κρόνου σύμφωνον ἔχῃ συσχηματισμὸν πρὸς τὸν Ἥλιον ἤτοι συνὼν ἢ ἑξαγωνίζων, ἐν δυνάμει μὲν ὄντων αὐτῶν πολυχρονιότητα τοῦ πατρὸς καταστοχαστέον, ἀδυναμούντων δὲ οὐχ ὁμοίως, οὐ μέντοι οὐδὲ ὀλιγοχρονιότητα. ὅταν δὲ τοῦτο μὲν μὴ ὑπάρχῃ, ὁ δὲ τοῦ Ἄρεως καθυπερτερῇ τὸν Ἥλιον ἢ καὶ τὸν τοῦ Κρόνου ἢ καὶ ἐπανενεχθῇ αὐτοῖς ἢ καὶ αὐτὸς πάλιν ὁ τοῦ Κρόνου μὴ σύμφωνος ᾖ πρὸς τὸν Ἥλιον ἀλλ’ ἤτοι τετράγωνος ἢ διάμετρος εἴη, ἀποκεκλικότες μὲν τῶν κέντρων ἀσθενικοὺς μόνον τοὺς πατέρας ποιοῦσιν, ἐπίκεντροι δὲ ἢ ἐπαναφερόμενοι ὀλιγοχρονίους ἢ ἐπισινεῖς—ὀλιγοχρονίους μὲν ὅταν ἐν τοῖς πρώτοις ὦσι δυσὶ κέντροις τῷ τε ἀνατέλλοντι καὶ 〈τῷ〉 μεσουρανοῦντι καὶ ταῖς τούτων ἐπαναφοραῖς, ἐπισινεῖς δὲ ἢ ἐπινόσους ὅταν ἐν τοῖς λοιποῖς δυσὶ κέντροις ὦσι τῷ τε δύνοντι καὶ τῷ ὑπογείῳ καὶ ταῖς τούτων ἐπαναφοραῖς.

99 ὁ μὲν γὰρ τοῦ Ἄρεως τὸν Ἥλιον βλέψας καθ’ ὃν εἰρήκαμεν τρόπον αἰφνιδίως ἀναιρεῖ τὸν πατέρα ἢ σίνη περὶ τὰς ὄψεις ποιεῖ, τὸν δὲ τοῦ Κρόνου βλέψας ἢ θανάτοις ἢ ῥιγοπυρέτοις ἢ σίνεσι διὰ τομῶν καὶ καύσεων περικυλίει. ὁ δὲ τοῦ Κρόνου καὶ αὐτὸς σχηματισθεὶς κακῶς πρὸς Ἥλιον καὶ τοὺς θανάτους τοὺς πατρῴους ἐπινόσους κατασκευάζει καὶ πάθη τὰ διὰ τῆς τῶν ὑγρῶν ὀχλήσεως. Ἐπὶ δὲ τῆς μητρὸς ἐὰν μὲν ὁ τοῦ Διὸς συσχηματισθῇ τῷ τῆς Σελήνης καὶ τῷ τῆς Ἀφροδίτης ὁπωσδήποτε ἢ καὶ ὁ τῆς Ἀφροδίτης συμφώνως ἔχῃ πρὸς τὴν Σελήνην ἑξάγωνος ἢ καὶ συνὼν αὐτῇ, ἐν δυνάμει ὄντες πολυχρόνιον ἀποδεικνύουσι τὴν μητέρα. ἐὰν δὲ ὁ τοῦ Ἄρεως βλέψῃ τὴν Σελήνην ἢ τὴν Ἀφροδίτην ἐπανενεχθεὶς ἢ τετράγωνος ἢ διάμετρος ἢ ὁ τοῦ Κρόνου τὴν Σελήνην μόνην ὡσαύτως, ἀφαιρετικοὶ μὲν ὄντες ἢ ἀποκεκλικότες ἀντιπτώμασι μόνον ἢ ἀσθενείαις περικυλίουσιν, προσθετικοὶ δὲ ἢ ἐπίκεντροι ὀλιγοχρονίους ἢ ἐπισινεῖς ποιοῦσι τὰς μητέρας —ὀλιγοχρονίους μὲν ὁμοίως ἐπὶ τῶν ἀπηλιωτικῶν ὄντες κέντρων ἢ ἐπαναφορῶν, ἐπισινεῖς δὲ ἐπὶ τῶν δυτικῶν.

100 Ἄρης μὲν γὰρ βλέψας τὴν Σελήνην τοῦτον τὸν τρόπον ἀνατολικὴν μὲν οὖσαν τούς τε θανάτους τοὺς μητρικοὺς αἰφνιδίους καὶ τὰ σίνη περὶ τὰς ὄψεις ποιεῖ καὶ μετὰ αὐτῷ τῷ τικτομένῳ θάνατον κακὸν ποιεῖ, ἀποκρουστικὴν δὲ τούς τε θανάτους ἀπὸ ἐκτρωσμῶν ἢ τῶν τοιούτων καὶ τὰ σίνη διὰ τομῶν καὶ καύσεων, τὴν Ἀφροδίτην δὲ βλέψας τούς τε θανάτους πυρεκτικοὺς ἀπεργάζεται καὶ τὰ πάθη διὰ σκοτισμῶν καὶ παρατροπῶν αἰφνιδίων. ὁ δὲ τοῦ Κρόνου τὴν Σελήνην βλέψας θανάτους καὶ πάθη ποιεῖ ἀνατολικῆς μὲν οὔσης διὰ ῥιγοπυρέτων, ἀποκρουστικῆς δὲ διὰ νομῶν ὑστερικῶν καὶ ἀναβρώσεως. Προσπαραληπτέον δὲ εἰς τὰ κατὰ μέρος εἴδη τῶν σινῶν ἢ παθῶν ἢ καὶ θανάτων καὶ τὰς τῶν δωδεκατημορίων ἐν οἷς εἰσιν οἱ τὸ αἴτιον ποιοῦντες τῆς ἰδιοτροπίας (ὑπὲρ ὧν εὐκαιρότερον ἐν τοῖς ἑξῆς ἐπεξεργαζόμεθα), καὶ ἔτι παραληπτέον ἡμέρας μὲν μάλιστα τόν τε Ἥλιον καὶ τὴν Ἀφροδίτην, νυκτὸς δὲ τὸν τοῦ Κρόνου καὶ τὴν Σελήνην. λοιπὸν δὲ ἐπὶ τῶν κατ’ εἶδος ἐπεργασιῶν ἁρμόζον ἂν εἴη ὑποστησαμένους τὸν τῆς αἱρέσεως πατρικὸν ἢ μητρικὸν τόπον ὥσπερ ὡροσκόπον καὶ τὰ λοιπὰ ὡς ἐπὶ γενέσεως αὐτῶν τῶν γονέων σκοπεῖν. τὸν μέντοι χρόνον τῆς κατὰ τὸ ἀποτελούμενον ἐκβάσεως εὑρίσκομεν ἔκ τε τῆς κολλήσεως τῶν ποιούντων ἀστέρων ἤτοι σωματικῶς ἢ καὶ κατὰ ἀκτῖνα καὶ τῶν ἀνατολῶν τῶν ζῳδίων ἐφ’ ὧν τυγχάνουσιν οἱ γονικοὶ τόποι.

101 ταῦτα μὲν εὑρίσκομεν συμφωνοῦντα ἃ καὶ ἐκτίθεται φυσικῶς καὶ θαυμαστῶς σκεπτόμενος ὁ Πτολεμαῖος. Ὁ δὲ Δωρόθεος ἐν τοῖς ἔπεσι συμβουλεύει τοὺς τριγωνοκράτορας τῶν φώτων σκοπεῖν καὶ αὐτὰ τὰ φῶτα ἐν ποίοις τόποις τυγχάνουσι καὶ ὁρίοις καὶ τίνες τῶν ἀστέρων σύνεισιν ἢ ὁρῶσιν, καὶ πρὸς τούτοις ἀποφαίνεσθαι χρὴ περὶ ἑκατέρου τῶν γονέων, Ἡλίου μὲν δηλονότι σημαίνοντος τὰ περὶ τὸν πατέρα, Σελήνης δὲ τὰ περὶ τὴν μητέρα. ἐὰν μὲν οὖν συνῇ ἀγαθοποιοῖς τόποις τε καὶ ἄστρασιν ὁ Ἥλιος, ὑπονοητέον εὐτυχῆ καὶ πλούσια τὰ περὶ τὸν πατέρα καὶ αὐτῷ τῷ τέκνῳ τὰ πατρῷα φυλαχθήσεσθαι, ὁμοίως καὶ ἡ Σελήνη τυχοῦσα τὰ αὐτὰ ποιεῖ. τὸ δὲ ἐναντίον συμβήσεται ἐναντίως εὑρεθέντων (τουτέστι κακωθέντων) τῶν φώτων· εἴωθε γὰρ πρὸς ταῖς δυσπραγίαις καὶ σίνη ἐν τοῖς σώμασι τῶν γονέων ποιῆσαι. ἐν δὲ ταῖς ἐσχάταις μοίραις τυχόντα τῶν ζῳδίων τὰ φῶτα, μάλιστα τῶν κακοποιῶν ὁρώντων, ἄδοξα τὰ περὶ τοὺς γονεῖς σημαίνει, καὶ ἐν τοῖς ἐκλειπτικοῖς δὲ τυγχάνουσα ἡ Σελήνη, κἂν ἐν ἀγαθοποιοῦ ὁρίοις ᾖ, τὸ μὲν γένος ἐλεύθερον, πενιχρὸν δὲ καὶ ὑποτεταγμένον καὶ δούλια ἔργα ποιεῖν σημαίνει. ἐν δ’ ἄρ’ ὑποχθονίῳ κέντρῳ κερόεσσα Σελήνη· ἐνταῦθα ὡς ἐπὶ τοῦ Ἡλίου σκέπτου τὴν μητέρα. Ἔστι δέ, φησίν, καὶ τρόπος ἄλλος· τὰς ὥρας τῆς γενέσεως λαβὼν ἔκβαλε ἀπὸ τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ὁ Ἥλιος ἑκάστῳ ζῳδίῳ ἐφεξῆς μίαν ὥραν διδούς, καὶ εἰς ὃ ἂν λήξῃ ζῴδιον ὁ ἀριθμὸς ἐκείνου τὰ κέντρα σκόπει καὶ τὰς ἄλλας σχέσεις καὶ λέγε τὰ κατὰ τὴν μητέρα.

102 καὶ πάλιν ταῦτα λέγει· Ἠέλιος δύνων τοκέων χωρισμὸν ἔτευξεν. Καὶ Μανέθων οὕτως· Ἄρης ἠμερινῇσι μεσουρανέων τάδε ῥέξει· πρῶτον μὲν γονέων βίον ὤλεσε καὶ λέχος αὐτῶν χωρίζει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θανάτῳ ἢ καὶ διχοστασίῃ. ἐπισκεπτέον δὲ καὶ τὸν περὶ γονέων τόπον, τουτέστι τὸ ὑπόγειον, πῶς ἔχουσι πρὸς αὐτὸν οἵ τε ἀγαθοποιοὶ καὶ οἱ κακοποιοί· αὐτὸ γὰρ σημαίνει. ὁ δὲ Κρόνος ἐπὶ τοῦ δυτικοῦ κέντρου ὢν καὶ ὁρῶν τὸν Δία ἐπὶ τῆς ὥρας ποιεῖ στάσιν τοῖς υἱοῖς πρὸς τοὺς γονεῖς, τρίγωνος δὲ ὢν πρὸς τὸν Δία ποιεῖ συμφωνίαν. 〈ε′〉 Περὶ προτελευτῆς γονέων Σκέπτου ἐν τῇ γενέσει ποῖον τῶν φώτων κεκάκωται καὶ ἀπ’ ἐκείνου στοχάζου περὶ τοῦ προλαμβάνοντος θανάτῳ τῶν γονέων, καὶ τοὺς κλήρους αὐτῶν ὅρα τίς μᾶλλον κεκάκωται καὶ ὁμοίως στοχάζου. ἐπίβλεπε δὲ καὶ τοῦτο, ποῖον τῶν φώτων ἐν τῇ γενέσει στρεφομένης τῆς τοῦ παντὸς φορᾶς πρῶτον ἔρχεται εἰς τὸ ὑπόγειον, καὶ οὕτω λογίζου τὸν προλαμβάνοντα· σημαίνει γὰρ τὴν προτελευτὴν 〈ὁ μὲν Ἥλιος τοῦ πατρός, ἡ δὲ Σελήνη τῆς μητρός .

103 …〉 καὶ γενέτην ὀλέκουσι παροίτερον ἠὲ τεκοῦσαν. ταῦτα μὲν ὁ Δωρόθεος· καὶ τοῦτο δέ φησιν, ὅτι Ἄρης τυγχάνων μετὰ Κρόνου, καὶ μάλιστα ἐπίκεντροι, 〈προτελευτᾶν ποιοῦσι τὸν πατέρα τῆς μητρός. Ὁ δὲ Ἀνουβίων οὕτω φησίν· Σελήνη πλησιφωτοῦσα ἐὰν τύχῃ ἐν τοῖς Ἰχθύσι προτελευτᾶν ποιεῖ τὸν πατέρα, καὶ λειψιφωτοῦσα δ’ ὁμοίως καὶ πρὸς σύνοδον ἐρχομένη ἐὰν ἐν ἀρσενικῷ ζῳδίῳ τύχῃ προτελευτᾶν ποιεῖ τὸν πατέρα, ἐὰν δὲ ἐν θηλυκῷ ζῳδίῳ τὴν μητέρα.〉 〈ς′〉 Περὶ ἀδελφῶν Περὶ δὲ ἀδελφῶν εἴ τις καὶ ἐνταῦθα ἐπιζητοῖ τὸ καθόλου καὶ δυνατόν, εὑρίσκει ἀκριβῶς τὸν ἀριθμὸν τῶν ὁμομητρίων ἔκ τε τοῦ μεσουρανοῦντος ζῳδίου καὶ τοῦ ἐπαναφερομένου αὐτῷ· καὶ γὰρ τὸν μητρικὸν τόπον καὶ τὸν περὶ τέκνων περιλαμβάνουσιν. ἐὰν οὖν ἀγαθοποιοὶ συσχηματίζωνται αὐτοῖς, δαψίλειαν ἀδελφῶν ἐροῦμεν πρός τε τὸ πλῆθος τῶν ὁρώντων ἢ ἑπομένων ἀστέρων καὶ πρὸς τὴν τῶν ζῳδίων φύσιν εἴτε μονοειδῆ εἴη εἴτε πολύγονα, ἐὰν δὲ κακοποιοὶ παροδεύουσιν ἢ συσχηματίζονται τῷ τόπῳ κατὰ τετράγωνον σχῆμα ἢ διάμετρον, σπαναδελφίας εἰσὶ δηλωτικοί, μάλιστα δὲ ἐὰν καὶ τὸν Ἥλιον προσλάβωνται. ἐὰν δὲ ἐπὶ τῶν κέντρων αἱ ἐναντιώσεις γένωνται, καὶ μάλιστα τοῦ ὡροσκοποῦντος, ἐπὶ μὲν Κρόνου πρωτότοκοι ἢ πρωτότροφοι, ἐπὶ δὲ Ἄρεως θανάτῳ τῶν λοιπῶν σπαναδελφοῦσιν.

104 ἐπὶ μέντοι τῶν διδόντων ἀστέρων ἐὰν μὲν καλῶς κατὰ τὸ κοσμικὸν τυγχάνωσι διακείμενοι, εὐσχήμονας καὶ εὐδόξους ἡγητέον τοὺς ἀδελφούς, ἐὰν δὲ ἐναντίως, ταπεινοὺς καὶ ἀνεπιφάντους, ἐὰν δὲ καὶ καθυπερτερήσωσι τοὺς διδόντας ἢ ἐπανενεχθῶσιν αὐτοῖς οἱ κακοποιοί, καὶ ὀλιγοχρονίους· δώσουσι δὲ τοὺς μὲν ἄρρενας οἱ κοσμικῶς ἠρρενωμένοι, τὰς δὲ θηλείας οἱ τεθηλυ〈μ〉μένοι, καὶ πάλιν τοὺς μὲν πρώτους οἱ ἀπηλιωτικώτεροι, τοὺς δὲ ὑστέρους οἱ λιβυκώτεροι. πρὸς δὲ τούτοις ἐὰν μὲν οἱ διδόντες τοὺς ἀδελφοὺς συμφώνως ἐσχηματισμένοι τυγχάνωσι τῷ κυριεύοντι τοῦ περὶ ἀδελφῶν δωδεκατημορίου, προσφιλεῖς ποιήσουσι τοὺς διδομένους ἀδελφούς, ἐὰν δὲ καὶ τῷ κλήρῳ τῆς τύχης, καὶ κοινοβίους, ἐὰν δὲ ἐν τοῖς ἀσυνδέτοις τύχωσιν ἢ κατὰ τὴν ἐναντίαν στάσιν, φιλέχθρους καὶ φθονεροὺς καὶ ὡς ἐπίπαν ἐπιβουλευτικούς. λοιπὸν δὲ καὶ τὰ καθ’ ἕκαστον αὐτῶν εἴ τις ἔτι πολυπραγμονοίη, συνεικάζοιτο ἂν καὶ ἐνταῦθα πάλιν τοὺς διδόντας ἀστέρας ὑποτιθεμένους κατὰ τὸν ὡροσκοπικὸν λόγον καὶ τῶν λοιπῶν ὡς ἐπὶ γενέσεως θεωρουμένων. Ὁ μὲν Πτολεμαῖος ταῦτα, ὁ δὲ Δωρόθεος οὕτως· ὅσσοι Τοξότεω βλοσυροῦ τ’ ἐφύπερθε Λέοντος 〈…〉 . εἰ δὲ ὠφελοῦνται ἐξ ἀλλήλων σκεπτέον ἔκ τε τοῦ κλήρου τῆς τύχης καὶ τῶν κλήρων τῶν ἀδελφῶν καὶ ἐκ τῶν ὁρώντων αὐτοὺς ἀστέρων ἢ ἐπόντων. 〈ζ′〉 Περὶ ἀρρενικῶν καὶ θηλυκῶν Τούτων προεκτεθειμένων ἑξῆς ἂν εἴη τῶν κατ’ αὐτὴν τὴν γένεσιν ἄρξασθαι καὶ πρῶτον περὶ ἀρρενικῶν καὶ θηλυκῶν.

105 (1t) θεωρεῖται δὲ ὁ τόπος οὗτος ἀπό τε τῶν φώτων ἀμφοτέρων καὶ τοῦ ὡροσκόπου, τῶν τε λόγον ἐχόντων πρὸς αὐτοὺς ἀστέρων, μάλιστα μὲν κατὰ τὴν τῆς σπορᾶς διάθεσιν, ὁλοσχερέστερον δὲ κατὰ τὴν τῆς ἐκτροπῆς. τὸ δὲ ὅλον παρατηρητέον πότερον οἱ τρεῖς τόποι οἱ προειρημένοι καὶ οἱ τούτων οἰκοδεσποτοῦντες ἀστέρες ἢ πάντες ἢ οἱ πλείους τυγχάνουσι ἠρρενωμένοι πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρρενογονίαν ἢ τεθηλυ〈μ〉μένοι πρὸς θηλυγονίαν, καὶ οὕτως ἀποφαντέον. διαιρετέον μέντοι τούς τε ἠρρενωμένους 〈καὶ τοὺς τεθηλυμμένουσ〉 τόπους καὶ ἀστέρας καθὼς ἐν ἀρχῇ ὑπεθέμεθα καὶ πρὸς τὴν κοσμικὴν θέσιν, ἐπειδήπερ ἀπηλιωτικοὶ μὲν ὄντες ἀρρενοῦνται, λιβυκοὶ δὲ θηλύνονται· πρὸς τούτοις καὶ πρὸς Ἥλιον· ἑῷοι μὲν γὰρ πάλιν ὄντες ἀρρενοῦνται, ἑσπέριοι δὲ θηλύνονται. ἐκ δὲ τούτων πάντων τὴν κατὰ τὸ πλεῖστον ἐπικράτησιν τοῦ γένους προσήκει καταστοχάζεσθαι. 〈η′〉 Περὶ διδυμογόνων Περὶ δὲ τῶν ἀνὰ δύο γεννωμένων ἢ πλειόνων παρατηρεῖν προσήκει τὰ δύο φῶτα ὁμοίως καὶ τὸν ὡροσκόπον· εἴωθε γὰρ τὰ τοιαῦτα τίκτεσθαι ὅταν οἱ τρεῖς τόποι ἐν δισώμοις ζῳδίοις ὦσιν, καὶ μάλιστα ὅταν καὶ οἱ οἰκοδεσποτοῦντες αὐτῶν ἀστέρες τὸ αὐτὸ πάθωσιν, τινὲς μὲν ἐν δισώμοις, τινὲς δὲ ἀνὰ δύο κείμενοι τυγχάνωσιν ἢ καὶ πλείους.

106 ἐὰν οὖν οὕτω τύχωσι καὶ ἐν δισώμοις, τότε καὶ πλείονα τῶν δύο κυΐσκεσθαι συμβαίνει. καὶ τὸ μὲν πλείονα τίκτεσθαι ἐκ τούτου γινώσκεται, τὸ δὲ ποίου γένους εἶεν τὰ τικτόμενα συνεικασθήσεται ἔκ τε τῶν ἐπόντων ἀστέρων τῷ τε Ἡλίῳ καὶ τῇ Σελήνῃ καὶ τῷ ὡροσκόπῳ· ἠρρενωμένων γὰρ τῶν τόπων καὶ τῶν ἀστέρων πρὸς ἀρρενογονίαν δηλονότι παραδεκτέον, τεθηλυ〈μ〉μένων δὲ πρὸς θηλυγονίαν. ὅταν δὲ τὰ φῶτα μόνον τοῦτο πάθωσι χωρὶς τοῦ ὡροσκόπου, ἐπιβλεπτέον τὸ μεσουράνημα ἀντὶ τοῦ ὡροσκόπου· ἐκ γὰρ τούτου αἱ μητέρες ὡς ἐπίπαν δίδυμα ἢ καὶ πλείονα κυΐσκουσιν. ἰδίως δὲ τρεῖς μὲν ἄρρενας πληροφοροῦσι, φησίν, ὑπὸ τὴν τῶν Ἀνακτόρων γένεσιν ἅμα τοῖς κειμένοις τόποις ἐν δισώμοις σχηματισθέντες Κρόνος, Ζεύς, Ἄρης, τρεῖς δὲ θηλείας ὑπὸ τὴν τῶν Χαρίτων Ἀφροδίτη, Σελήνη μεθ’ Ἑρμοῦ τεθηλυ〈μ〉μένου, μίαν δὲ θήλειαν καὶ δύο ἄρρενας ὑπὸ τὴν τῶν Διοσκούρων Κρόνος, Ζεύς, Ἀφροδίτη, δύο δὲ θηλείας καὶ ἄρρενα μόνον ὑπὸ τὴν τῆς Δήμητρος καὶ Κόρης Ἀφροδίτη, Σελήνη, Ἄρης· συμβαίνει δὲ ὡς ἐπίπαν μὴ πάντα τὰ τοιαῦτα τελεσφορεῖσθαι. 〈θ′〉 Περὶ τεράτων Ἤρτηται δὲ τῆς προειρημένης σκέψεως καὶ ὁ περὶ τεράτων λόγος· ἐπὶ γὰρ τῶν τοιούτων εὑρίσκεται τὰ μὲν φῶτα ἀποκεκλικότα ἢ ἀσύνδετα τῷ ὡροσκόπῳ ὡς ἐπίπαν, τὰ δὲ κέντρα διαγόμενα ὑπὸ τῶν κακοποιῶν.

107 ὅταν οὖν τοιαύτη 〈τι〉ς ὑπ’ ὄψιν πέσῃ διάθεσις, ἐπειδὴ γίγνεται πολλάκις καὶ περὶ τὰς ταπεινὰς καὶ κακοδαίμονας γενέσεις, ἐὰν μὴ τερατώδεις ὦσιν, τότε σκοπεῖν δεήσει τὴν προγενομένην συζυγίαν συνοδικὴν ἢ πανσεληνιακὴν καὶ τὸν οἰκοδεσποτήσαντα ταύτης τε καὶ τῶν τῆς ἐκτροπῆς φώτων. ἐὰν γὰρ οἱ τῆς ἐκτροπῆς αὐτῶν τόποι καὶ ὁ τῆς Σελήνης ἢ τοῦ ὡροσκόπου πάντες ἢ οἱ πλείονες ἀσύνδετοι τυγχάνωσιν ὄντες τῷ τῆς προγενομένης συζυγίας τόπῳ, τὸ γεννώμενον αἰνιγματῶδες ὑπονοητέον. ἐὰν μὲν οὖν τούτων οὕτως ἐχόντων τά τε φῶτα ἐν τετράποσιν ἢ θηριώδεσιν εὑρίσκηται ζῳδίοις καὶ οἱ κακοποιοὶ κεκεντρωμένοι, οὐδὲ ἐξ ἀνθρώπου ἔσται τὸ γεννώμενον, μηδενὸς μὲν τοῖς φωσὶν ἀγαθοποιοῦ μαρτυροῦντος τέλεον ἀνήμερον καὶ τῶν ἀγρίαν καὶ κακωτικὴν ἐχόντων φύσιν, μαρτυροῦντος δὲ Διὸς μὲν ἢ Ἀφροδίτης τῶν ἐκθειαζομένων οἷον κυνῶν, αἰλούρων, πιθήκων ἢ τῶν τοιούτων, Ἑρμοῦ 〈δὲ〉 τῶν εἰς χρείαν ἀνθρωπίνην οἷον ὀρνίθων, βοῶν, συῶν, αἰγῶν καὶ τῶν τοιούτων, ἐὰν δὲ 〈ἐν〉 ἀνθρωποειδέσι τὰ φῶτα καταλαμβάνηται τῶν ἄλλων ὡσαύτως ἐχόντων, ὑπ’ ἀνθρώπων μὲν ἢ παρὰ ἀνθρώποις ἔσται τὰ γεγενημένα, τέρατα δὲ καὶ αἰνιγματώδη τῆς κατὰ τὸ ποῖον ἰδιότητος καὶ ἐνταῦθα συνορωμένης ἐκ τῆς τῶν ζῳδίων μορφώσεως ἐν οἷς οἱ διειληφότες τὰ φῶτα ἢ τὰ κέντρα κακοποιοὶ τυγχάνουσιν. ἐὰν μὲν οὖν καὶ ἐνταῦθα μηδεὶς τῶν ἀγαθοποιῶν μαρτυρῇ μηδενὶ τῶν εἰρημένων τόπων, ἄλογα ὡς ἀληθῶς καὶ αἰνιγματώδη γίνεται τέλεον, ἐὰν δὲ ὁ τοῦ Διὸς καὶ ὁ τῆς Ἀφροδίτης 〈μαρτυρήσῃ〉, τιμώμενόν τε καὶ εὔσχημον τὸ τοῦ τέρατος ἴδιον ὁποῖον περὶ τοὺς ἑρμαφροδίτους καὶ ἁρποκρατικοὺς καὶ τοὺς τοιούτους εἴωθε συμβαίνειν, εἰ δὲ καὶ ὁ τοῦ Ἑρμοῦ μαρτυρήσειε, μετὰ τούτων 〈μὲν〉 καὶ

ἀποφθεγγομένους καὶ διὰ τῶν τοιούτων ποριστικούς, μόνος δὲ νωδοὺς καὶ κωφούς, εὐφυεῖς μέντοι καὶ πανούργους ἄλλως ἀπεργάζεται.

108 ⟨ιʹ⟩ Περὶ ἀτρόφων Ὁ δὲ περὶ ἀτρόφων τρόπος ἔχεται μὲν καὶ αὐτοῦ τοῦ περὶ χρόνων ζωῆς, οὐχ οὕτω δὲ ἐν παρατάσει θεωρεῖται ὡς ἐν ποσότητι ἐτῶν ζητεῖσθαι καθάπερ περὶ τῶν τῆς ζωῆς χρόνων, ἀλλʼ ἐν ὥραις ἢ καὶ ἡμέραις ἢ καὶ μησὶν ὀλίγοις μόγις ἐπιδέχεται τὸ ζῆν διʼ ὑπερβολὴν κακώσεως φθειρομένων, ὅθεν καὶ παρὰ τοῖς ἀρχαίοις ἑκατέρου ἑκάτερος κεχώρισται, ἐκεῖνος μὲν πολυμερεστέραν ἔχων τὴν ἐπίσκεψιν (ὁ περὶ χρόνων ζωῆς), οὗτος δὲ τὴν ὁλοσχερεστέραν. φησὶν οὖν ὁ Πτολεμαῖος· ἁπλῶς γάρ, ἐάν τε κεκεντρωμένον ᾖ τὸ ἕτερον τῶν φώτων καὶ τῶν κακοποιῶν ὁ ἕτερος συνῇ ἢ διαμηκίζῃ, ταῦτα δὲ μοιρικῶς καὶ κατʼ ἰσοσκελίαν μηδενὸς μὲν ἀγαθοποιοῦ συσχηματιζομένου, τοῦ δὲ οἰκοδεσπότου τῶν φώτων ἐν τοῖς τῶν κακοποιῶν τόποις κατειλημμένου, τὸ γεννώμενον οὐ τραφήσεται, παρʼ αὐτὰ δὲ ἕξει τὸ τέλος τῆς ζωῆς, ἐὰν δὲ μὴ κατʼ ἰσοσκελίαν τοῦτο συμβῇ, ἀλλʼ ἐγγὺς ἐπαναφέρωνται τοῖς τῶν φώτων τόποις αἱ τῶν κακοποιῶν βολαί, δύο δὲ ὦσιν οἱ κακοποιοὶ καὶ ἤτοι τὸ ἕτερον τῶν φώτων ἢ καὶ ἀμφότεροι βλάπτοντες ἢ κατʼ ἐπαναφορὰν ἢ κατὰ διάμετρον ἢ καὶ ἐν μέρει τὸ ἕτερον ὁ ἕτερος ἢ ὁ μὲν ἕτερος διάμετρος, ὁ δὲ ἕτερος ἐπαναφερόμενος, καὶ οὗτος ἄχρονος γίνεται τοῦ πλήθους τῶν κακώσεων ἀφανίζοντος τὸ ἐκ τοῦ διαστήματος τῆς ἐπαναφορᾶς εἰς ἐπιμονὴν ζωῆς φιλάνθρωπον. βλάπτει δὲ ἐξαιρέτως κατὰ μὲν τὴν ἐπαναφορὰν Ἥλιον μὲν ὁ τοῦ Ἄρεως, Σελήνην δὲ ὁ τοῦ Κρόνου, κατὰ δὲ τὰς διαμετρήσεις ἢ καθυπερτερήσεις ἀνάπαλιν Ἥλιον μὲν ὁ τοῦ Κρόνου, Σελήνην δὲ ὁ τοῦ Ἄρεως, καὶ μάλιστα ⟨ἐὰν⟩ τὰ φῶτα καὶ τὸν ὡροσκόπον οἰκοδεσποτήσαντες τύχωσιν.

109 Ἐὰν δὲ καὶ δύο τυγχάνωσιν διαμετρήσεις ἔτι μᾶλλον ἐπικέντρων ὄντων τῶν φώτων καὶ τῶν κακοποιῶν κατʼ ἰσοσκελίαν, τότε καὶ νεκρὰ ἢ ἡμιθανῆ τίκτεται τὰ βρέφη, τούτων δὲ οὕτως ἐχόντων ἐὰν μὲν ἀπόρροιαν ἀπό τινος τῶν ἀγαθῶν ἔχοντα τυγχάνῃ τὰ φῶτα ἢ καὶ ἄλλως αὐτοῖς συνεσχηματισμένα ἐν τοῖς προηγουμένοις αὐτῶν μέρεσι μέντοι τὰς ἀκτῖνας αὐτοῖς ἐπιφερόντων, ἐπιζήσεται τὸ τεχθὲν ἀντὶ τοῦ μεταξὺ τῆς ἀφέσεως καὶ τῶν ἐγγυτέρων τῶν κακοποιῶν ἀκτίνων ἀριθμούντων μοιρῶν τοὺς ἴσους μῆνας ἢ ἡμέρας ἢ ὥρας πρὸς τὸ μέγεθος τῆς κακώσεως καὶ τὴν δύναμιν τῶν τὸ αἴτιον ποιούντων. ἐὰν δὲ αἱ τῶν κακοποιῶν ἀκτῖνες ἐπὶ τὰ προηγούμενα φέρωνται τῶν φώτων, αἱ δὲ τῶν ἀγαθοποιῶν εἰς τὰ ἑπόμενα, τὸ γεννώμενον ἐκτεθὲν ἀναληφθήσεται, καὶ ἐὰν οἱ συσχηματισθέντες ἀγαθοποιοὶ καθυπερτερηθῶσιν ὑπὸ τῶν κακοποιῶν εἰς κάκωσιν καὶ ὑποταγήν, ὅταν δὲ καθυπερτερήσωσιν εἰς ὑποβολὴν ἄλλων γονέων. εἰ δὲ καὶ τῶν ἀγαθοποιῶν τις τὴν ἀνατολὴν ποιεῖ τῆς Σελήνης, τῶν δὲ κακοποιῶν ὑπὸ δύσιν τις εἴη, ὑπʼ αὐτῶν τῶν γονέων ἀναληφθήσεται. ⟨κατὰ⟩ τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν πλειστογονούντων ἐὰν ὑπὸ δύσιν τις ᾖ τῶν ⟨κατὰ⟩ δύο ἢ πλείους συνεσχηματισμένων ἀστέρων, ἡμιθανές τι ἢ σάρκωμα τὸ γεννώμενον ἀποτεχθήσεται, ἐὰν δὲ ὑπὸ κακοποιῶν καθυπερτερῆται, ἄτροφον ἢ ἄχρονον ἔσται τὸ ὑπὸ τῆς κατʼ αὐτὸν αἰτίας γεγενημένον. Ταῦτα μὲν τελείως καὶ θαυμαστῶς ἐκτίθεται ὁ Πτολεμαῖος, ἔστω δὲ καὶ ὑπόδειγμα τῶν εἰρημένων.

110 Σελήνη ἐν Ταύρῳ ὡροσκοπεῖται μοίρᾳ κεʹ, μηδεὶς δὲ τῶν ἀγαθοποιῶν τὴν Σελήνην ἢ τριγωνίσει ἢ τετραγωνίσει ἢ ἄλλως πως ἐπιθεωρεῖ, τύχῃ δὲ ἡ Ἀφροδίτη ἥπερ οἰκοδεσποτεῖ τοῦ Ταύρου ἐν Κρόνου ἢ τοῦ Ἄρεως οἴκοις ἢ ὁρίοις· ἄτροφος ἐξ ἀνάγκης ὁ οὕτως ἔχων ἔσται· καὶ Ἀπολλινάριος δὲ καὶ Ἀντίοχος τούτοις συμφωνεῖ. ἀλλʼ ἔστω μὴ κατʼ ἰσομοιρίαν τὸ τοῦ κακοῦ διάμετρον· ἐνταῦθα πλήθους χρεία τῶν κακοποιῶν ( β δὲ οὗτοι Ἄρης καὶ Κρόνος) καὶ τοῦ πλήθους τῶν κακουμένων (δύο δὲ οὗτοι Ἥλιος καὶ Σελήνη), καὶ δύο σχήματα ἰσχυρὰ τό τε διάμετρον καὶ τὸ τῆς ἐπαναφορᾶς. Φησὶν οὖν· ἐὰν μὴ κατʼ ἰσοσκελίαν τοῦτο συμβῇ, ἀλλʼ ἐγγὺς ἐπαναφέρωνται τοῖς τῶν φώτων τόποις αἱ τῶν κακοποιῶν βολαί, καὶ ἤτοι τὸ ἕτερον τῶν φώτων ἢ καὶ ἀμφότεροι βλάψωσιν. ὁ δὲ τρόπος τῆς βλάβης, φησίν, κατʼ ἐπαναφορὰν ἢ κατὰ

διάμετρον οἷον ἐὰν Ἄρης καὶ Κρόνος διαμετρῶσι τὸν Ἥλιον καὶ τὴν Σελήνην ἢ καὶ ἀμφοτέρους ἀμφότεροι διαμετρῶσιν ἓν μὲν δὴ τοῦτο τὸ σχῆμα, ἢ πάλιν ἐὰν ὁ Ἄρης καὶ ὁ Κρόνος ἐπαναφέρωνται ἅμα αὐτοῖς, καὶ πάλιν ἕτερον σχῆμα, φησίν, ὅταν τὸν μὲν Ἥλιον διαμετρήσῃ ὁ Ἄρης, τῇ Σελήνῃ δὲ ἐπαναφέρηται ὁ Κρόνος, ἢ ἔμπαλιν τῷ μὲν Ἡλίῳ ἐπαναφέρηται ὁ Ἄρης, τὴν δὲ Σελήνην διαμετρῇ ὁ Κρόνος. πάντα γὰρ ταῦτα ἀχρόνων ἐστὶ σχήματα τοῦ πλήθους τῶν κακώσεων ἀφανίζοντος τὸ ἐκ τοῦ διαστήματος τῆς ἐπαναφορᾶς εἰς ἐπιμονὴν ζωῆς φιλάνθρωπον. Καὶ Ἀπολλινάριός τε καὶ οἱ Αἰγύπτιοι ἀξιοῦσι σκοπεῖν καὶ τὸ προανηνεγμένον ζῴδιον τοῦ ὡροσκόπου, ὃ καὶ κακοδαιμόνημα προσαγορεύουσιν, καὶ τὸ ἐπαναφερόμενον, ὃ καὶ βίον καλοῦσιν. τοῦ γὰρ κακοδαιμονήσαντος ὄντος ἐπὶ τῆς ὥρας πάντα τὸν κίνδυνον συμβαίνει γίνεσθαι τῇ τε τικτούσῃ καὶ τῷ γεννωμένῳ, τοῦ βρέφους εἰς τὸ στόμιον ἤδη τῆς ὑστέρας ἐμπίπτοντος καὶ τῶν ἁρμῶν τῆς κυοφορούσης λυομένων ἀμφοτέροις κίνδυνον ἰσοθάνατον ὑπάρχειν, τῷ μὲν βρέφει διὰ τὸ συμπνίγεσθαι, τῇ δὲ τικτούσῃ διὰ τὸ τοὺς πόρους τῆς γυναικείας φύσεως ὑπὲρ τὸ δέον χαλᾶσθαι.

111 καὶ πάλιν δὲ μετὰ τὸ γεννηθῆναι ἐὰν κακοποιοὶ εὑρεθῶσιν ἐν τῷ βίῳ καὶ διαδέξωνται τὴν Σελήνην ἢ τὸν Ἥλιον, ἀφανίζουσι τὴν ζωὴν καὶ ὀλιγοχρόνιον ποιοῦσιν. Πάλιν δὲ λέγει ὁ Πτολεμαῖος· βλάπτει ἐξαιρέτως κατ' ἐπαναφορὰν Ἥλιον μὲν ὁ τοῦ Ἄρεως, Σελήνην δὲ ὁ τοῦ Κρόνου, κατὰ δὲ τὰς διαμετρήσεις 〈ἢ καθυπερτερήσεισ〉 (τουτέστι κατὰ τὸ δεξιὸν τετράγωνον) τὸ ἀνάπαλιν Ἥλιον μὲν ὁ τοῦ Κρόνου, Σελήνην δὲ ὁ τοῦ Ἄρεως. καὶ ἄλλοι δὲ τῶν ἀρχαίων εἰρήκασι τὰ σχήματα ταῦτα φυσικῶς σκεπτόμενα· ἄκρατον γὰρ τυγχάνων πῦρ ὁ τοῦ Ἄρεως ἐν ταῖς ἐπαναφοραῖς ἐπιτείνει τὸν Ἥλιον θερμὸν ὄντα εἰς ἀναίρεσιν, ὁ δὲ τοῦ Κρόνου ψυχρὸς τὴν Σελήνην ὑγραίνουσαν ψύχει. λέγουσι δὲ τὴν ἐπίτασιν μάλιστα τῆς κακώσεως γίνεσθαι ὅταν οἱ κακοποιοὶ τύχωσι κατειληφότες τοὺς τόπους τῶν οἰκοδεσποτούντων τοῖς φωσίν, 〈οἷον〉 εἰ τὰ μὲν φῶτα εἴη ἐν Ἰχθύσιν, καθυπερτερεῖ δὲ Ἄρης ἢ Κρόνος ἐν Τοξότῃ ὅς ἐστιν οἶκος τοῦ Διὸς τοῦ καὶ οἰκοδεσποτοῦντος τοῦ τόπου τῶν φώτων (τουτέστιν Ἰχθύων). ἐπαναφέρεσθαι δὲ δύναται εἰ τὰ μὲν φῶτα εἴη ἐν Αἰγοκέρωτι, οἱ δὲ κακοποιοὶ ὦσιν ἐν Ὑδροχόῳ, διαμετρεῖν δὲ οὐκέτι δύνανται τὰ φῶτα ἀλλ' ἢ ἄρα ἐκ τῶν ὁρίων διὰ τὸ ἐν ἑκάστῳ ζῳδίῳ εἶναι ὅρια τῶν πέντε ἀστέρων. Ἐὰν δὲ δύο διαμετρήσεις τυγχάνωσι τῶν φώτων ἐπικέντρων κατ' ἰσομοιρίαν δῆλον ὅτι, φησίν, καὶ ἡμιθανῆ τίκτεται τὰ βρέφη, ἐὰν δὲ ἀπόρροιαν ἀπό τινος τῶν ἀγαθοποιῶν ἔχοντα τὰ φῶτα τυγχάνῃ καὶ ἄλλως αὐτοῖς ἐσχηματισμένα ἐν τοῖς προηγουμένοις αὐτῶν μέρεσι μέντοι γε τὰς ἀκτῖνας αὐτοῖς ἐπιφερόντων, ἐπιζήσεται τὸ τεχθὲν ἀντὶ τοῦ μεταξὺ τῆς τε ἀφέσεως καὶ τῶν ἐγγυτέρων κακοποιῶν ἀκτίνων ἀριθμούντων μοιρῶν ἡμῶν τοὺς ἴσους μῆνας ἢ ἡμέρας καὶ ὥρας παρὰ τὸ μέγεθος τῆς κακώσεως καὶ τὴν δύναμιν τῶν τὸ αἴτιον ποιούντων.

112 ἐὰν γὰρ Ἥλιος καὶ ἡ Σελήνη ἀπό τινος τῶν ἀγαθοποιῶν ἀπόρροιαν ποιούμενοι τοῖς κακοποιοῖς συνάπτωσιν ἐν ταῖς ἐπαναφοραῖς αὐτῶν ὑπάρχουσι κατὰ τὸ διάστημα τὸ πρὸς τοὺς κακοποιοὺς τῆς Σελήνης καὶ τοῦ Ἡλίου κατ' αὐτὴν τὴν ἐπαναφορὰν τοῦ κεκακωμένου ζῳδίου μόνον ζήσονται ἀντὶ τῶν κατὰ τὰς ἀναφορὰς τῶν μεριζομένων αὐτοῖς ἢ μηνῶν ἢ ἡμερῶν παρὰ τὸ μέγεθος τῆς κακώσεως γιγνομένης τῆς διαφορᾶς. Λέγει δὲ τούτου ὑπόδειγμα ὁ πολυμαθὴς Πορφύριος. ἔστω, φησίν, ἐν Καρκίνῳ ὁ Ζεύς, Σελήνη δὲ ἀπορρεύσασα ἀπ' αὐτοῦ (φερέσθω ἐπὶ η′ μοῖραν τοῦ Λέοντος), ὁ δὲ Ἄρης ἔστω ἐπαναφερόμενος τῇ Σελήνῃ ἐν Παρθένου μοίρᾳ η′. τοσοῦτον χρόνον ζήσεται ὅσαι αἱ μεταξὺ μοῖραι τῆς η′ μοίρας τοῦ Λέοντος ἐπὶ η′ μοῖραν Παρθένου, ἀλλ' οὐχὶ τῶν μεταξὺ μοιρῶν εἰς ἐνιαυτοὺς λογιζομένων ἀλλ' εἰς μῆνας ἢ ἡμέρας ἢ ὥρας. κἂν μὴ ὁ Ζεὺς δὲ ᾖ ἐν Καρκίνῳ, συσχηματίζεται τῇ Σελήνῃ ἐν Λέοντι οὔσῃ κατὰ τρίγωνον ἀκτῖνα ἀπὸ Κριοῦ ταύτην ἐπιθεωρῶν, βαλλέτω δὲ τὴν ἀκτῖνα μὴ εἰς τὰς μετὰ τὰς η μοίρας τοῦ Λέοντος ἀλλ' εἰς τὰς πρὸ τῶν η · ἐὰν γὰρ μεσεμβολῆται παρὰ τοῦ Διὸς ἡ ἀκτὶς οὐδὲν

πείσονται. οὕτω δὲ ἐχόντων τῶν κακοποιῶν ἢ τῶν πρὸς τὰ φῶτα ἐπαναφορῶν ἐπιζήσεται μὲν τὸ τεχθέν, οὕτω δὲ ὀλιγοχρονήσει ὡς τὰς ἀναφερομένας μοίρας μὴ ἐτῶν παρέχειν ἀριθμὸν ἀλλὰ μηνῶν ἢ ἡμερῶν ἢ ὡρῶν. Ἑξῆς δέ φησιν ὁ Πτολεμαῖος· ἐὰν δὲ αἱ μὲν τῶν κακοποιῶν ἀκτῖνες εἰς τὰ προηγούμενα φέρωνται τῶν φώτων, αἱ δὲ τῶν ἀγαθοποιῶν εἰς τὰ ἑπόμενα, τὸ γεννώμενον ἐκτεθὲν ἀναληφθήσεται καὶ ζήσεται, ἐὰν μὲν οὖν συσχηματισθῇ καὶ τὰ ἑξῆς.

113 ἐξηγητέον καὶ ταῦτα ἐπειδὴ καὶ Ἀντίοχος καὶ Ἀπολλινάριος τὰ αὐτὰ σχεδὸν λέγουσιν, οἷον ἔστω Ἥλιος καὶ Σελήνη Λέοντι, βαλλέτωσαν δὲ ἀκτῖνας Κρόνος μὲν ἐκ Κριοῦ ἐπὶ Καρκίνον ἐκ τετραγώνων, Ἄρης δὲ ἐπὶ τὰς πρώτας μοίρας τοῦ Λέοντος κατὰ διάμετρον ἐξ Ὑδροχόου, Ἡλίου καὶ Σελήνης ἀφεστηκότων τῆς πρώτης τοῦ Λέοντος μοίρας δέκα, βαλλέτω ὁ δὲ Ζεὺς ἀκτῖνα ἐκ Τοξότου τριγωνικῶς ἐπὶ τὴν πρώτην πεντεκαιδεκάτην τοῦ Λέοντος. τὸ δὴ οὕτω γεννώμενον ἐὰν μὴ ἐκ τῆς συνόδου τῶν φώτων ἄλλως βλάπτηται ἐκτεθὲν ἀναληφθήσεται καὶ ζήσεται, ἀλλὰ τοῦ μὲν Διὸς καθυπερτεροῦντος τριγώνῳ σχήματι τὸν Κρόνον εἰς τεκνοποιίαν ἀναληφθήσεται, εἰ δὲ καθυπερτεροῖντο οἱ ἀγαθοποιοὶ ὑπὸ τῶν κακοποιῶν ἀναληφθήσονται καὶ ζήσουσιν ἀλλὰ δουλεύσαντες. εἰ μέντοι ἀγαθοποιοὶ ἢ τούτων τις ἀνατολικὸς εἴη ἢ τὴν συναφὴν ποιοῖτο Σελήνη, οἱ δὲ κακοποιοὶ 〈πρὸς δύσιν εἶε〉 ν ἢ τούτων τις, ὑπ' αὐτῶν ἀναληφθήσονται τῶν γονέων. Κατὰ τὸν αὐτὸν δὲ τρόπον, φησίν, καὶ ἐπὶ τῶν διδυμογόνων σχημάτων ἢ τῶν πλειστογονούντων συμβαίνει. ἐθεωρεῖτο δὲ τὸ σχῆμα τοῦτο ἀπό τε τῶν φώτων καὶ τοῦ ὡροσκόπου, τῶν τε λόγον ἐχόντων πρὸς αὐτοὺς ἀστέρων καὶ τόπων. δισώμων γὰρ ὄντων τῶν τριῶν τόπων, καὶ μάλιστα τῶν δεσποζόντων ἀστέρων τῶν τόπων ἐν δισώμοις ὁμοίως ὄντων, τῶν περὶ τὰ φῶτα καὶ τὸν ὡροσκόπον συμπτωμάτων θεωρουμένων, συμβαίνει δίδυμα γενέσθαι· ὡσαύτως περὶ τῶν διδυμογόνων ἐπεξῆλθεν. ἐὰν οὖν, φησίν, ὑπὸ δύσιν τις ᾖ (καὶ διὰ τοῦτο ἐλαττούμενος) τῶν κατὰ δύο καὶ πλείους ἐσχηματισμένων ἀστέρων ἡμιθανές τι συντε 〈χθή〉 σεται τῷ γεννωμένῳ ἢ σάρκωμά τι ἀτελές, ὅπερ ἐπικύ 〈ημα καλοῦσ〉 ιν, ἐὰν δὲ μὴ ὑπὸ δύσιν ᾖ, καθυπερτερῆται 〈δὲ〉 ὑπὸ 〈κακοποιῶν, ἄ〉 τροφον, φησίν, ἢ ἄχρονον ἔσται τὸ ὑπὸ τῆς κατ' αὐ 〈τὸν αἰτίας συγγεγεννημένον.

114 〉 συμβαίνει δὲ τῶν διδύμων 〈τὸ μὲν ζῆν, τὸ δὲ παραυτίκα θνήσκειν ἢ μετ' ὀλί〉 γον τινὰ 〈χρόνον. Λέγει δὲ καὶ ταῦτα Δωρόθεος ἐν τοῖς περὶ χρόνων ζωῆς. ἀρίθμει, φησίν, ἐπὶ τῶν νυκτὸς γεννωμένων ἀπὸ Ἄρεως ἐπὶ Κρόνον καὶ τὰ τοσαῦτα ἀπὸ ὡροσκόπου ἔκβαλλε, καὶ ἐὰν καταλήξῃ εἴς τι ζῴδιον οὗ κυριεύει Κρόνος ἐπίκεντρος ὢν ἄτροφον γεννᾶται. ἐπὶ δὲ τῶν ἡμερινῶν ἔμπαλιν ἀπὸ Κρόνου ἐπὶ Ἄρην καὶ τὰ ἴσα ὁμοίως ἀπὸ ὡροσκόπου, καὶ ἐὰν τοῦ τόπου εἰς ὃν καταλήξει Ἄρης ἐπίκεντρος ὢν κύριος εὑρίσκηται ἄτροφον ὁμοίως ποιήσει. κἂν Ἄρης δὲ καὶ Κρόνος ὑπόγειοι ὦσιν ἐν θηριώδεσι ζῳδίοις καὶ τὴν Σελήνην ὁρῶσιν τὸ παραπλήσιον ποιοῦσιν. Κριτόδημος δὲ〉 ἐν τῷ αὐτοῦ Πίνακι ταῦτά φησιν. οἱ φωστῆρες ἐν ταῖς ἐσχάταις μοίραις τῶν ζῳδίων ὄντες ἀχρόνους ποιοῦσιν· Σελήνη ἐν τῷ ἐκλειπτικῷ ὑπὸ Ἡλίου καὶ Ἄρεως ὁραθεῖσα ἀχρόνους ποιεῖ· Σελήνη ἐν τῷ βορείῳ μειουμένη ὑπὸ Κρόνου ὁραθεῖσα μάλιστα κατὰ τετράγωνον ἢ διάμετρον ἢ ἐν τῷ νοτίῳ μειουμένη ὁμοίως ὑπὸ Ἄρεως ὁραθεῖσα ἀχρόνους ποιεῖ· Σελήνη δύνουσα πληρουμένη τοῦ Ἄρεως ὡροσκοποῦντος, μειουμένη δὲ Κρόνου, ἀχρόνους ποιεῖ. ἐὰν δὲ οἱ κακοποιοὶ τὰ κέντρα ἔχωσιν ἐν ἀλλοτρίοις τόποις, οἱ δὲ φωστῆρες ἐν ἀργῷ τόπῳ, ἄχρηστα καὶ κυνόβρωτα ποιεῖ· ἐὰν οἱ κακοποιοὶ ἀνατολὰς ἔχωσιν, οἱ δὲ ἀγαθοποιοὶ κρύψεις, ἄχρονα ποιοῦσι τὰ τικτόμενα.

115 ἐν ταῖς ἐκλείψεσιν Ἡλίου καὶ Σελήνης ἐὰν ὁ κύριος τοῦ ὡροσκόπου κρύψιν ἔχῃ καὶ μὴ σχηματίζῃ ἀχρόνους 〈ποιεῖ〉 . ἐὰν δὲ τοῦ ζῳδίου τὰ ἔσχατα μέρη ὡροσκοπῇ, τὰς δὲ προτέρας μοίρας κατέχωσιν οἱ κακοποιοί, ἄχρονα γεννᾶται, ὡ 〈ς ἐπίπαν δὲ καὶ οἱ〉 τικτόμενοι ἐν ταῖς ἐκλείψεσιν ἄχρονοι ἢ τυ 〈φλοὶ τίκτονται〉 . καὶ ἐὰν Σελήνη ἀστέρι κακοποιῷ στηρίζ 〈οντι συνάψῃ ὀλιγοχρόνια τὰ τικτόμενα ποιεῖ. Ἰστέον δὲ ὅτι χρὴ σκεπτομένους τὸν περὶ χρόνων

ζωῆς τόπον χρήσασθαι ταῖς τῶν ζῳδίων ἀναφοραῖς κατὰ Πτολεμαῖον οὗ καὶ τῇ μεθόδῳ ὡς ἀληθεστέρᾳ χρησόμεθα καὶ φυσικωτέρᾳ. κατὰ γὰρ τὰς ἐκ τούτου μεθόδους σκέψασθαι χρὴ καὶ τὰς οἰκείας ἀναφοράς· οὐχ ὑπονοητέον μέντοι ὡς τῶν ἀναφορῶν ἄλλως καὶ ἄλλως εὑρισκομένων ὑπὸ τὸν αὐτὸν παράλληλον〉 ἑτέρου καιροῦ ἂν εἴη. πόσοι χρόνοι τοῦ ἰσημερινοῦ συναναφέρονται ἑκάστῳ ζῳδίῳ οἵπερ καὶ εἰς ἐνιαυτοὺς παραλαμβάνονται ἐκ τῶν κανόνων τῶν ἀναφορῶν ἑκάστου κλίματος γινώσκομεν ἐν τοῖς ἑξῆς πρὸς ἣν ἐκτίθεται μέθοδον. εἰ δὲ ἀπὸ χειρὸς ὁλοσχερῶς βουληθῶμεν εὑρεῖν τὰς συναναφορὰς ἑκάστου ζῳδίου ἢ καὶ συμμεσουρανήσεις οὕτω ποιῶμεν. ἔστω τὸν Κριὸν ἀνατέλλειν μοίραις κα μ κατὰ τοὺς παλαιούς, οἳ γίγνονται ἐνιαυτοὶ κα καὶ μῆνες ὀκτώ. πολυπλασιάζω γὰρ τὰ κα ἔτη καὶ μῆνας η ἐπὶ τοὺς ιβ καὶ γίγνονται σξ , οὓς μερίζω ἐπὶ τὰς λ μοίρας τοῦ ζῳδίου· καὶ λαγχάνει ἑκάστη μοῖρα μῆνας η ἡμέρας κ , αἱ δὲ δύο μοῖραι δηλονότι μῆνας ιζ ἡμέρας ι , αἱ δὲ τρεῖς ὁμοίως τὸ τριπλοῦν μέγεθος· [καὶ αὕτη ἡ ἔφοδος.

116 ἀναλύσαντες γὰρ εἰς τὰ ἑξηκοστὰ κα μ εὑρίσκομεν 〈 ͵ ατ 〉 · ταῦτα μερίζομεν εἰς λ (τοσαῦται μοῖραι ἑκάστου ζῳδίου) καὶ ἑκάστη λαγχάνει λεπτὰ πρῶτα μγ καὶ δεύτερα κ ]. καὶ αὕτη ἡ ἔφοδος ἔστω καθ’ ἕκαστον ζῴδιον καὶ κλίμα. 〈ια′〉 Περὶ χρόνων ζωῆς κατὰ τὸ ἀληθὲς καὶ Πτολεμαῖον Τῶν δὲ μετὰ τὴν γένεσιν συμπτωμάτων, φησίν, ἡγεῖται ὁ περὶ χρόνων ζωῆς 〈λόγοσ〉 , ἐπειδήπερ πρῶτον εἰδέναι χρὴ τοὺς βιωσίμους χρόνους περὶ οὓς ἡ σκέψις, εἶτα ἐφαρμόζειν ἀκόλουθον τὰ καθ’ ἕκαστα τῶν ἀποτελουμένων. ἤρτηται τὸ πᾶν τοῦτο κεφάλαιον ἔκ τε ἀφετικῶν τόπων καὶ τῶν ἀφέτας ἔχειν δυναμένων πρὸς ζωὴν καὶ ἔμπαλιν τῶν ἀναιρεῖν δυναμένων, διακρίνεται δὲ τούτων ἕκαστον οὕτως. Τόπους μὲν ἀφετικοὺς ε ὡρίσατο ὧν ἐν ἑνὶ χρὴ εἶναι τὸν τὴν ἄφεσιν λαμβάνοντα, τό τε περὶ τὸν ὡροσκόπον δωδεκατημόριον ἀπὸ ε μοιρῶν εἰς τοὐπίσω προανηνεγμένον τῆς ὡροσκοπούσης μοίρας μέχρι τῶν λοιπῶν καὶ ἐπαναφερομένων μοιρῶν κε ταύτῃ ὡροσκοπούσῃ καὶ ταύταις ταῖς λ μοίραις δεξιὰς ἑξαγώνους τοῦ ἀγαθοῦ δαίμονος καὶ τετραγώνους τοῦ ὑπὲρ γῆν μεσουρανήματος καὶ τριγώνους τοῦ καλουμένου θεοῦ καὶ διαμέτρους τοῦ δύνοντος. ἑξαγώνους δὲ καὶ τετραγώνους καὶ τριγώνους εἶπε πλευρὰς καὶ οὐ ζῴδια διὰ τὸ μὴ πάντοτε πίπτειν εἰς τὸ ἀπὸ τοῦ ὡροσκόπου ζῴδιον ι′ ἤγουν τὸ μεσουράνημα μήτε εἰς τὸ ια′ τὸ ἀγαθοδαιμόνημα μήτε εἰς τὸ θ′ ὃ καλεῖται θεός, καὶ διὰ τούτων ὑπηνίξατο ὡς μὴ δεῖν πάντοτε λ μοίρας διδόναι τοῖς τρισὶ τόποις τοῖς περὶ τὸ μεσουράνημα, ἀλλ’ ἔστιν ὅτε καὶ πλείονας τὰς λ ποιεῖν χρή, ἔστι δὲ πάλιν ὅτε καὶ ἐλάττονας, κατὰ τὸ ἀνάλογον τῶν μεταξὺ μοιρῶν τῶν δύο κέντρων τῷ ἑκάστῳ ἐπιβαλὼν δι〈αφόρω〉ς.

117 ἐὰν μὲν οὖν ὦσιν αἱ τοῦ τεταρτημορίου πλείονες μοῖραι ϙ , πόσῳ ἂν μὲν πλείονες ὦσι τοσοῦτο προσαύξῃ τὰς μοίρας, ἐὰν δὲ ἐλάττους κατὰ τὸ ἀνάλογον ἐλαττώσῃ. Ἔστω δὲ ὑπόδειγμα τῶν εἰρημένων. ὑποκείσθω ἔχειν τινὰ τὸν ὡροσκόπον αὐτῇ τῇ κε′ μοίρᾳ τοῦ Ὑδροχόου· ἀπὸ ε′ μοίρας τῶν προανηνεγμένων δηλονότι ὁ ὡροσκόπος λαμβάνεται ἀπὸ τῆς κ′ μοίρας τοῦ Ὑδροχόου ἕως Ἰχθύων μοίρας κ′, ἀπὸ δὲ κ′ μοίρας τοῦ Ὑδροχόου πρὸς τοὐπίσω ἕως Αἰγοκέρωτος μοίρας κ′ ἔσται τὸ ιβ′ καὶ κακοδαιμόνημα (ἐν αἷς μοίραις ἐὰν εὕρωμέν τινα ἀφέτην οὐ παραδεχόμεθα), ἀπὸ δὲ κ′ μοίρας τοῦ Αἰγοκέρωτος ὁμοίως ἕως Τοξότου μοίρας κ′ ἔσται τὸ ια′, ἀπὸ δὲ Τοξότου μοίρας κ′ ἕως Σκορπίου μοίρας κ′ ἔσται τὸ ι′, μεσουράνημα· πάλιν ἀπὸ Σκορπίου μοίρας κ′ ἕως Ζυγοῦ μοίρας κ′ ἔσται τὸ θ′, ἀπὸ δὲ Ζυγοῦ μοίρας κ′ ἕως Παρθένου μοίρας κ′ ἔσται τὸ η′ καὶ ἀσύνδετον τῷ ὡροσκόπῳ (καὶ αὐτὸ παραιτούμεθα εἰς ἄφεσιν), ἀπὸ δὲ Παρθένου μοίρας κ′ ἕως Λέοντος μοίρας ιε′ ἔσται τὸ δῦνον, καὶ τὰς ἄλλας ε μοίρας τὰς προδεδυμένας ἕως Λέοντος μοίρας κ′. Οἱ οὖν πλεῖστοι οὕτω διαιροῦσι τοὺς ἀφετικοὺς τόπους, Παγχάριος δὲ ὁ ὑπομνηματίζων τὸν τόπον τοῦτον ἐπεσημήνατο, ὡς προείπαμεν, μὴ δεῖν πάντοτε λ μοίρας διδόναι τοῖς τρισὶ τόποις περὶ τὸ μεσουράνημα, ἀλλ’ οὕτω ποιεῖν. ἐπειδὴ γὰρ ὁ ὡροσκόπος ἐστὶν Ὑδροχόου μοίρᾳ κε′, τὸ δὲ μεσουράνημα Τοξότου ἐγγὺς μοίρᾳ ε′, ἀριθμῶ

ἀπὸ τῆς ε′ μοίρας τοῦ Τοξότου ἕως Ὑδροχόου μοίρας κε′, καὶ 〈αἵ〉 εὑρισκόμεναι π ἐλλείπουσι τῶν ϙ μοιρῶν ι αἵ εἰσιν θ′ αὐτῶν.

118 διατάσσω ἀπὸ μεσουρανούσης μοίρας πρὸς ἀνατολὰς ἀντὶ τῶν ιε (τὸ ἥμισυ τοῦ ζῳδίου) μοίρας 〈ι〉 γ γ′ αἳ καὶ αὐταὶ λείπουσι τῶν ιε τὸ θ′ μέρος αὐτῶν, καὶ καταντᾷ ἕως Τοξότου μοίρας ιη′ γ′. καὶ ὁμοίως τὸ τριακοντάμοιρον τοῦ ἀγαθοδαιμονήματος τάσσω παρὰ μοίρας 〈ι〉 γ γ′, τουτέστιν ἀπὸ τῆς τοῦ Τοξότου μοίρας ιη′ γ′ ἕως Αἰγοκέρωτος μοίρας ιε′. πάλιν ὁμοίως ἀριθμοῦμεν ἀπὸ τοῦ δυτικοῦ ὁρίζοντος ἕως τῆς μεσουρανούσης μοίρας· εὑρίσκω μοίρας ρ αἳ πλεονάζουσι τῶν ϙ πάλιν τὸ θ′ μέρος αὐτῶν. ἀπὸ ε′ ἄρα μοίρας τοῦ Τοξότου εἰς τοὐπίσω ἕως τῆς κ′ μοίρας τοῦ Σκορπίου αἵ εἰσι ιε (τὸ ἥμισυ τοῦ ζῳδίου)· γίγνονται μοῖραι ις 〈μ〉. ἐποίησα γὰρ πάλιν τὸ 〈θ′〉 μέρος τούτων ιε πρὸς ις μ , καὶ καταντᾷ ἕως Σκορπίου μοίρας ιη′ γ′. τὸ δὲ θ′ ὁμοίως πλεονάζει μοίρας γ γ′, καὶ καταντᾷ ἀπὸ ιη′ γ′ μοίρας τοῦ Σκορπίου ἕως Ζυγοῦ μοίρας ιε′. Οὕτως οὖν χρή, οἶμαι, ποιεῖν τοὺς ἀφετικοὺς ε τόπους μετ’ ἀκριβείας ἵνα μὴ λάθῃ ποτὲ ὁ ἀφέτης, ὥς φησιν, ἐκπεσὼν εἰς ἀργὸν τόπον καὶ μὴ ὡς ἐν ἀργῷ τιθέμεθα ἢ ὄντα ἐπὶ τοῦ μεσουρανήματος ἢ ἄλλης θέσεως παραλάβοιμεν αὐτὸν μὴ ἀληθῶς οὕτως ἔχοντα. Καὶ ταῦτα μὲν σαφηνείας χάριν εἰρήσθω· οὐκ ὀκνητέον γὰρ παρεκτεῖναί ποσως τὸ σκέμμα τοῦτο διὰ τὴν πολυμερῆ καὶ πολυθρύλλητον αὐτοῦ θεωρίαν. τοὺς μὲν ἀφετικοὺς αὐτοῦ ε τόπους οὕτως ἔχομεν ἀφορισμένους προκρινομένων καὶ ἐν τούτοις εἰς δύναμιν ἐπικρατήσεως πρῶτον 〈τῶν κατὰ〉 τὸ ὑπὲρ γῆν μεσουράνημα ἑστώτων, εἶτα τῶν κατὰ τὴν ἀνατολήν, εἶτα τῶν κατὰ τὴν ἐπαναφορὰν τοῦ μεσουρανήματος, εἶτα τῶν κατὰ τὸ δῦνον, ἐπὶ πᾶσι τῶν κατὰ τὸ θ′ τουτέστι τὸ προηγούμενον τοῦ μεσουρανήματος.

119 τὸ δὲ ὑπὸ γῆν πᾶν ἡμισφαίριον, φησίν, ἀθετητέον πρὸς τὴν τηλικαύτην κυρίαν πλὴν μόνων τῶν παρ’ αὐτὴν τὴν ἐπαναφορὰν εἰς φῶς ἐρχομένων 〈καὶ〉 τῶν προδεδυκυιῶν μοιρῶν, τοῦ δὲ ὑπὲρ γῆν ἡμισφαιρίου οὔτε τὸ ἀσύνδετον τῷ ὡροσκόπῳ ὅπερ ἐστὶ τὸ η′ οὔτε τὸ δωδέκατον χρὴ παραλαμβάνειν διὰ τὸ τὰ ἄστρα, φησίν, ἐν αὐτοῖς ὄντα μετὰ τοῦ ἀποκεκλικέναι καὶ τὸ ἀνατεθυμιαμένον ἐκ τῶν τῆς γῆς ὑγρῶν παχὺ καὶ ἀχλυῶδες ἐμπόδιον ἔχειν πρὸς τὴν ἀπ’ αὐτῶν ἐπὶ τὴν γῆν ἀπόρροιαν παρ’ ὃ καὶ τοῖς χρώμασι καὶ τοῖς μεγέθεσιν οὐ κατὰ φύσιν ἔχοντες φαίνονται. Μετὰ τοὺς ἀφετικοὺς τόπους ἀφέτας ὡρίσατο ἡμέρας μὲν εἰ ἐπείη καὶ τῷ τόπῳ τινὶ τῶν ἀφετικῶν τὸν Ἥλιον, εἰ δὲ μὴ τὴν Σελήνην, εἰ δὲ μήτε αὐτὴ εὑρίσκοιτο ἔν τινι τούτων τὸν δυνάμενον ἀστέρα ε λόγους ἔχειν οἰκοδεσποτίας πρός τε τὸν Ἥλιον καὶ τὴν προγενομένην σύνοδον καὶ τὸν ὡροσκόπον, οὐχ ἵνα ἐξ ἀνάγκης πρὸς τοὺς τρεῖς ἔχῃ λόγους οἰκοδεσποτίας (τοῦτο γὰρ ἀδύνατον εἰ μὴ εἴη ἡ σύνοδος ἐπὶ τῆς ὥρας) ἀλλὰ κἂν πρὸς ἕνα τούτων (οἷον τὸν Ἥλιον ἢ τὴν προγενομένην σύνοδον ἢ τὸν ὡροσκόπον) κἂν πρὸς δύο δὲ τούτων (οἷον πρός τε Ἥλιον καὶ τὴν σύνοδον) ἢ τὸ τελευταῖον πρὸς τὰ γ . ὅτι δὲ οὐ πρὸς τὰ γ ἐξ ἀνάγκης ἐπισαφηνίζει αὐτὸς ἐν τοῖς ἑξῆς ὁ Πτολεμαῖος λέγων· ὅταν τῶν οἰκοδεσποτικῶν τόπων ε ὄντων τρεῖς ἔχῃ πρὸς ἕνα ἢ καὶ πλείονας (οὐ τόπους ἀφετικοὺς 〈ἀλλ’ αὐτοὺς τοὺς ἀφέτ〉ας, λέγω δὲ τὸν Ἥλιον καὶ τὴν προγενομένην σύνοδον καὶ τὴν ὥραν)—ὅταν οὖν ε τόπων ὄντων οἰκοδεσποτίας (οἴκου, τριγώνου, ὁρίων, ὑψώματος, φάσεως ἢ συσχηματισμοῦ) εὑρεθῇ τις ἀστὴρ πλείονας λόγους ἔχων, ὡς ἔφην, πρὸς Ἥλιον ἢ καὶ τὴν σύνοδον ἢ καὶ τὴν ὥραν καὶ ἦν ἔν τινι τῶν ἀφετικῶν τόπων Ἡλίου μὴ οὕτως ἔχοντος, τότε ἀφέτῃ αὐτῷ χρησόμεθα, ἐὰν δὲ μὴ οὕτως εὑρεθῇ ἔν τινι ἀφετικῷ τόπῳ τὸ τελευταῖον τὴν ἄφεσιν ποιησόμεθα τῆς ὡροσκοπούσης μοίρας.

120 καὶ ταῦτα 〈ἐπὶ〉 μὲν τῶν ἐν ἡμέρᾳ τικτομένων ποιοῦμεν, ἐπὶ δὲ τῶν ἐν νυκτὶ ἄφεσιν πρώτην τὴν Σελήνην δεῖ λαμβάνειν εἰ ἐπείη τινὶ τῶν ἀφετικῶν τόπων, εἰ δὲ καὶ μὴ τὸν Ἥλιον (δῆλον δὲ ὡς οὐκ ἂν εὑρεθῇ ἔν τινι ἀφετικῷ τόπῳ ἐν νυκτὶ εἰ μὴ μόνον ἐν ταῖς τοῦ ὁρίζοντος πλησίον ὑπὸ γῆν ταῖς κε μοίραις τῆς ἐπαναφορᾶς καὶ ταῖς ε προδεδυκυίαις), ἐὰν δὲ μηδὲ οὕτω τύχῃ ἔν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινι ἀφετικῷ τόπῳ τὸν οἰκοδεσποτίας λόγον ἔχοντα πρὸς τὴν Σελήνην καὶ τὴν προγενομένην πανσέληνον καὶ πρὸς τὸν κλῆρον τῆς τύχης (〈ληπ〉 τέον ἐπὶ νυκτὸς τοῦ ἀπὸ Ἡλίου ἐπὶ Σελήνην δια〈στ〉ήμ〈ατ〉ος τὸν ἴσον ἀπέχοντα ἀπὸ τοῦ ὡροσκόπου 〈τόπον). β〉ούλεται γὰρ τρόπον τινὰ εἶναι 〈πρὸς τὸν〉 ὡροσκόπ〈ον〉, ὡς καὶ αὐτὸς ὁ Πτολεμαῖός φησιν, οὕτως τὸν ἔχον〈τά τ〉ινα λόγον· ὁ Ἥλιος πρὸς τὸν ἀνατολικὸν ὁρίζοντα 〈καὶ ἡ Σελήνη〉 πρὸς τὸν κλῆρον τῆς τύχης. καὶ τοὺς ἀρχαίους περὶ Νεχεψὼ καὶ Πετόσιριν αἰνίττεσθαι πρὸς τὴν 〈τοῦ〉 αὐτοῦ θέσιν διὰ τὸ ἀνάπαλιν ἐπὶ τῶν νυκτερινῶν γεννωμένων 〈ἀπὸ Σελήνησ〉 ἐπὶ Ἥλιον τὸ διάστημα ἐκβάλλειν (τουτέστιν 〈εἰς τὰ προηγούμενα) ἀπὸ〉 τῆς ὥρας. Ἐνταῦθα ὁ Παγχάριός φησιν· ἐπὶ πο〈ίᾳ αἰτίᾳ ἐστὶν〉 ἄξιον τοῦτο μόνον ἐπιστάσεως περὶ τ〈οῦ λό〉γον 〈ἔχοντοσ〉 πρὸς τὴν 〈προ〉γενομένην πανσέληνον καὶ οὐχ ἁπλῶς πρὸς τὴν ἔγγιστα συζυγίαν; ἴσως γὰρ ἀπίθανον συμβήσειέν ποτε σ〈υνόδου〉 προγεγονυίας τὸ τῆς πανσελήνου τῆς ὥσπερ ἀλλοτρι〈ουμένης τὸν〉 οἰκοδεσπότην ἐξετάζειν ἐπὶ τῶν νυκτερινῶν 〈γενν〉ωμένων.

121 〈ἐπὶ δὲ τῶν ἡμερινῶν γεννωμένων〉 ἐὰν ᾖ ἔγγιστα ἡ προγενομένη πανσεληνιακὴ συζυγία οὐκ ἀλόγως δοκεῖ ἐπὶ τὴν σύνοδον 〈ἀνα〉τρέχειν ὡς προκαταρκτικὴν συζυγίαν, ἀλλ’ 〈ἴσως, φησίν,〉 ἐπὶ νυκτὸς διὰ τὸ ἀφώτιστον εἶναι τὴν 〈τῆς Σελήνησ〉 σύνοδον ἐπὶ τὴν πανσέληνον ἀνατρέχει καίτοι ἐν τοῖς 〈ἑξῆσ〉 τὴν ἔγγιστα ζητῶν φαίνεται. τάχα οὖν εὐλογώτερον 〈εἶναι〉 ὑποφαίνει εἰ τύχῃ ἡ προγενομένη συζυγία πανσεληνιακὴ καὶ αὐτῆς δεσπότην λαμβάνεσθαι, ἀλλὰ ὡ〈ς καθόλου〉 τὴν ἔγγιστα β〈ού〉λεται λαμβάνεσθαι ἐκ τῶν ἐφ〈εξῆς εἰρη〉μ〈ένω〉ν δίδωσιν· 〈φησὶ〉 γὰρ 〈ὅτ〉ι ἐὰν μὴ ὁ οἰκοδεσπότης εὑρίσκηται ἐν τοῖς ἀφετικοῖς τόποις χρῆσθαι 〈δεῖ〉 ἀφέτῃ 〈εἰ〉 ἡ προγενομένη συζυγία πανσεληνιακὴ εἴη τῷ κλήρῳ τῆς τύχης εἰ ἐν τοῖς ἀφετικοῖς τόποις εἴη, εἰ δὲ συνοδικὴ τῷ ὡροσκόπῳ. Ἐὰν δέ, φησίν, συμβαίνῃ εἶναι καὶ Ἥλιον καὶ Σελήνην κατὰ τῶν ἀφετικῶν τόπων, εἶναι δὲ καὶ τὸν τῆς οἰκείας αἱρέσεως οἰκοδεσπότην (τουτέστιν ἡμέρας μὲν τὸν τοῦ Ἡλίου ἢ τὸν τῆς συνόδου ἢ τὸν τοῦ ὡροσκόπου, νυκτὸς δὲ τὸν τῆς Σελήνης ἢ τῆς πανσελήνου ἢ τοῦ κλήρου τῆς τύχης), τότε σκοποῦμεν τίς αὐτῶν τὸν δυνατώτερον ἐπέχει τόπον καὶ πλείονας οἰκοδεσποτείας ἐπέχει λόγους κἀκείνῳ προσχρηστέον ἐπὶ τῶν τῆς ἀφέσεως λόγων. Ἄλλοι οὕτως ἐξηγήσαντο· ἐὰν δὲ συμβῇ καὶ τὰ φῶτα καὶ τὸν πρὸς τὴν αἵρεσιν οἰκοδεσπότην ἐν τοῖς τόποις εἶναι τοῖς ἀφετικοῖς, τὸν ἐν τῷ κυριωτέρῳ τόπῳ πως κατὰ τὴν τάξιν διαιρεῖσθαι, τότε δὲ μόνον τὸν οἰκοδεσπότην προκρίνειν ὅταν μετὰ τοῦ κυριωτέρῳ ἐπεῖναι τόπῳ καὶ πρὸς ἐκείνας τὰς αἱρέσεις οἰκοδεσποτείας λόγον ἔχῃ.

122 Τοῦ δὲ ἀφέτου διακριθέντος καὶ τῶν ἀφέσεων δύο τρόπους παραληπτέον, τόν τε εἰς τὰ ἑπόμενα μόνον τῶν ζῳδίων ὑπὸ τὴν καλουμένην ἀκτινοβολίαν, ὅταν ἐν τοῖς ἀπηλιωτικοῖς (τουτέστι τοῖς ἀπὸ τοῦ μεσουρανήματος ἐπὶ τὸν ὡροσκόπον τόποις) ᾖ ὁ ἀφέτης, καὶ τὸν οὐ μόνον εἰς τὰ ἑπόμενα, ἀλλὰ καὶ εἰς τὰ προηγούμενα κατὰ τὴν λεγομένην ὡριμαίαν ὅταν ἐν τοῖς ἀποκεκλικόσι τοῦ μεσουρανήματος τόποις ᾖ ὁ ἀφέτης. Τούτων δὲ οὕτως ἐχόντων ἀναιρετικαὶ γίνονται μοῖραι κατὰ μὲν 〈τὴν〉 εἰς τὰ προηγούμενα τῶν ζῳδίων ἄφεσιν ἡ τοῦ δυτικοῦ ὁρίζοντος μόνη διὰ τὸ ἀφανίζειν τὸν κύριον τῆς ζωῆς, αἱ δὲ τῶν οὕτως ὑπαντώντων ἢ μαρτυρούντων ἀστέρων ἀφαιροῦσι μόνον καὶ προστιθέασιν ἔτη τοῖς μέχρι τῆς καταδύσεως τοῦ ἀφέτου συναγομένοις καὶ οὐκ ἀναιροῦσι διὰ τὸ μὴ αὐτοὺς ἐπιφέρεσθαι τῷ ἀφετικῷ τόπῳ ἀλλ’ ἐκεῖνον τοῖς αὐτῶν, καὶ προστιθέασι μὲν οἱ ἀγαθοποιοί, ἀφαιροῦσι δὲ οἱ κακοποιοί, τοῦ Ἑρμοῦ πάλιν ὁποτέροις ἂν αὐτῶν σχηματισθῇ προστιθεμένου. ὁ δὲ ἀριθμὸς τῆς προσθέσεως ἢ ἀφαιρέσεως θεωρεῖται διὰ τῆς καθ’ ἕκαστον μοιροθεσίας· ὅσοι γὰρ ἂν ὦσι τῆς ἑκάστου μοίρας ὡριαῖοι χρόνοι ἐν τῷ οἰκείῳ κλίματι, ἡμέρας μὲν οὔσης οἱ τῆς ἡμέρας, νυκτὸς 〈δὲ〉 οἱ τῆς νυκτός (τουτέστιν οἱ διάμετροι), τοσοῦτον πλῆθος ἐτῶν ἔσται τὸ τέλειον ὅπερ ἐπὶ τῆς

ἀνατολῆς αὐτῶν ὄντων λογιστέον, εἶτα κατὰ τὸ ἀνάλογον τῆς ἀποχωρήσεως ὑφαιρετέον ἕως ἂν πρὸς τὰς δύσεις εἰς τὸ μηδὲν καταντήσῃ.

123 Τὸν ἀπὸ τοῦ μεσουρανήματος ζῳδίου τόπον ἕως τοῦ ὡροσκοποῦντος ὑπὸ τὴν ἀκτινοβολίαν καλεῖ καὶ ἑπόμενον, τὸν δὲ ἀπὸ τοῦ μεσουρανοῦντος 〈ἀποκλίματοσ〉 (τουτέστιν ἀπὸ τοῦ θʹ) ἕως τοῦ δύνοντος προηγούμενον τεταρ〈τημό〉ριον ὀνομάζει. ἐν τούτῳ τοίνυν τῷ τόπῳ ἐὰν εὑρεθῇ τις ἀφέτης, οὐ μόνον, φησίν, εἰς τὰ ἑπόμενα τὴν ἄφεσιν 〈περιποι〉εῖται, ἀλλὰ καὶ εἰς τὰ προηγούμενα, ἀνάπ〈αλιν δ’ ἐν ἐκείνῳ οὐκ εἰς τὰ〉 προηγούμενα τὴν ἄφεσιν ποιήσεται. ἐὰν δὲ ὁ ἀφέτης 〈ᾖ〉 ἐν ταῖς ἀποκεκλικυίαις μοίραις τοῦ μεσουρανήματος, καὶ ποιήσεται ὡς ἐπὶ τὴν δύνουσαν μοῖραν ἣν ἀναιρετικὴν καλεῖ· ἐπιφέρεσθαι γὰρ αὐτήν φησι καὶ ἀφανίζεσθαι τὸν ἀφέτην κύριον ὄντα τῆς ζωῆς ὥστε καὶ οὐκ αὐτοὶ ἐκεῖνον εἰ δὲ μεταξὺ τῆς τε ἀφετικῆς μοίρας καὶ τῆς δυνούσης ἐπιπαρόντες ἢ ἀκτῖνες ἢ ἀστέρες οὕτως ἀνελεῖν δύνανται φθοροποιοὶ ὄντες, 〈δι〉ασῶσαι ὡς ἀγαθοποιοί, ἀλλ’ οὗτοι μὲν προσθεῖναι, ἐκεῖνοι δὲ ἀφελεῖν ἀφ’ ὅλης τῆς τάξεως τῆς μεταξὺ τοῦ τε ἀφέτου καὶ τῆς δυνούσης μοίρας, τοσαῦτα δὲ ἔτη δύνασθαι ἀφελεῖν ἢ 〈δι〉δόναι ὅσους ἔχει ὡριαίους χρόνους προσγεγραμμένους τῇ ἑκάστου μοίρᾳ ἐφ’ ἧς ἐστιν ἐν τῷ οἰκείῳ κλίματι, ἡμέρας μὲν τοὺς τῇ 〈ἐκείνου〉 μοίρᾳ παρακειμένους, νυκτὸς δὲ τοὺς τῇ διαμέτρῳ. ἀλλὰ τούτους μὲν ἰσχύειν ὁλοκλήρους ὅταν ὦσιν ἐπὶ τοῦ ὡροσκόπου, ἀφεστῶτ〈ες δ’〉 ἀπ’ αὐτοῦ κατὰ τὴν ποσότητα τῶν καιρικῶν ὡρῶν τοῦ μεταξὺ διαστήματος τοσαῦτα δωδέκατα ἀφαιροῦσιν ἀπὸ τῶν ὡριαίων· οὕτω γὰρ καὶ ποιῶμεν ἕως τῆς δωδεκάτης ὥρας εἰς τὸ μηδὲν καταντησούσης, ὅθεν ὡριμαῖον ἀνεκάλεσεν τὴν τοιαύτην ἄφεσιν.

124 Οἷον ἔστω τινὰ ἔχειν τὸν ὡροσκόπον Κριοῦ μοίρᾳ ιʹ, τὸ δὲ δῦνον Ζυγοῦ μοίρᾳ ιʹ ἐν κλίματι τῷ δι’ Ἑλλησπόντου, ἀφέτην δ’ εἶναι 〈εὑρε〉θέντα Τοξότου μοίρᾳ ηʹ. ἀπὸ δὲ τῆς ηʹ μοίρας τοῦ Τοξότου ἕως Ζυγοῦ μοίρας 〈ιʹ〉 συνάγεται ἡ διάστασις ὅλη τῶν βιωσίμων ἐτῶν οε ἔγγιστα· εἰσαγαγὼν γὰρ εἰς τὸν κανόνα τῶν ἀναφορῶν τοῦ δι’ Ἑλλησπόντου κλίματος τὴν ηʹ μοῖραν τοῦ Τοξότου εὑρίσκω αὐτῇ παρακειμένους χρόνους σξς λεπτὰ λζ , τῇ δὲ τοῦ Ζυγοῦ μοίρᾳ ιʹ ρϙα καὶ λεπτὰ μ , καὶ ἀφελὼν τοῦ Ζυγοῦ τὰς ἐλάττονας ἀπὸ τῶν τοῦ Τοξότου λοιποὺς εὑρίσκω χρόνους οδ 〈λεπτὰ νζ 〉 ἀναφορικοὺς οὓς εἰς ἔτη οε ἔγγιστα παραλαμβάνω. Τούτου οὕτως εὑρεθέντος ἔστω Ἄρην εἶναι Κριοῦ μοίρᾳ ιʹ ὁμομοίρως τῇ ὡροσκοπούσῃ. ἔρχομαι εἰς τὸ αὐτὸ κλίμα καὶ εὑρίσκω παρακειμένους τῇ ιʹ μοίρᾳ τοῦ Κριοῦ ὡριαίους χρόνους ιε καὶ λεπτὰ ἑπτά· γίνονται ἔτη ιε μῆνες ζ . ἐπεὶ οὖν ὡροσκοπεῖ Ἄρης ἀφαιρεῖ ιε ἔτη καὶ μ〈ῆνασ〉 ζ ἀπὸ τῶν οε ἐτῶν, καὶ λοιπὰ καταλείπονται ἔτη νθ μ〈ῆνεσ〉 ε ἐάνπερ μὴ ἕτερός τις ἀφαιρῆται τῶν κακοποιῶν ἢ καὶ τῶν ἀγαθοποιῶν τις προστιθῇ. ἐὰν δὲ ὁ Ἄρης ἐπὶ τῆς ιʹ μοίρας τοῦ Ζυγοῦ 〈ᾖ〉 οὐδὲν ἀφαιρεῖ οὐδὲ προστίθησιν, εἰ δὲ εἴη ἐπὶ τῆς μεσουρανούσης μοίρας ἀφαιρεῖ δηλονότι τὸ ἥμισυ τῶν ιε ἐτῶν καὶ 〈 ζ 〉 μηνῶν (τουτέστιν ἔτη ζ καὶ μῆνας θ καὶ ἡμέρας ιε ), καὶ ἐπὶ 〈τῶν λοι〉π〈ῶν〉 διαστάσεων ἀπὸ τοῦ ἀνατολικοῦ σημείου κατὰ ἀνάλογον 〈τὰ ἔτη〉 ἀφαιρεῖν δεῖ ἕως ἂν ἀποχωρήσαντος τοῦ ἀστέρος ἢ τῆς ἀπ’ αὐ〈τοῦ ἀκ〉τῖνος τῇ δύσει εἰς τὸ μηδὲν καταντήσῃ· καὶ οἱ ἀγαθοποιοὶ 〈προσ〉θήσουσιν ὁμοίως.

125 Τὸ ἀνάλογον πρὸς τὰς ὥρας, πῶς δὲ τὰς ὥρας ἃς ἀφέξουσιν τοῦ ἀνατολικοῦ ὁρίζοντος γινώσκομεν οὕτω· τὰς μεταξὺ μοίρας τοῦ ἀστέρος ἢ τῆς ἀκτῖνος καὶ τοῦ ὡροσκόπου λαβόντες παραβάλλομεν, ἡμέρας μὲν παρὰ τοὺς ὡριαίους χρόνους τοὺς παρακειμένους τῇ τοῦ Ἡλίου μοίρᾳ τοῦ γενεθλίου, νυκτὸς δὲ παρὰ τοὺς 〈τῇ διαμετρούσ〉ῃ· ὅσαι ἂν ὧραι ἐκβῶσιν ἢ καὶ μέρη τοσαῦτα 〈γν〉ῶμεν ἀπέχειν τοῦ ἀνατολικοῦ ὁρίζοντος τὸν ἀστέρα ἢ τὴν ἀκτῖνα. ἐπὶ μὲν τοῦ καλουμένου θεοῦ ὄντος τοῦ ἀφέτου ὡς εἴπομεν, ἐὰν μὲν ἐπὶ τοῦ ὡροσκόπου εἰς τὰ προηγούμενα ποιοῦμεν τὴν ἄφεσιν, ἐὰν δὲ ἐπὶ τοῦ δύνοντος τυχὼν ὁ ἀφέτης ὅρα, φησὶν ὁ Παγχάριος, μὴ ἐὰν 〈οὕτω〉 ποιῶμεν (τουτέστιν εἰς τὰ προηγούμενα 〈ἀπὸ τῆσ〉 συνεγγιζούσης τῇ δυνούσῃ μοίρᾳ ἣν ἀναιρετικὴν καλεῖ) ἄχρονος ἔσται ὁ τῆς ζωῆς κύριος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦτο δὲ ἢ λαθεῖν Πτολεμαῖόν φησιν ἢ μὴ λαθόντα παραπέμ〈πειν〉 αὐτό, ὅθεν κρίνει ὅτι ἐὰν εὑρεθῇ ὁ ἀφέτης ἐπὶ τοῦ δυτικοῦ ὁρίζοντος εἰς τὰ ἑπόμενα τὴν ἄφεσιν αὐτοῦ ποιήσωμεν· οὕτω γὰρ καὶ τὸ προαναφωνηθὲν αὐτῷ συμφωνήσει περὶ τῆς ἀφέσεως τῆς οὐ μόνον εἰς τὰ ἑπόμενα, ἀλλὰ καὶ εἰς τὰ προηγούμενα. ἐπὶ μὲν γὰρ τῶν ε μοιρῶν τῶν πρὸ τῆς δυνούσης οὐδὲν ἀμφισβητήσει· δεῖ μόνον, φησίν, εἶναι ὅτι εἰς τὰ ἑπόμενα οἴσομεν τὸν ἀφέτην ἐπ' αὐτὴν τὴν δύνουσαν, ἀλλ' ὅμως εἰ αὕτη ἀναιρετικὴ εἴη ὀλιγοχρόνια ἔσται. εὕρομεν δὲ πολλάκις, φησίν, τῇ πείρᾳ καὶ ἐπὶ τούτων τῶν μοιρῶν καὶ ἐπὶ τῶν ἑξῆς τῇ δυνούσῃ μοίρᾳ δυνάμενον εἶναι ἀφέτην καὶ ὀλιγοχρονίας μὴ γεγονυίας τὰς γενέσεις. περὶ μὲν οὖν τοῦ κατὰ θεὸν ζῳδίου καὶ τοῦ δυτικοῦ ὁρίζοντος τῶν τε ἀπ' αὐτῶν ἀφέσεων τοσαῦτα εἰρήσθω. Μεταβὰς δὲ ὁ Πτολεμαῖος ἐπὶ τὸν ἕτερον τόπον τὸν ἀπὸ τοῦ μεσουρανήματος ἕως τοῦ ὡροσκόπου καὶ αὐ〈τὸσ〉 ταῦτά φησιν· κατὰ δὲ τὴν εἰς τὰ ἑπόμενα τῶν ζῳδίων ἄφεσιν ἀναιροῦσιν οἵ τε τῶν κακοποιῶν τόποι Κρόνου καὶ Ἄρεως ἤτοι σωματικῶς ὑπαντώντων ἢ ἀκτῖνα ἐπιφερόντων ὁθενδήποτε τετράγωνον ἢ διάμετρον, ἐνίοτε δὲ καὶ ἐπὶ τῶν ἀκουόντων ἢ βλεπόντων κατ' ἰσοδυναμίαν ἑξάγωνον, καὶ αὐτὸς ὁ τῷ ἀφετικῷ τόπῳ τετράγωνος ἀπὸ τῶν ἑπομένων, ἐνίοτε δὲ καὶ ἐπὶ τῶν πολυχρονούντων δωδεκατημορίων κακωθεὶς ὁ ἑξάγωνος, ἐπὶ δὲ τῶν ὀλιγοχρονούντων ὁ τρίγωνος.

126 Ἐπὶ δὲ τοῦ ἀφέτου τὴν ἄφεσιν ἀφιέντος ἐν τῷ ἑτέρῳ τόπῳ τῷ ἀπὸ τοῦ μεσουρανοῦντος ζῳδίου ἕως τοῦ ὡροσκοποῦντος παρατηρητέον, φησίν, τὰς ὑπαντήσεις τῶν κακοποιῶν Κρόνου καὶ Ἄρεως σωματικῶς ἐν τῷ αὐτῷ ζῳδίῳ ἢ καὶ ἐν τῷ ἑξῆς ἢ ἀκτῖνα ἐπιφερόντων τετράγωνον ἢ διάμετρον ὁθενδήποτε ἐν ταῖς ἑξῆς μέντοι ὁμοίως τοῦ ἀφέτου μοίραις· ὑποτίθεται γὰρ τὸν μὲν ἀφέτην ὡς ἀκίνητον, τὸν δὲ ἀναιρέτην ἐπὶ τὸν ἀφέτην παραγίνεσθαι καὶ οὕτως ἀναιρεῖν. Τὰ μὲν οὖν τετράγωνα σχήματα καὶ διάμετρα 〈ὡσ〉 ἀναιρετικὰ παρειλήφαμεν, τὰ δὲ τρίγωνα ὡς συμπαθῆ καὶ τὰ ἑξάγωνα δέ, ἀλλὰ ἀσθενέστερα, ὁμοίως. ἐνίοτε, φησίν, καὶ ἐκ τούτων ἀναίρεσις γίνεται οὐ μέντοι ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ὡς ἐπὶ τῶν ἀκουόντων καὶ βλεπόντων ζῳδίων κατ' ἰσοδυναμίαν ἑξάγωνον. ἀκούειν δὲ ἀλλήλων λέγονται τὰ ἀπὸ τῶν ἰσημερινῶν ζῳδίων κατ' ἴσον ἀλλήλων διεστῶτα. καὶ αὐτὰ τὰ δύο ἰσημερινὰ Θρασύλλῳ οὐ δοκεῖ ἀκούειν Κριὸν Ζυγοῦ ἢ Ζυγὸν Κριοῦ οὐδὲ βλέπειν ἄλληλα διὰ τὸ ἐπισκοπεῖν τὸ κύκλωμα τῆς γῆς (ὅπερ καὶ ἐπὶ τῶν λοιπῶν δύο τροπικῶν ζῳδίων) τὰ ἰσημερινά.

127 βλέποντα δὲ τὰ ἴσον ἀπέχοντα τῶν τροπικῶν καὶ αὐτὰ τὰ τροπικά, ἰσοδυναμοῦντα δὲ ἑξάγωνα ἐστὶν ὅταν ἐν β ζῳδίοις ἡ ἀπόστασις ἑξηκοντάμοιρος ᾖ. οἷον ὁ ἀφέτης ἔστω Ἰχθύων μοίρᾳ α', ὁ δὲ ἀναιρέτης Κριοῦ μοίρᾳ λ'· τοῦτο τὸ ἑξάγωνον ἀναιρετικὸν γίγνεται ὅτι κατ' ἴσον ἀφεστήκασι τοῦ ἰσημερινοῦ (τουτέστιν ἐν 〈τοῖσ〉 ἀκούουσι) καὶ ἑξηκοντάμοιρον ἔχει διάστασιν. ὁμοίως ἐπὶ τῶν βλεπόντων ἄλληλα ζῳδίων ἐὰν ᾖ ὁ ἀφέτης ἐν τῇ πρώτῃ μοίρᾳ τῶν Διδύμων, ὁ δὲ ἀναιρέτης ἐν τῇ λ' μοίρᾳ τοῦ Καρκίνου· καὶ οὕτω γὰρ τυγχάνον τὸ ἑξάγωνον σχῆμα ἀναιρεῖ. Καὶ πάλιν φησίν· ἐνίοτε ἐπὶ τῶν πολυχρονούντων ζῳδίων κακωθεὶς ὁ ἑξάγωνος (δηλονότι παρεκταθεὶς εἰς τὴν τετράγωνον πλευρὰν σύνεγγυς) καὶ ἀναιρεῖ, ἐπὶ δὲ τῶν ὀλιγοχρονούντων πάλιν κακωθεὶς ὁ τρίγωνος (τουτέστιν ὑπὸ τῶν ὀλιγαναφόρων ζῳδίων συσταλεὶς εἰς τὴν τετράγωνον ὁμοίως σ〈ύνεγγυσ〉 πλευράν) καὶ ἀναιρεῖ. τοῦτο δὲ τὸ λεχθὲν ὑπὸ Πτολεμαίου καὶ 〈περὶ〉 τῶν εἰρημένων μοιρῶν. Φησὶν ἐξ ἀρχῆς ὁ Παγχάριος περὶ τοῦ ἀκριβοῦς μεσουρανήματος· συνίσταται δι' οὗ καὶ ἐκεῖ ὑπῃνίξατο ὡς μὴ δεῖν τοῖς τρισὶ τόποις τοῖς περὶ τὸ μεσουράνημα τριακοντάμοιρον διάστασιν ἀεὶ διδόναι. ἀναιρετικοὶ δὲ τόποι διὰ μέσων τῶν ῥηθέντων, εἶπεν, καὶ αὐτὸς ὁ τῷ ἀφετικῷ τόπῳ τετράγωνος· τὴν γὰρ τετράγωνον πλευρὰν καὶ χωρὶς κακοποιοῦ ἀδύνατον ὑπερβαίνειν, ὃν καὶ ἄφευκτον ὡρίσαντο οἱ παλαιοί. Ἑξῆς δὲ ὁ Πτολεμαῖος γράφει. Σελήνης δὲ ἀφιείσης καὶ ὁ τοῦ Ἡλίου τόπος ἀναιρεῖ· ἰσχύουσι γὰρ κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν τοιαύτην ἄφεσιν αἱ ὑπαντήσεις καὶ ἀναιρεῖν καὶ σῴζειν ἐπειδὴ καὶ αὗται τῷ τοῦ ἀφέτου τόπῳ ἐπιφέρονται.

128 οὐ πάντοτε μέντοι τούτους τοὺς τόπους καὶ πάντως ἀναιρεῖν ἡγητέον, ἀλλὰ μόνον ὅταν ὦσι κεκακωμένοι· παραποδίζονται γὰρ ἐάν τε εἰς ἀγαθοποιοῦ ὅριον ἐκπέσωσιν, ἐάν τίς τε τῶν ἀγαθοποιῶν ἀκτῖνα ἐπιφέρῃ ἢ τετράγωνον ἢ τρίγωνον ἢ διάμετρον ἤτοι πρὸς αὐτὴν 〈τὴν〉 ἀναιρετικὴν μοῖραν ἢ εἰς τὰ ἑπόμενα αὐτῆς (ἐπὶ μὲν Διὸς μὴ ὑπὲρ τὰς ιβ μοίρας, ἐπὶ 〈δὲ〉 Ἀφροδίτης μὴ ὑπὲρ τὰς η ), ἐάν τε σωμάτων ὄντων ἀμφοτέρων τοῦ τε ἀφιέντος ἢ τοῦ ὑπαντῶντος μὴ τὸ αὐτὸ πλάτος ᾖ ἀμφοτέρων. ὅταν οὖν ᾖ πλείονα ἑκατέρωθεν τά τε βοηθοῦντα καὶ κατὰ τὸ ἐναντίον ἀναιροῦντα, σκεπτέον τὴν ἐπικράτησιν ὁποτέρου τῶν εἰδῶν κατά τε τὸ πλῆθος τῶν συλλαμβανομένων αὐτοῖς καὶ κατὰ τὴν δύναμιν, κατὰ μὲν τὸ πλῆθος ὅταν αἰσθητῶς πλείονα ᾖ τὰ ἕτερα τῶν ἑτέρων, κατὰ δὲ δύναμιν ὅταν τῶν βοηθούντων ἢ ἀναιρούντων ἀστέρων οἱ μὲν ἐν οἰκείοις τόποις ὦσιν, οἱ δὲ μή, μάλιστα δ’ ὅταν ὦσιν οἱ μὲν ἀνατολικοί, οἱ δὲ δυτικοί. καθόλου γὰρ τῶν ὑπὸ τὰς αὐγὰς ὄντων οὐδένα προσληπτέον οὔτε πρὸς ἀναίρεσιν οὔτε πρὸς βοήθειαν πλὴν ἢ μὴ Σελήνης ἀφέτιδος οὔσης αὐτὸς ὁ τοῦ Ἡλίου τόπος ἀνέλῃ συντετραμμένος μὲν ὑπὸ τοῦ συνόντος κακοποιοῦ, διὰ μηδενὸς τῶν ἀγαθοποιῶν ἀναλελυμένος. Σελήνης δὲ ἀφιείσης, φησίν, καὶ ὁ ἡλιακὸς τόπος ἀνελεῖν δύναται μάλιστα ἐὰν συντραπῇ ὑπό τινος φθοροποιοῦ συνόντος, ὑπὸ μηδενὸς δὲ ἀναλυθῇ ἀγαθοποιοῦ, καὶ πάλιν σῴζειν δύναται τὸ ἐναντίον ἔχων. ἐπάγει δὲ καὶ ἐπὶ πάντων τὴν αὐτὴν αἰτίαν παρα〈τηρεῖ〉σθαι τῆς φθοροποιοῦ δυνάμεως ἐὰν εἰς ὅρια ἐκπέσωσιν ἀγαθοποιοῦ ἢ ἐὰν τῶν ἀγαθοποιῶν τις ἀκτῖνα συνεπιφέρηται τετράγωνον ἢ τρίγωνον ἢ διάμετρον ἤτοι ἰσομοίρως πρὸς αὐτὴν τὴν ἀναιρετικὴν μοῖραν ἢ εἰς τὰ ἑπόμενα αὐτῆς (ἐπὶ μὲν Διὸς μὴ ὑπὲρ τὰς ιβ μοίρας, ἐπὶ δὲ Ἀφροδίτης μὴ ὑπὲρ τὰς η μοίρας)· εἰ μέντοι κατὰ 〈σῶμα〉 γίνοιτο ἡ ἀναίρεσις δεῖ σκοπεῖν 〈εἰ〉 εἰς τὸ αὐτὸ πλάτος (κατὰ τὸν αὐτὸν ἄνεμον) τρέχουσιν ὅ τε ἀναιρέτης καὶ ὁ ἀφέτης· ἐὰν γὰρ ὦσιν οὕτως ἀναίρεσις γίνεται.

129 αὐτοὺς δὲ τοὺς ὑπὸ τὰς αὐγὰς ἀστέρας ἀδρανεῖς εἶναι πρὸς τὸ ἀναιρεῖν ἢ σῴζειν. ἐπιλέγει δὲ ὡς δεήσει τά τε βοηθοῦντα καὶ τὰ βλάπτοντα συγκρίνειν ὁποῖα ἐπικρατεῖ ἔκ τε τοῦ πλήθους καὶ τῆς δυνάμεως ἑκατέρων πρὸς ἐπί〈τα〉σιν ἢ ἄνεσιν τῶν ἑκατέρων. Ταῦτα παραγγείλας διαβαίνει εἰς τὸν περὶ διαστάσεων λόγον, τουτέστι τοὺς βιωσίμους χρόνους ὅπως χρὴ λογίζεσθαι διδάσκων καὶ αἰτιώμενος ἅμα τοὺς πρὸ αὐτοῦ οὐκ εὐλόγως τοῖς ἀναφορικοῖς χρόνοις χρωμένους μόνοις, ἀλλὰ τότε μόνοις φησὶ δεῖν χρῆσθαι ὅταν ἡ ἄφεσις ἀπὸ τοῦ ὡροσκόπου γίνηται ἤ τινος τῶν ἐπ’ αὐτοῦ ἐπόντων ἀστέρων, ἐπὶ μὲν τοῦ μεσουρανήματος τοῦ ἀφέτου ὄντος ταῖς 〈συμ〉μεσουρανήσεσι ταῖς ἐπὶ τῆς ὀρθῆς σφαίρας δεῖν χρῆσθαι, ἐπὶ δὲ τοῦ δυτικοῦ ὁρίζοντος ταῖς καταφοραῖς (τουτέστι ταῖς τῶν διαμέτρων ἀναφοραῖς), ἐπὶ δὲ τῶν μεταξὺ τούτων ὄντος τοῦ ἀφέτου ἀναλόγως τῇ πρὸς τὰ β τὰ περιέχοντα αὐτὸν κέντρα θέσει. ὡς μὲν συντόμως εἰπεῖν τοῦτο βούλεται ἐπειδὴ αἰτίαν τῆς ἀνισότητος τῆς τοιαύτης διελεύσεως τῶν χρόνων ἀποδίδωσι διδασκαλικῶς αὐτὴν προσάγων καὶ γραμμικῶς. Φέρε καὶ ἡμεῖς προσθήσωμεν τῷ μέρει τούτῳ. οἱ ἰσημερινοὶ χρόνοι, φησίν, ὁμαλῶς διέρχονται καὶ τὸν ὁρίζοντα καὶ τὸν μεσημβρινὸν ἐπὶ τῆς ὀρθῆς σφαίρας· ἀνατέλλει τε γὰρ καὶ δύνει τὰ ζῴδια τῶν αὐτῶν χρόνων ὅσων καὶ μεσουρανεῖ πανταχόθεν, καὶ διὰ τοῦτο χρησίμους ἡγεῖται εἶναι πρὸς τὸ προκείμενον.

130 ἐπειδὴ οὐδὲν δ’ ἕτερον πρόκειται νυνὶ ἰδεῖν μετὰ πόσους ἰσημερινοὺς χρόνους ἡ δοκοῦσα ἀναιρετικὴ μοῖρα παραγίνεται ἐπὶ τὸν τοῦ ἀφέτου τόπον καὶ ἐπειδὴ οὐκ ἐν πᾶσι δὴ τοῖς κλίμασιν ὁμαλῶς οἱ χρόνοι διέρχονται ὡς ἐπὶ τῆς ὀρθῆς σφαίρας (ἄλλοι μὲν γὰρ οἱ τῆς ἀνατολῆς, ἄλλοι τῆς μεσουρανήσεως, καὶ ἕτεροι τῆς καταδύσεως, ὧν τὴν παραλλαγὴν εὑρεῖν ἐν τοῖς ἀναφορικοῖς κανόσιν), διὰ τοῦτο ἐὰν εὑρεθῇ ἀφέτης μεταξὺ τῶν κέντρων δεῖ γνῶναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἐνταῦθα μετὰ πόσους ἰσημερινοὺς χρόνους ἐπὶ τὴν τοιαύτην ἥξει θέσιν ἡ ἀναιρετικὴ μοῖρα. ἀνάγκη γὰρ παραλλαγήν τινα τῶν χ〈ρόνων〉 εἶναι τῆς διελεύσεως παρὰ τοὺς ἐν τοῖς κέντροις. Πῶς δὲ ἡ διαφορὰ καὶ 〈τί〉να τρόπον δηλοῖ διὰ τούτων. ὅμοιος μὲν γὰρ καὶ ὁ αὐ〈τὸς〉 τόπος ἐστὶν ὁ τὴν ὁμοίαν καὶ ἐπὶ τὰ αὐτὰ μέρη διάθεσιν ἔ〈χων〉 ἅμα πρός τε τὸν ὁρίζοντα καὶ τὸν μεσημβρινόν· το〈ῦτο〉 δὲ ἔγγιστα συμβέβηκε τοῖς ἐφ' ἑνὸς κειμένοις ἡμικυκ〈λίου〉 τῶν γραφομένων διὰ τῶν τομῶν τοῦ μεσημβρινοῦ καὶ τοῦ ὁρίζοντος ὧν ἕκαστον κατὰ τὴν αὐτὴν θέσιν τὴν ἴσην ἔγγιστα καιρικὴν ὥραν ποιεῖ. ὥσπερ δ' ἂν περιάγηται περὶ τὰς εἰρημένας τομὰς ἔρχεται μὲν παρὰ τὴν αὐτὴν θέσιν καὶ τῷ ὁρίζοντι καὶ τῷ μεσημβρινῷ, τοὺς 〈δὲ〉 τῆς ἐλεύσεως τοῦ ζῳδιακοῦ χρόνους ἀνίσους ἐφ' ἑκατέρου ποιεῖ, τὸν αὐτὸν τρόπον καὶ κατὰ τὰς τῶν ἄλλων ἀποστάσ〈εων〉 θέσεις δι' ἀνίσων ἐκείνοις χρόνων τὰς παρόδους ἀπεργάζεται.

131 Πάλιν ὁ Παγχάριος ἐξηγεῖται τὸν τόπον τοῦτον οὕτως. ὥσπερ οὖν εἴπομεν, φησίν, ἐπὶ τῆς λοξώσεως τοῦ ζῳδιακοῦ πρὸς τὸν ἰσημερινὸν ὅμοιός ἐστι καὶ ὁ αὐτὸς ὁ τὴν ὁμοίαν καὶ ἐπὶ τὰ αὐτὰ μέρη θέσιν ἔχων ἅμα πρός τε τὸν ὁρίζοντα καὶ τὸν μεσημβρινόν· κἂν μεταξὺ γὰρ ᾖ τῶν κέντρων ἡ τοῦ ἀφέτου μοῖρα ἐπὶ τοῦ ζῳδιακοῦ τὴν αὐτὴν καὶ ἐπὶ τὰ αὐτὰ μέρη θέσιν ἔχῃ, εἰ πρὸς τὰ βορειότερα τοῦ ἰσημερινοῦ ἢ νοτιώτερα 〈πρ〉οσείῃ ἡ λόξωσις, καὶ ὁμοίαν ἐπὶ τοῦ μεσημβρινοῦ καὶ ὁρίζοντος ἕξει θέσιν. συμβαίν〈ει〉 δέ, φησίν· ἐὰν ἡμικύκλιον ποιήσαντες ἀπὸ τῶν τομῶν τοῦ τε ὁρίζοντος καὶ τοῦ μεσημβρινοῦ (αὗται δὲ αἱ τομαί εἰσι τό τε ἔξαρμα τὸ τῆς σφαίρας καὶ τὸ διάμετρον αὐτῆς) καὶ περιστρέφοντες διαγάγωμεν διὰ τῆς μοίρας τοῦ ζῳδιακοῦ ταύτης, 〈ζητῶμεν δὲ τὸ〉 τὴν μὲν διάστασιν τὴν αὐτὴν ἀπὸ τοῦ μεσημβρινοῦ συν〈απέχον σημεῖον〉 ἕτερον τοῦ ζῳδιακοῦ, ἕως τοῦ εἰρημένου ἡμικυκλίου περιενεχθείσης τῆς σφαίρας 〈τὰς αὐτὰς〉 ἔγγιστα καιρικὰς ὥρας ποιεῖ 〈ταῖς〉 τῆς ἐξ ἀρ〈χῆς〉 θ〈έσεως〉 ἀπὸ τοῦ μεσημβρινοῦ. ὥσπερ δέ, φησίν, τῆς στροφῆς γινομένης ἡ αὐτὴ θέσις ἦν (ὥσπερ εἴπομεν) ἐπὶ τῶν κέντρων (τουτέστιν ἐπὶ τοῦ μεσημβρινοῦ καὶ τοῦ ὁρίζοντος), αἱ δὲ τοῦ ζῳδιακοῦ διελεύσεις ἄνισοι ἐφ' ἑκατέρου εἰσίν, οὕτω κἂν μεταξὺ τούτων (τουτέστι τοῦ τε ὁρίζοντος καὶ τοῦ μεσημβρινοῦ) 〈ᾖ〉 ἡ θέσις, δι' ἀνίσων ἐκείνοις χρόνων αἱ διελεύσεις ἔσονται. Τὴν αἰτίαν οὖν ταύτην εἰπὼν τῇ μεθόδῳ χρῆται. λαβὼν γάρ, φησίν, τὴν μεσουρανοῦσαν μοῖραν καὶ τὴν τοῦ ἀφέτου (ἣν προηγουμένην καλεῖ) καὶ τὴν ἀναιρετικὴν μοῖραν (ἣν ἑπομένην καλεῖ) σκόπει τὴν τῆς προηγουμένης θέσιν πόσας καιρικὰς ὥρας ἀπέχει τοῦ μεσημβρινοῦ.

132 γίγνεται δὲ τοῦτο οὕτως (δεήσει γὰρ σαφέστερον ἐκθέσθαι τὴν μέθοδον ἐπειδὴ καὶ ἐπὶ πάσης ἐκθέσεως κέχρηται ταύτῃ ὡς ἀκριβεστάτῃ). ὅσας οὖν ὥρας ἀπέχει τοῦ μεσημβρινοῦ ποιοῦμεν οὕτως. ὁρῶμεν ἐπὶ τῆς ὀρθῆς σφαίρας πόσαι ἀναφορῶν μοῖραι παράκεινται αὐτῷ τῷ μεσουρανήματι καὶ πόσαι τῷ ἀφέτῃ, καὶ ἀφελόντες ἀπὸ τῶν πλειόνων τὰς ἐλάττονας τὰς λοιπὰς μερίζομεν παρὰ τὸ ὡριαῖον μέγεθος τὸ παρακείμενον τῇ τοῦ ἀφέτου μοίρᾳ ἐν τῷ οἰκείῳ κλίματι εἰ ὑπὲρ γῆν εἴη, εἰ δὲ ὑπὸ γῆν (τουτέστιν ἐν ταῖς περὶ τὸν ὁρίζοντα) τὸ τῇ διαμέτρῳ αὐτῇ παρακείμενον, καὶ τὰς ἐκ τούτου μεμερισμένας ὥρας ἢ καὶ μέρος ἔχομεν ἃς ἀπέχει ὁ ἀφέτης τοῦ μεσουρανήματος. ἔπειτα τὸν ἑπόμενον τόπον ὁρῶμεν ποίαν καὶ αὐτὸς θέσιν ἔχει πρὸς τὸ μεσουράνημα, ἰδόντες πάλιν καὶ αὐτῷ τί παράκειται ἐπὶ τῆς ὀρθῆς σφαίρας καὶ συγκρίναντες πρὸς ἃς ἔχομεν τοῦ μεσουρανήματος, τουτέστιν ἀφελόντες τὰς ἐλάττονας ἀπὸ τῶν πλειόνων. ἔχοντες οὖν τὰς ὑπολοίπους τῆς θέσεως αὐτοῦ, πάλιν δὲ ἰδόντες ἐν τῷ οἰκείῳ κλίματι 〈τί〉 παράκειται αὐτοῦ τοῦ ἀναιρέτου (ἑπομένου) τῇ μοίρᾳ ἐὰν ὑπὲρ γῆν ᾖ ὁ ἑπόμενος, εἰ δὲ ὑπὸ γῆν τῇ διαμέτρῳ, καὶ ἐπὶ τοῦτο τὸ ὡριαῖον πολλαπλασιάσαντες τὰς ὥρας ἃς ἀπεῖχε τοῦ μεσουρανήματος ὁ ἀφέτης (ὁ προηγούμενος), τὸν 〈δὲ〉 γενόμενον ἀριθμὸν συγκρινόμενοι πρὸς ὃν ἔχομεν τῆς θέσεως τοῦ ἑπομένου (τουτέστιν ἀφαιροῦμεν τὰς ἐλάττονας

ἀπὸ τῶν πλειόνων) καὶ τοὺς λοιποὺς ἕξομεν χρόνους μεθ' οὓς φήσομεν τὸν ἑπόμενον τόπον ἥξειν ἐπὶ τὸν τοῦ προηγουμένου, οἵπερ χρόνοι ἰσαρίθμους ἐνιαυτοὺς ποιοῦσιν. ἡ μὲν δὴ μέθοδος αὕτη καθολική τέ ἐστι καὶ ἀκριβεστέρα· ἐπὶ πάσης γὰρ θέσεως ὄντος τοῦ ἀφέτου τὸ ἀκριβὲς εὑρίσκει.

133 Ἐφοδεύεται δὲ τῷ Πτολεμαίῳ ἀπὸ τῆς προειρημένης αἰτίας· ἀναστρέψας γὰρ αὐτήν φησιν· ἐπειδὴ τὰς αὐτὰς καιρικὰς ὥρας ἀπέχοντα τὰ τοῦ μεσημβρινοῦ τμήματα τοῦ ζῳδιακοῦ καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ γίγνεται τῶν προειρημένων ἡμικυκλίων, δεήσει λαβεῖν μετὰ πόσους ἰσημερινοὺς χρόνους καὶ τὸ ἑπόμενον τμῆμα τὰς ἴσας καιρικὰς ὥρας ἀφέξει τοῦ μεσημβρινοῦ τῇ προηγουμένῃ. ταῦτα μὲν εἰληφότες ἐπισκεψόμεθα πόσους κατὰ τὴν ἐξ ἀρχῆς θέσιν ἀπέχει ἰσημερινοὺς χρόνους καὶ ἡ ἑπομένη μοῖρα τῆς κατὰ τὸ αὐτὸ μεσουράνημα διὰ τῶν ἀναφορῶν πάλιν τῆς ὀρθῆς σφαίρας. πόσας ποτὲ τὰς καιρικὰς ὥρας ἐποίει τῇ προηγουμένῃ πολυπλασιάσαντες καὶ ταύτας ἐπὶ τὸ πλῆθος 〈τῶν〉 τῆς ἑπομένης μοίρας ὡριαίων χρόνων (εἰ μὲν πρὸς τὸ ὑπὲρ γῆν εἴη μεσουράνημα πάλιν ἡ σύγκρισις τῶν καιρικῶν ὡρῶν τῶν ἡμερινῶν, εἰ δὲ πρὸς τὸ ὑπὸ γῆν τῶν τῆς νυκτός) καὶ τοὺς γιγνομένους ἐκ τῆς ὑπεροχῆς ἀμφοτέρων τῶν διαστάσεων λαβόντες ἕχομεν τὸ τῶν ἐπιζητουμένων ἐτῶν πλῆθος. Ἐν τούτοις, ὡς ἔφην, ἀναστρέψας φαίνεται τὸν λόγον ἵνα τὴν θέσιν τὴν αὐτὴν τῷ ἑπομένῳ παρασχῇ ἣν εἶχεν ὁ ἀφέτης, τὰς ἴσας αὐτῶν καιρικὰς ὥρας ἃς ἀπεῖχε τοῦ μεσουρανήματος ὁ προηγούμενος ἔκ τε τῶν ὑπολειπομένων τόπων χρόνων πλῆθος εὑρίσκων. Ἵνα δὲ φανερώτερον, φησίν, γένηται τὸ λεγόμενον ὑποκείσθω ὑπόδειγμα. καὶ ὑποτίθεται τὸν μὲν ἀφέτην εἶναι ἐπὶ τῆς τοῦ Κριοῦ ἀρχῆς, τὸν δὲ ἑπόμενον ἐπὶ τῆς τῶν Διδύμων, κλίμα δὲ τὸ διὰ τῆς κάτω Αἰγύπτου. διαφόροις δὲ ταῖς θέσεσι χρῆται.

134 πρῶτον μὲν ὡς ὡροσκοποῦντος τοῦ ἀφέτου, καὶ ἐπειδὴ οὗτος ἓξ ὥρας ἀπέχει μεσουρανήματος (ὡροσκόπος ἀπέχει γὰρ μοίρας ϙ τῆς κατὰ κορυφήν, ὡριαίων 〈δὲ〉 χρόνων μέγεθος ἔχει μοίρας ιε παρ' ἃς μερισθεῖσαι αἱ ϙ ποιοῦσιν ὥρας ϛ ), λαμβάνει δὲ καὶ τοὺς ἐν τῇ ἑπομένῃ (τουτέστι τῇ τῶν Διδύμων ἀρχῇ) ὡριαίους χρόνους ἐν τῷ αὐτῷ κλίματι οἵ εἰσιν ἔγγιστα ιζ καὶ πολλαπλασιάζει τὰς ιζ ἐπὶ τὰς ἓξ ὥρας, καὶ γίνονται χρόνοι ρβ . πάλιν οὖν δεῖ λαμβάνειν αὐτῆς τῆς ἑπομένης (τῶν Διδύμων ἀρχῆς) τὴν θέσιν τὴν ἐξ ἀρχῆς πρὸς τὸ μεσουράνημα (τουτέστι πρὸς τὴν ἀρχὴν τοῦ Αἰγοκέρωτος), καὶ εὑρὼν ἐν τῇ ὀρθῇ σφαίρᾳ τὴν πρώτην τῶν Διδύμων οὖσαν ἐν χρόνοις ρμη καὶ ἀφελὼν τοὺς ρβ τῶν ϛ ὡρῶν λοιποὺς ἔσχε μϛ τῆς διαστάσεως οἵπερ ἐκ τῶν ἀναφορῶν τοῦ Κριοῦ καὶ Ταύρου συνάγονται ἐν τῷ γ' κλίματι. μετὰ ταῦτα ὑποτίθεται τὸν ἀφέτην πάλιν μεσουρανεῖν· ἐνταῦθα ἐπειδὴ μεσουρανούσης μοίρας ἐστὶν μόνον τῇ θέσει τοῦ ἑπομένου χρῆται ἐπὶ τῆς ὀρθῆς σφαίρας, ἀπέχει δὲ ἡ ἀρχὴ τῶν Διδύμων τῆς τοῦ Κριοῦ νη . ἐκ τρίτου ὑποτίθεται τὸν ἀφέτην δύνειν ἀπέχοντα τῆς μεσουρανούσης μοίρας ὥρας ϛ . ἐπὶ ταύτας πάλιν πολλαπλασιάζει τοὺς τοῦ ἑπομένου χρόνους ιζ , καὶ γίνεται ρβ . ἐπειδὴ οὖν μεσουρανεῖ νῦν ἐπὶ ταύτης τῆς διαθέσεως ἡ ἀρχὴ τοῦ Καρκίνου, ἡ δὲ τῶν Διδύμων ἀρχὴ εἰς τὰ προηγούμενά ἐστι τοῦ Καρκίνου χρόνοις λβ , διὰ τοῦτο ἀφελὼν τούτους ἀπὸ τῶν ρβ , λοιποὶ χρόνοι ο . ὁ δὲ αὐτὸς ἀριθμὸς εὑρίσκεται ἐπὶ τῶν καταδύσεων Κριοῦ καὶ Ταύρου, τουτέστιν ὅσων χρόνων τὰ διάμετρα αἵ τε Χηλαὶ καὶ ὁ Σκορπίος ἀναφέρονται. μετὰ δὲ 〈τὴν〉 τῶν γ κέντρων διαφορὰν ὑποτίθεται τὸν ἀφέτην μεταξὺ ὄντα τοῦ μεσημβρινοῦ καὶ τοῦ δυτικοῦ ὁρίζοντος καὶ ἐκτίθεται μεσουρανεῖν Ταύρου μοῖραν ιη'. ἐπεὶ τοίνυν ἡ τοῦ Κριοῦ ἀρχὴ ἔχει μὲν ὡριαίους χρόνους ιε , τῆς δὲ τοῦ Ταύρου μοίρας ιη' ἀπέχει χρόνους ἐπὶ τῆς ὀρθῆς σφαίρας ἔγγιστα με , μερίσας αὐτοὺς παρὰ τὸν ιε εὑρίσκει ἀπέχοντα τὸν ἀφέτην τοῦ μεσουρανήματος καιρικὰς ὥρας γ .

135 〈καὶ ταύτας πολυ〉 πλασιάσαντες ἐπὶ τὸ ὡριαῖον τοῦ ἑπομένου μέγεθος (τουτέστιν ἐπὶ τὸν ιζ ), γίνεται να . ἀπέχει δὲ καὶ ἡ ἀρχὴ τῶν Διδύμων εἰς τὰ ἑπόμενα τοῦ μεσουρανήματος

χρόνους ιγ οἷς συλλαμβάνω τοὺς να , καὶ γίνεται ξδ ἔγγιστα. Τούτῳ μέντοι τῷ ὑποδείγματι φαίνεται 〈οὐκ〉 ἀκολούθως τοῖς προειρημένοις αὐτὸς κεχρημένος· ἐχρῆν γὰρ ἐπειδὴ ἐν τῷ θʹ ὑπέθετο τὸν ἀφέτην ζητεῖν πότε εἰς τὴν δύνουσαν ἥξει ἣν ἀναιρετικὴν καλεῖ, ὁ δὲ ἐζήτησε πότε ὁ ἑπόμενος τόπος ἥξει εἰς τὸν ἀφέτην, τουτέστιν ἡ ἀρχὴ τῶν Διδύμων ἐπὶ τὴν ἀρχὴν τοῦ Κριοῦ. Ἄλλην δὲ μέθοδον ἁπλουστέραν φησὶν ὅτι ἐὰν εὑρεθῇ ὁ ἀφέτης μεταξὺ τῶν κέντρων (φέρε εἰπεῖν τοῦ μεσουρανήματος καὶ τοῦ δύνοντος) χρὴ τὰς μεσουρανήσεις καὶ τὰς συγκαταδύσεις λαβεῖν ὡς ἐπὶ τῶν προκειμένων μεσουρανήσεων νη , συγκαταδύσεων ο . ἔπειτα μαθόντες ὡς πρόκειται πόσας καιρικὰς ὥρας ἀπέχει ὁ ἀφέτης τοῦ ὁποτέρου τῶν κέντρων, ὅσον ἂν ὦσι μέρος αὗται τῶν τοῦ τεταρτημορίου καιρικῶν ὡρῶν ς , τοσοῦτον μέρος τῆς ἀμφοτέρων τῶν συναγωγῶν ὑπεροχῆς προσθήσομεν ἢ ἀφελοῦμεν τῷ συγκρινομένῳ κέντρῳ. οἷον ἐπεὶ τῶν προκειμένων ἡ ὑπεροχὴ χρόνων ἐστὶ ιβ , ὑπέκειτο δὲ ὁ ἀφέτης ἀπέχειν τὰς τρεῖς ὥρας ἑκατέρου κέντρου αἵ εἰσιν ἥμισυ τῶν ς , καὶ τὸ ἥμισυ ἄρα τῶν ιβ ἤτοι τοῖς νη προσθῶμεν ἢ ἀπὸ τῶν ο ἀφελοῦμεν, καὶ ἔσονται χρόνοι ξδ . εἰ δέ γε δύο ὥρας ἀπεῖχεν ὁ ἀφέτης ὁποτέρου τῶν κέντρων αἵ εἰσι τῶν ς ὡρῶν γʹ μέρος, τὸ γʹ πάλιν τῆς ὑπεροχῆς τῶν ιβ (τουτέστι δ ) εἰ μὲν ἡ τῶν β ὡρῶν ἀποχὴ ἀπὸ τοῦ μεσουρανήματος ὑπέκειτο προσεθήκαμεν 〈ἂν〉 τοῖς νη χρόνοις, εἰ δὲ ἀπὸ τοῦ δύνοντος ἀφείλομεν ἂν ἀπὸ τῶν ο .

136 Τὰς μὲν οὖν μεθόδους τῶν βιωσίμων χρόνων τοιαύτας ἐκτίθεται ὁ Πτολεμαῖος. ἐπιλέγει δὲ λοιπὸν ἐπὶ πᾶσιν ὡς δεήσει διακριβεύειν τὰς οὕτω τῶν ἐνιαυτῶν εὑρισκομένας διαθέσεις ἢ ὡς τέλεον ἀναιρετικάς, ὅταν πρὸς τῷ κεκακῶσθαι τὴν ὑπάντησιν καὶ αἱ ἐπεμβάσεις αὐτῶν βλαπτικαὶ πρὸς αὐτοὺς τοὺς τόπους εὑρίσκωνται, ἢ μόνον κλιμακτηρικάς, ὅταν τις, ὡς προείρηται, παρὰ τῶν ἀγαθοποιῶν ἐπὶ τῆς γενέσεως βοήθεια ᾖ κατὰ τὸν χρόνον τῆς ὑπαντήσεως (ἡ ἐπέμβασις γὰρ αὐτῶν ἐπικουρ〈εῖ〉 ἰσχύουσα μᾶλλον τῶν ἐναντίων), φιλανθρωπούντων δὲ πάντ〈ων〉 νωθρείας ἢ βλάβας μόνον ὑπονοητέον. οὐδὲν μέντοι ἔφη 〈κ〉ωλύειν διασταζομένης τῆς ἀφέσεως τῆς ἐκ τούτων π〈ρο〉συμβάντων ἐφαρμόζουσι μᾶλλον καὶ πρὸς τὰ μέλλοντα πιστεύειν ἢ κατ' ἰσότητα εὑρισκομένων πρὸς ἅπαντα παρατηρ〈ητ〉ικ〈ῶσ〉 ἔχειν καὶ τὴν ἐπίτασιν καὶ ἄνεσιν ὡς προείρηται διακρίνοντ〈ασ〉. Διὰ δὴ τούτων πάντων τὸ δύσκολον εἰς πρόγνωσιν τῆς συντελείας τῶν βιωσίμων χρόνων τούτων ὑπονοεῖν δίδωσ〈ιν〉 ὁ Πτολεμαῖος· πολλαὶ γὰρ ἀμφίβολοι προσθῆκαι. καὶ συ〈μ〉περανθέντος μὲν τοῦ βίου ῥᾴδιον εὑρεῖν τὰς ἐναντίας διαθήκας ἐστίν, ζῶντος δὲ χαλεπόν, καὶ μάλιστα ὅταν τις ἄσκεπτος ὢν τύχῃ τῶν κατὰ τὴν ἔκβασιν τῶν ἐτῶν ἐπεμβάσεων τῶν λοιπῶν ἀστέρων. ἐφ' ὧν μέντοι γενέσεων ἀναμφίβολος ὁ ἀφέτης καὶ ἀναιρέτης μετὰ τοῦ γνωσθῆναι καὶ τὰς κατὰ τὴν ἐτῶν ἔκβασιν ἐπεμβάσεις καὶ θέσεις τῶν ἀστέρων, ἔστιν, οἶμαι, εὐχερῶς ἀποφαίνεσθαι περὶ βίου συντελείας.

137 καὶ Μανέθων δὲ σχεδὸν ταῦτα εἶπεν ἐν τοῖς ἔπεσι περὶ χρόνων ζωῆς. 〈ιβʹ〉 Περὶ μορφῆς καὶ κράσεως σωματικῆς Ἤδη μὲν ἐν τῷ περὶ ὡροσκόπου σκέμματι ἐμνήσθημεν ποσῶς τῆς μορφωτικῆς ἰδέας ἑκάστου τῶν τικτομένων ἀνθρώπων, καὶ ἐνταῦθα δὲ μετὰ τοῦτο ἐπισυνάπτομεν καὶ τὰ μηνυτικὰ τῶν σωματικῶν κράσεων. ἐπειδὴ καὶ τὰ τοῦ σώματος τῶν τῆς ψυχῆς προτιμοῦνται κατὰ φύσιν, ὥς φησι Πτολεμαῖος, τοῦ μὲν σώματος διὰ τοῦ ὑλικωτέρου συγγενομένας ἔχοντος 〈σχεδὸν τὰς τῶν ἰδιοσυγκρασιῶν φαντασίας, τῆς δὲ ψυχῆς μετὰ ταῦτα καὶ κατὰ μικρὸν τὰς ἀπὸ τῆς πρώτης αἰτίας ἐπιτηδειότητας ἀναδεικνυούσης, τῶν δ' ἐκτὸς ἔτι μᾶλλον ὕστερον κατὰ τὸν ἐφεξῆς χρόνον ἐπισυμπιπτόντων. παρατηρητέον οὖν καθόλου μὲν τὸν ἀνατολικὸν ὁρίζοντα καὶ τοὺς ἐπόντας ἢ τοὺς τὴν οἰκοδεσποτείαν αὐτοῦ λαμβάνοντας τῶν πλανωμένων καθ' ὃν εἰρήκαμεν τρόπον, ἐπὶ μέρους δὲ καὶ τὴν Σελήνην ὡσαύτως· διὰ γὰρ τῆς τῶν τόπων τούτων ἀμφοτέρων καὶ τῆς τῶν οἰκοδεσποτησάντων διαμορφωτικῆς φύσεως καὶ τῆς καθ' ἑκάτερον εἶδος συγκράσεως καὶ ἔτι τῆς τῶν συνανατελλόντων αὐτοῖς ἀπλανῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀστέρων σχηματογραφίας τὰ περὶ τὰς διατυπώσεις τῶν σωμάτων θεωρεῖται πρωτευόντων μὲν τῇ δυνάμει τῶν τὴν οἰκοδεσποτείαν ἐχόντων ἀστέρων, ἐπισυνεργούσης δὲ καὶ τῆς τῶν τόπων αὐτῶν ἰδιοτροπίας. τὸ μέντοι καθ' ἕκαστον καὶ ὡς ἄν τις ἁπλῶς οὕτως ἀποδοίη τοῦτον ἔχει τὸν τρόπον. Πρῶτον γὰρ ἐπὶ τῶν ἀστέρων ὁ μὲν τοῦ Κρόνου ἀνατολικὸς ὢν τῇ μὲν μορφῇ μελιχρόας ποιεῖ καὶ εὐεκτικοὺς καὶ μελανότριχας καὶ οὐλοκεφάλους καὶ δασυστέρνους καὶ μεσοφθάλμους καὶ συμμέτρους τοῖς μεγέθεσιν, τῇ δὲ κράσει τὸ μᾶλλον ἔχοντας ἐν τῷ ὑγρῷ καὶ ψυχρῷ, δυτικὸς δὲ ὑπάρχων τῇ μὲν μορφῇ μέλανας καὶ σπινώδεις καὶ μικροὺς καὶ ἁπλότριχας καὶ ὑποψίλους καὶ ὑπορρύθμους καὶ μελανοφθάλμους, τῇ δὲ κράσει τὸ μᾶλλον ἔχοντας ἐν τῷ ξηρῷ καὶ ψυχρῷ.

138 Ὁ δὲ τοῦ Διὸς οἰκοδεσποτήσας τοὺς προκειμένους τόπους ἀνατολικὸς τῇ μὲν μορφῇ ποιεῖ λευκοὺς ἐπὶ τὸ εὔχρουν καὶ μεσότριχας καὶ μεγαλοφθάλμους καὶ εὐμεγέθεις καὶ ἀξιωματικούς, τῇ δὲ κράσει τὸ πλεῖον ἔχοντας ἐν τῷ θερμῷ καὶ ὑγρῷ, δυτικὸς δὲ ὑπάρχων τῇ μὲν χρόᾳ λευκοὺς μέν, οὐκ ἐπὶ τὸ εὔχρουν δὲ ὁμοίως, τετανότριχάς τε καὶ ἀναφαλαντιαίους καὶ μεσοφαλάκρους καὶ μετρίους τοῖς μεγέθεσιν, τῇ δὲ κράσει τὸ πλεῖον ἔχοντας ἐν τῷ ὑγρῷ. Ὁ δὲ τοῦ Ἄρεως ὁμοίως ἀνατολικὸς τῇ μὲν μορφῇ ποιεῖ λευκερύθρους καὶ εὐμεγέθεις καὶ εὐέκτας καὶ γλαυκοφθάλμους καὶ δασεῖς καὶ μεσότριχας, τῇ δὲ κράσει τὸ πλεῖον ἔχοντας ἐν τῷ θερμῷ καὶ ξηρῷ, δυτικὸς δὲ ὑπάρχων τῇ μὲν μορφῇ ἐρυθροὺς ἁπλῶς καὶ μετρίους τοῖς μεγέθεσι καὶ μικροφθάλμους καὶ ὑποψίλους καὶ ξανθότριχας καὶ τετανούς, τῇ δὲ κράσει τὸ πλεῖον ἔχοντας ἐν τῷ ξηρῷ. Ὁ δὲ τῆς Ἀφροδίτης τὰ παραπλήσια ποιεῖ τῷ τοῦ Διός, ἐπὶ μέντοι τὸ εὐμορφώτερον καὶ ἐπιχαριτώτερον καὶ γυναικοπρεπωδέστερον καὶ θηλυμορφώτερον καὶ εὐχυμότερον καὶ τρυφερώτερον, ἰδίως δὲ τοὺς ὀφθαλμοὺς ποιεῖ μετὰ τοῦ εὐπρεποῦς ὑποχαροπούς. Ὁ δὲ τοῦ Ἑρμοῦ ἀνατολικὸς τῇ μὲν μορφῇ ποιεῖ μελίχροας καὶ συμμέτρους τοῖς μεγέθεσι καὶ εὐρύθμους καὶ μικροφθάλμους καὶ μεσότριχας, τῇ δὲ κράσει τὸ πλεῖον ἔχοντας ἐν τῷ θερμῷ, δυτικὸς δὲ ὑπάρχων τῇ μὲν μορφῇ λευκοὺς μέν, οὐκ ἐπὶ τὸ εὔχρουν δὲ ὁμοίως, τετανότριχας, μελαγχλώρους καὶ σπινοὺς καὶ ἰσχνοὺς καὶ λοξοφθάλμους τε καὶ αἰγόπους καὶ ὑπερύθρους, τῇ δὲ κράσει τὸ πλεῖον ἔχοντας ἐν τῷ ξηρῷ.

139 Συνεργοῦσι δὲ ἑκάστῳ τούτων συσχηματισθέντες ὁ μὲν Ἥλιος ἐπὶ τὸ μεγαλοπρεπέστερον καὶ εὐεκτικώτερον, ἡ δὲ Σελήνη, καὶ μάλισθ' ὅταν τὴν ἀπόρροιαν αὐτῆς ἐπέχωσιν, καθόλου μὲν ἐπὶ τὸ συμμετρώτερον καὶ ἰσχνώτερον καὶ τῇ κράσει ὑγρότερον, κατὰ μέρος δὲ ἀναλόγως τῇ τῶν φωτισμῶν ἰδιότητι κατὰ τὴν ἐν ἀρχῇ τῆς συντάξεως ἐκτεθειμένην κρᾶσιν. πάλιν δὲ καθόλου ἑῷοι μὲν ὄντες καὶ φάσεις ποιησάμενοι μεγαλοποιοῦσι τὰ σώματα, στηρίζοντες δὲ τὸ πρῶτον ἰσχυρὰ καὶ εὔτονα, προηγούμενοι δὲ ἀσύμμετρα, τὸ δὲ δεύτερον στηρίζοντες ἀσθενέστερα, δύνοντες δὲ ἄδοξα μὲν παντελῶς, οἰστικὰ δὲ κακουχιῶν καὶ συνοχῶν. Καὶ τῶν τόπων δὲ αὐτῶν πρὸς τοὺς σχηματισμοὺς μάλιστα τῶν διατυπώσεων καὶ τὰς κράσεις, ὡς ἔφαμεν, συνεργούντων καθόλου πάλιν〉 τὸ μὲν ἀπὸ ἐαρινῆς ἰσημερίας ἕως θερινῆς τροπῆς ποιεῖ τὰ αὐτὰ τῷ τοῦ Διὸς ἀστέρι, τὸ δὲ ἐφεξῆς τεταρτημόριον ποιεῖ ὁμοίως τῷ τοῦ Ἄρεως, τὸ δὲ ἀπὸ μετοπωρινῆς ἰσημερίας ἕως χειμερινῆς τροπῆς παραπλήσια ποιεῖ τῷ τοῦ Ἑρμοῦ, τὸ δὲ λοιπὸν τεταρτημόριον τῷ τοῦ Κρόνου. Καὶ τὰ μὲν ἀνθρωποειδῆ τῶν ζῳδίων τῶν τε ἐν τῷ ζῳδιακῷ καὶ τῶν ἐκτὸς εὔρυθμα καὶ σύμμετρα ποιεῖ τὰ σώματα, τὰ δὲ ἑτερόμορφα μετασχηματίζει πρὸς τὸ τῆς οἰκείας μορφώσεως οἰκεῖόν πως. καὶ ὁ μὲν Ταῦρος καὶ Λέων καὶ ἡ Παρθένος καὶ Τοξότης ἐπὶ τὸ μεῖζον τὰ σώματα ποιοῦσιν, οἱ δὲ Ἰχθύες καὶ ὁ Καρκίνος καὶ ὁ Αἰγόκερως ἐπὶ τὸ ἔλαττον. καὶ πάλιν τοῦ Κριοῦ καὶ Ταύρου καὶ Λέοντος τὰ μὲν ἄνω καὶ ἐμπρόσθια ἐπὶ τὸ εὐεκτικώτερον, τὰ δὲ ὀπίσθια ἐπὶ τὸ ἀσθενέστερον, τὸ δὲ ἐναντίον ἐπὶ τοῦ Τοξότου καὶ Σκορπίου καὶ Διδύμων τὰ μὲν ἐμπρόσθια ἐπὶ τὸ ἰσχνότερον, τὰ δὲ ὀπίσθια ἐπὶ τὸ εὐεκτικώτερον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

140 καὶ πάλιν ἡ μὲν Παρθένος, Ζυγός, Τοξότης ἐπὶ τὸ σύμμετρον καὶ εὔρυθμον, ὁ δὲ Σκορπίος, Ἰχθύες καὶ ὁ Ταῦρος ἐπὶ τὸ ἄρρυθμον καὶ ἀσύμμετρον, ἅπερ ἅπαντα συνεφορῶντας καὶ συνεπικίρναντας προσήκει τὴν ἐκ τῆς κράσεως συνημμένην ἰδιοτροπίαν περὶ τὰς μορφώσεις καὶ τὰς κράσεις τῶν σωμάτων καταστοχάζεσθαι. 〈ιγʹ〉 Περὶ σινῶν καὶ παθῶν σωματικῶν Πάλιν καὶ ἐνταῦθα τὰ Πτολεμαίου εἰπόντες ἐπισυνήψαμεν καὶ ἕτερα, ἀκολούθως δὲ μετὰ τὰς σωματικὰς μορφὰς ἐπάγει τὰ τούτων σίνη καὶ πάθη. καὶ σίνος μέν ἐστι τὸ ἅπαξ διατεθηκὸς τὸ σῶμα καὶ μὴ διατείνουσαν ἔχον τὴν ἀλγηδόνα, τὸ δὲ πάθος ἤτοι συνεχῶς ἢ ἐπιληπτικῶς. δεῖ οὖν τὰ δύο κέντρα, φησίν, (τουτέστι τὸ ἀνατέλλον καὶ τὸ δύνον) καὶ τὸ προδύνον ὅ ἐστιν 〈ςʹ〉 ἀπὸ τοῦ ὡροσκόπου παρατηρεῖν καὶ τοὺς κακωτικοὺς τῶν ἀστέρων πῶς ἐσχηματισμένοι πρὸς αὐτὰ τυγχάνουσιν. ἐὰν γὰρ ὦσιν ἐν αὐτοῖς ἢ καὶ πρὸς τὰς ἀναφερομένας μοίρας αὐτῶν ἢ καὶ τετραγωνίζοντες ἢ καὶ διαμετροῦντες ἢ καὶ ὁπότερος τῶν κακοποιῶν ἢ καὶ ἀμφότεροι, σίνη καὶ πάθη σωματικὰ περὶ τοὺς γεννωμένους ὑπονοητέον, μάλιστα δὲ ἐὰν καὶ τὰ φῶτα ᾖ κεκεντρωμένα ἢ τὸ ἕτερον αὐτῶν 〈ἢ ἀμφότερα〉 καὶ αὐτοῖς ἐπαναφέρωνται οἱ κακοποιοὶ ἢ καὶ προανατείλαντες τύχωσιν. Τὰ δὲ μέρη τῶν ζῳδίων τὰ περιέχοντα τὸ ἀδικούμενον μέρος τοῦ ὁρίζοντος δηλώσει τὸ μέρος τοῦ σώματος, καὶ αἱ φύσεις δὲ τῶν ἀστέρων τῶν κακούντων μηνύουσι 〈τὰ εἴδη καὶ τὰς αἰτίας τῶν συμπτωμάτων〉, παραλαμβανομένων τῶν ζῳδίων καθὼς εἰρήκαμεν Κριοῦ μὲν εἰς κεφαλήν, Ταύρου δὲ εἰς αὐχένα, Διδύμων εἰς ὤμους καὶ βραχίονας, Καρκίνου εἰς τὸ ἀνώτερον στέρνον καὶ πλευράν, Λέοντος εἰς καρδίαν καὶ στῆθος, Παρθένου εἰς τὴν γαστέρα, Ζυγοῦ εἰς γλουτοὺς καὶ ἰσχία, Σκορπίου εἰς τὴν αἰδὼ καὶ τὰ σπερματικὰ μόρια, Τοξότου εἰς τοὺς μηρούς, Αἰγοκέρωτος εἰς γόνατα, Ὑδροχόου εἰς κνήμας, Ἰχθύων εἰς πόδας.

141 τῶν ἀστέρων ὁ μὲν Κρόνος τῶν ἀνθρώπου μερῶν κυριεύει ἀκοῶν δεξιῶν καὶ σπληνὸς καὶ κύστεως καὶ φλέγματος καὶ ὀστέων, ὁ δὲ τοῦ Διὸς ἁφῆς τε καὶ πνεύμονος καὶ πλευρῶν καὶ ἀρτηριῶν καὶ σπέρματος, ὁ δὲ τοῦ Ἄρεως ἀκοῶν εὐωνύμων καὶ νεφρῶν καὶ φλεβῶν καὶ μορίων, ὁ δὲ Ἥλιος ὁράσεως καὶ ἐγκεφάλου καὶ καρδίας καὶ νεύρων καὶ τῶν δεξιῶν πάντων, ὁ δὲ τῆς Ἀφροδίτης ὀσφρήσεως καὶ ἥπατος καὶ σαρκῶν, ὁ δὲ τοῦ Ἑρμοῦ λόγου καὶ διανοίας καὶ γλώσσης καὶ χολῆς καὶ ἕδρας, ἡ δὲ Σελήνη γεύσεως καὶ καταπόσεως καὶ στομάχου καὶ κοιλίας καὶ μήτρας καὶ τῶν εὐωνύμων πάντων. ἔστι δὲ τῶν καθόλου τὰ σίνη μὲν ὡς ἐπὶ τὸ πολὺ συμπίπτειν ἀνατολικῶν ὄντων τῶν ἀστέρων τῶν τὸ αἴτιον ποιούντων κακοποιῶν, πάθη δὲ τῶν αὐτῶν δυτικῶν ὑπαρχόντων. Καὶ κατὰ μέρος δὲ ἤδη παρατηρήσεως ἔτυχέν τινα· πηρώσεις γὰρ 〈ὄψ〉εως ἀποτελοῦνται ὅταν τὰ φῶτα ᾖ σ〈ημαντικ〉ά, περὶ μὲν τὸν ἕτερον τῶν ὀφθαλμῶν ὅταν τὸ ἕ〈τερον τῶν φώτων ᾖ〉, περὶ δὲ τοὺς δύο ὅταν ἀμφότερα ᾖ. μάλιστα δὲ ἡ Σελήνη 〈καθ' αὑτὴν σημαίνει〉 τὰς πηρώσεις ἐπὶ φάσεως οὖσα ἐν τοῖς πρ〈οειρημένοις κέντροις ἀποκρουστικ〉ὴ ἔχουσα τὸν τοῦ Ἄρεως ἢ τὸν τοῦ Κρόνου ἀστέρα ἢ 〈κεκακωμένον〉 τὸν 〈ἀνατολικὸν ἐπι〉φερόμενον αὐτῇ εἰ καὶ συνάψει τινὶ 〈τῶν νεφελοειδῶ〉ν ἐν τῷ ζῳδιακῷ συστροφῶν ὡς τῷ νεφελίῳ τοῦ Καρκίνου τῇ Φάτνῃ λεγομένῃ καὶ τῇ Πλειάδι καὶ τῇ ἀκίδι τοῦ Τοξότου καὶ τῷ κέντρῳ τοῦ Σκορπίου καὶ τοῖς περὶ τὸν Πλόκαμον μέρεσι τοῦ Λέοντος ἢ τῇ κάλπιδι τοῦ Ὑδροχόου.

142 ἐὰν δὲ ἀμφοτέροις τοῖς φωσὶ τοῦτο συμβῇ (〈τουτέστιν〉 οἱ κεκακωμένοι καὶ οἱ κακοποιοὶ συσχηματισθῶσιν ἑῷοι μὲν τῷ Ἡλίῳ, ἑσπέριοι δὲ τῇ Σελήνῃ), περὶ ἀμφοτέρους τοὺς ὀφθαλμοὺς τὰς πηρώσεις ποιοῦσιν, μετὰ δὲ τοῦ Ἄρεως ἀπὸ πληγῆς ἢ κρούσματος, μετὰ δὲ Ἑρμοῦ συσχηματισθέντες ἐν παλαίστραις καὶ γυμνασίοις ἢ κακούργων ἐφόδοις, ἐκ δὲ Κρόνου ἀπὸ ψύξεων ἢ ὑποχύσεων ἢ γλαυκώσεων. Ἐκ δὲ Ἀφροδίτης συνούσης Κρόνῳ καὶ τοῦ Ἄρεως αὐτοὺς καθυπερτεροῦντος ἢ διαμετροῦντος οἱ μὲν ἄνδρες ἄγονοι γίγνονται, αἱ δὲ γυναῖκες ἐκτρωσμοῖς ἢ ὠμοτοκίαις ἢ ἐμβρυοτομίαις κυλίονται, μάλιστα ἐν Παρθένῳ καὶ Καρκίνῳ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Αἰγοκέρωτι. γίνονται δὲ εὐνοῦχοι ἢ ἑρμαφρόδιτοι ἢ ἄτρητοι ἢ ἀρρητοῦργοι γυναῖκες ὅταν ἡ Σελήνη πλήθουσα συνάψῃ Ἄρει καὶ Ἑρμῇ Κρόνου ἐπιμαρτυροῦντος. τῶν δὲ φώτων καὶ τοῦ τῆς Ἀφροδίτης ἠρρενωμένων, ἀποκρουστικῆς δὲ τῆς Σελήνης οὔσης καὶ τῶν κακοποιῶν ἐπιφερομένων αὐτοῖς 〈οἱ〉 μὲν ἄρρενες ἀπόκοποι ἢ τὰ μόρια σεσινωμένοι γίγνονται, 〈μάλιστα ἐ〉ν Κριῷ, Λέοντι, Σκορπίῳ, Αἰγοκέρωτι, Ὑδροχόῳ, αἱ δὲ γυναῖκες ἄγονοι καὶ 〈στεῖραι. Ἐνίο〉τε δὲ οὐδὲ ἀσινεῖς τὰς ὄψεις 〈διαμένουσιν〉, ἐμποδίζονται δὲ τὴν 〈γλῶτταν συνόντ〉ες ἐπὶ τῶν προειρημένων κέντρων ὁ τοῦ Ἑρμοῦ καὶ 〈ὁ τοῦ Κρόνου〉, μάλιστα δὲ ἐὰν καὶ ὕπαυγος ᾖ ὁ τοῦ Ἑρμοῦ 〈τοῦ Ἡλίου δύνο〉ντος· ἔσθ’ ὅτε γὰρ ὁ τοῦ Ἄρεως συσχηματισθεὶς 〈τούτοις λύει τὸ τῆσ〉 γλώττης ἐμπόδιον.

143 Πάλιν 〈ἐὰν〉 τὰ φῶτα 〈ἐπικέντροισ〉 τοῖς κακοποιοῖς ἐπιφέρηται ἅμα ἢ καὶ κατὰ διάμετρον ἢ τοῖς φωσὶν οἱ κακοποιοὶ καὶ μάλιστα τῆς Σελήνης οὔσης ἐπὶ συνδέσμων ἢ ἐπὶ καμπίων (τουτέστιν ἐν τῷ νοτίῳ πέρατι ἢ 〈τῷ〉 βορείῳ) ἢ ἐπὶ τῶν ἐπαιτίων ζῳδίων οἷον Κριοῦ, Ταύρου, Καρκίνου, Σκορπίου, Αἰγοκέρωτος, γίγνονται κυρτοὶ ἢ κυλλοὶ ἢ χωλοί. διαμηκίζοντες δὲ οἱ κακοποιοὶ ὡς ἐπίπαν ποιοῦσι κινδύνους τοὺς ἀπὸ κρημνῶν ἢ συμπτώσεων ἢ τετραπόδων ἢ ληστηρίων, 〈μάλιστα δὲ〉 ὅταν καὶ Ἑρμῆς συνῇ ἢ ἴδῃ. τὰ δὲ σίνη ὡς ἐπὶ πολὺ γίγνονται τῆς Σελήνης οὔσης περὶ τὸ ἐαρινὸν δι’ ἀλφῶν, περὶ δὲ τὸ θερινὸν διὰ λειχήνων, περὶ δὲ τὸ μετοπωρινὸν τὰ 〈διὰ λεπρῶν, περὶ δὲ τὸ χειμερινὸν τὰ〉 διὰ φακῶν καὶ τῶν ὁμοίων. Πάθη συμβαίνειν εἴωθεν ὅταν ἐπὶ τῶν προκειμένων συστάσεων οἱ κακοποιοὶ συσχηματισθῶσιν, κατὰ τὸ ἐναντίον μέντοι (τουτέστιν ἑσπέριοι μὲν τῷ Ἡλίῳ, ἑῷοι δὲ τῇ Σελήνῃ). καὶ καθόλου πάλιν ὁ μὲν Κρόνος ποιεῖ φλεγματώδεις, ἰσχνούς, ψυχροκοιλίους, ὑδρωπικούς, ἰκτερικούς, βηχικούς, ἀναφορικούς, κωλικούς, ἐλεφαντιῶντας, τὰς δὲ γυναῖκας ἔτι καὶ ὑστερικάς, ὁ δὲ τοῦ Ἄρεως αἱμοπτυϊκούς, μελαγχολικούς, πνευμονικούς, ψωριῶντας, ἔτι δὲ διὰ τομῶν καὶ καύσεων κρυπτῶν τόπων συνεχῶς ἐνοχλουμένους συρίγγων ἕνεκεν ἢ καὶ αἱμορροΐδων ἢ καὶ κονδυλωμάτων ἢ καὶ τῶν ἐμπυρωδῶν ἑλκώσεων ἢ νομῶν, τὰς δὲ γυναῖκας καὶ ἐκτρωσμοῖς ἢ ἐμβρυοτομίαις εἴωθε περικυλίειν.

144 συνεργεῖ δὲ αὐτοῖς πρὸς τὰς ἐπιτάσεις τῶν φαύλων ὁ τοῦ Ἑρμοῦ ἀστήρ, τῷ μὲν τοῦ Κρόνου πρὸς τὸ ψυχρότερον 〈ποιῶν〉 τούς τε ῥευματισμοὺς καὶ τὰς τῶν ὑγρῶν ὀχλήσεις, ἐξαιρέτως δὲ τῶν περὶ τὸν θώρακα καὶ φάρυγγα καὶ στόμαχον, τῷ 〈δὲ〉 τοῦ Ἄρεως πρὸς τὸ ξηραντικώτερον ἰσχύων ὡς ἐπὶ τῶν ἑλκωδῶν πτιλώσεων καὶ ἐσχαρῶν καὶ ἐρυσιπελάτων καὶ λειχήνων ἀγρίων καὶ μελαίνης χολῆς ἢ μανίας ἢ νόσου ἱερᾶς. Ἰδίως δὲ περὶ τῆς ζωῆς τυχόντες ἐπὶ τοῦ τόπου τῶν τὸ αἴτιον ποιούντων Καρκίνος καὶ Αἰγόκερως καὶ Ἰχθύες καὶ ὅλως τὰ χερσαῖα ἢ τὰ ἰχθυϊκὰ ζῴδια τὰ 〈διὰ〉 τῶν νομῶν πάθη ποιεῖ καὶ λειχήνων ἢ λεπίδων ἢ χοιράδων ἢ συρίγγων ἢ ἐλεφαντιάσεων, ὁ δὲ Τοξότης καὶ οἱ Δίδυμοι τὰ διὰ πτωματισμῶν καὶ ἐπιλήψεων. καὶ ἐν ταῖς ἐσχάταις δὲ μοίραις ὄντες οἱ ἀστέρες τῶν δωδεκατημορίων περὶ τὰ ἄκρα μάλιστα τὰ σίνη καὶ τὰ πάθη ποιοῦσιν. τούτων δὲ οὕτως ἐχόντων ἐὰν μηδεὶς τῶν ἀγαθοποιῶν συσχηματίζηται τοῖς τὸ αἴτιον ποιοῦσιν, ἀνίατα 〈τὰ〉 πάθη καὶ τὰ σίνη γίγνεται, ἐποπτευόντων δὲ τούτων εὐπαρηγόρητα καὶ μέτρια, ἔσθ’ ὅτε δὲ καὶ εὐαπάλλακτα γίγνεται. Τὰ δὲ παρὰ Δωροθέῳ ὁμοίως σύμφωνα τούτοις. ταῦτα σκεπτέον φησίν· τὸ ϛʹ ζῴδιον θηριῶδες ἢ δίυγρον ἢ καὶ αὐτὸς ὁ τοῦ οἴκου κύριος ἐν τοιούτῳ ζῳδίῳ σίνη ποιοῦσιν, καὶ ὁ μὲν Κρόνος τὰ διὰ ῥευμάτων, ὁ δὲ Ἄρης διὰ καύσεων ἢ θηρίων δηγμάτων ἢ καὶ δορυαλώσεων, δυτικὸς δὲ δι’ αἱμοπτυϊκῶν, ὁ δὲ Ζεὺς κεκακωμένος οὕτως ἐξ οἰνοποσίας ποιεῖ τι κακόν, ἔσθ’ ὅτε καὶ τὸ ἧπαρ οἰδαίνει.

145 〈ιδʹ〉 Περὶ κλήρου σίνους Ὁ δὲ κλῆρος τοῦ σίνους λαμβάνεται ἐπὶ μὲν ἡμερῶν ἀπὸ Κρόνου ἐπὶ Ἄρεα καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, ἐπὶ δὲ τῶν νυκτερινῶν ἀπὸ Ἄρεως ἐπὶ Κρόνον, καὶ εἰς ὃν ἂν ἐκπέσῃ τόπον τούτου χρὴ καὶ τὸν κύριον σκοπεῖν πῶς κεῖται καὶ πρὸς ὃ σημαίνει κατὰ μέρος

τὸ ζῴδιον· ἐκεῖνο λέγομεν εἶναι τὸ σίνος. τοῦ τε ὑποχθονίου κέντρου, φησὶ 〈Δωρόθεοσ〉, τοὺς τριγωνοκράτορας σκοπεῖν, καὶ τὸν μὲν τῆς αἱρέσεως δέχου εἰς τὴν 〈τοῦ〉 θανάτου ποιότητα, τὸν δὲ δεύτερον εἰς τὸ σίνος. χρὴ οὖν σκοπεῖν ἐν τῇ γενέσει πῶς κεῖται οὗτος πρὸς αὐτὸν καὶ τὸν κλῆρον τοῦ σίνους ὃν προείπομεν, καὶ οὕτως ἀποφαίνεσθαι· τὸ γὰρ ἐκ πολλῶν σύμφωνον εὔγνωστον φέρει τὴν ἀλήθειαν. 〈...〉 εὖτε μεσουρανέοντος ὑπὲρ ζῴοιο φέρηται. οὐ μόνον δὲ ἐν τῷ ὑποχθονίῳ κέντρῳ, ὡς εἶπεν, οὔσης τῆς Σελήνης γεννῶνται μικροφυεῖς, ἀλλὰ καὶ αὖθις οὔσης ἐγγὺς τῆς συνόδου μετὰ Κρόνου καὶ ἐν τῷ δυτικῷ ὁρίζοντι· ἀπὸ παρατηρήσεως γὰρ καὶ οὕτως εὑρέθη. 〈ιε′〉 Περὶ ποιότητος ψυχῆς Ἤδη μὲν ἐν τοῖς πρὸ τούτων ἐμνήσαμεν καὶ τῶν τοιούτων· ταῖς γὰρ σωματικαῖς κράσεσι ποσῶς ἕπονται καὶ αἱ ψυχικαὶ ποιότητες. ἐπεὶ δὲ ὁ Πτολεμαῖος ἰδιαζόντως μνημονεύει τούτων, πάλιν ἐκ τῶν ἑαυτοῦ συντέμνοντες τὰ κεφαλαιωδέστερα παρατιθέμεθα.

146 καταλαμβάνονται μὲν αἱ τοιαῦται ποιότητες αἱ μὲν περὶ τὸ νοερώτερον καὶ λογικὸν μέρος διὰ τῆς κατὰ τὸν τοῦ Ἑρμοῦ ἀστέρα θεωρουμένης περιστάσεως, αἱ δὲ περὶ τὸ ἠθικὸν καὶ ἄλογον ἀπὸ τῆς Σελήνης καὶ τῶν πρὸς τὰς ἀπορροίας ἢ καὶ τὰς συναφὰς αὐτῆς ἐσχηματισμένων ἀστέρων καὶ τῶν ζῳδίων ἐν οἷς εὑρίσκονται ὅ τε Ἑρμῆς καὶ ἡ Σελήνη, καὶ ἔτι ἐκ τῶν ἐπικράτησιν αὐτῶν εἰληφότων ἀστέρων καὶ ἔτι τῶν σχηματισμῶν αὐτῶν πρὸς Ἥλιόν τε καὶ τὰ κέντρα. Τῶν μὲν οὖν ζῳδίων καθόλου τὰ μὲν τροπικὰ δημοτικωτέρας ποιεῖ τὰς ψυχάς, ὀχλικῶν τε καὶ πολιτικῶν πραγμάτων ἐπιθυμητικάς, καὶ φιλοδόξους καὶ εὐφυεῖς καὶ εὐκινήτους καὶ ζητητικάς, ἀστρολογικὰς ἔσθ’ ὅτε καὶ μαντικάς, τὰ δὲ δίσωμα ποικίλας καὶ εὐμεταβόλους, δυσκαταλήπτους, κούφας, διπλάς, ἐρωτικάς, πολυτρόπους, ῥαθύμους, φιλομούσους, τὰ δὲ στερεὰ δικαίας, ἀκολακεύτους, ἐπιμόνους, φιλοπόνους, ὑπομονητικάς, σκληράς, ἐγκρατεῖς, μνησικάκους, ἐριστικάς, φιλοτίμους, στασιώδεις, πλεονεκτικάς, ἀμεταθέτους. Τῶν δὲ σχηματισμῶν οἱ μὲν ἑῷοι ἐλευθερίους καὶ ἁπλᾶς καὶ αὐθάδεις καὶ ἰσχυρὰς καὶ εὐφυεῖς ἀπεργάζονται, οἱ δὲ ἑῷοι στηριγμοὶ καὶ αἱ μεσουρανήσεις ἐπιλογιστικάς, ἐπιμόνους, μνημονικάς, βεβαίας, συνετάς, μεγαλόφρονας, ἐμπράκτους, ὠμάς, κολαστικάς, κριτικάς, ἐπιστημονικάς, αἱ δὲ προηγήσεις καὶ 〈αἱ〉 δύσεις ἀβεβαίους, εὐμεταθέτους, ἀσθενεῖς, ἀφερεπόνους, ἐμπαθεῖς, ταπεινάς, δειλάς, ἀμφιβόλους, θρασυδείλους, ἀμβλείας, βλακώδεις, δυσκινήτους, οἱ δὲ ἑσπέριοι στηριγμοὶ καὶ 〈αἱ〉 ὑπὸ γῆν μεσουρανήσεις, ἔτι δὲ ἐφ’ Ἑρμοῦ καὶ Ἀφροδίτης ἡμέρας μὲν αἱ ἑσπέριοι δύσεις, νυκτὸς δὲ αἱ ἑῷοι, εὐφυεῖς μὲν καὶ φρενήρεις, οὐ λίαν δὲ μνημονικὰς οὐδὲ ἐπιμόχθους, διερευνητικὰς δὲ τῶν ἀποκρύφων, οἷον μαγικάς, μετεωρολογικάς, μηχανικάς, ἀστρολογικάς, θαυματοποιούς, οἰωνοσκοπικάς, ὀνειροκριτικάς, φιλοσόφους καὶ τὰς ὁμοίας.

147 Πρὸς τούτοις δὲ ἐν οἰκείοις μὲν τόποις ὄντες καὶ αἱρέσεσι οἱ τὴν κυρίαν ἔχοντες τὴν ψυχικὴν προφανῆ καὶ ἀπαραπόδιστα καὶ εὐεπίτευκτα ποιοῦσι τὰ ἰδιώματα, καὶ μάλισθ’ ὅταν οἱ αὐτοὶ τούτων τῶν δύο τόπων ἐπικρατήσωσιν ἅμα (τουτέστι τῷ μὲν τοῦ Ἑρμοῦ τυγχάνωσιν ὁπωσδήποτε ἐσχηματισμένοι, τὴν δὲ τῆς Σελήνης ἀπόρροιαν ἢ καὶ συναφὴν συνέχοντες), μὴ οὕτως δὲ διακείμενοι ἀλλ’ ἐν ἀνοικείοις ὄντες τόποις τὰ μὲν τῆς ἑαυτῶν φύσεως οἰκεῖα πρὸς τὴν ψυχικὴν ἐνέργειαν ἀνεπίφαντα καὶ ἀμαυρὰ καὶ ἀτελείωτα καὶ ἀπρόκοπα καθιστᾶσιν, τὰ δὲ τῆς τῶν κρατησάντων ἢ καὶ ὑπερτερησάντων ἰσχυρά τε καὶ ἐπιβλαβῆ τῶν ἐπικειμένων ὡς οἵ τε διὰ κακοποιῶν οἰκείωσιν ἄδικοι καὶ πονηροὶ κρατούντων μὲν αὐτῶν εὐπροχείριστον καὶ ἀνεμπόδιστον ἔχουσιν τὴν πρὸς τὸ κακῶς ἄλλους ὁρμὴν ποιεῖν, κρατουμένων δὲ ὑπὸ 〈τῶν〉 τῆς ἐναντίας αἱρέσεως καταφορικοὶ καὶ ἀνεπίτευκτοι γίνονται, καὶ πάλιν διὰ τὴν τῶν ἀγαθοποιῶν πρὸς τοὺς εἰρημένους τόπους οἰκείωσιν ἀγαθοὶ καὶ δίκαιοι ἀκαθυπερτερήτων μὲν ὄντων αὐτοί τε χαίρουσι καὶ εὐφημοῦνται ἐπὶ ταῖς 〈τῶν〉 ἄλλων εὐποιίαις καὶ ὑπὸ μηδενὸς ἀδικούμενοι ἀλλ’ ὀνησιφόρον ἔχοντες τὴν δικαιοσύνην διατελοῦσιν, κρατουμένων δὲ ὑπὸ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐναντίων ἀνάπαλιν δι’ αὐτὸ τὸ πρᾶον καὶ φιλάνθρωπον καὶ ἐλεητικὸν εὐκαταφρόνητοί τε καὶ ἐπίμεμπτοι ἢ καὶ ὑπὸ τῶν πλείστων εὐαδίκητοι τυγχάνουσιν.

148 ὁ μὲν οὖν καθόλου τρόπος, φησίν, τῆς ἠθικῆς ἐπισκέψεως τοιοῦτός τις ἂν εἴη. Τῶν δὲ κατὰ μέρος ἀπ’ αὐτῆς τῆς τῶν ἀστέρων φύσεώς τε καὶ δυνάμεως κατὰ τὴν τοιαύτην κυρίαν ἀποτελουμένων ἰδιοτροπίας καταστοχάζεσθαι χρὴ ὡς ὁ μὲν τοῦ Κρόνου ἀστὴρ μόνος τὴν οἰκοδεσποτίαν τῆς ψυχῆς λαβὼν καὶ αὐθεντήσας τοῦ τε Ἑρμοῦ καὶ τῆς Σελήνης, ἐὰν μὲν ἐνδόξως ἔχῃ πρὸς τὸ κοσμικὸν καὶ τὰ κέντρα, ποιεῖ φιλοσωμάτους, ἰσχυρογνώμονας, βαθύφρονας, αὐστηρούς, μονογνώμονας, ἐπιμόχθους, ἐπιτακτικούς, κολαστικούς, περιουσιαστικούς, φιλοχρημάτους, θησαυρικούς, φθονερούς, ἐναντίως δὲ καὶ ἀδόξως κείμενος ῥυπαρούς, μικρολόγους, μονογνώμονας, φιλερήμους, φιλοθρήνους, ἀηδεῖς, δεισιδαίμονας, ἀστόργους, ἐπιβουλευτικοὺς τῶν οἰκείων, ἀνευφράντους, μισοσωμάτους. συνοικειωθεὶς τῷ τοῦ Διὸς ἐνδόξως κείμενος ποιεῖ ἀγαθούς, τιμητικούς, καλογνώμονας, μεγαλοψύχους, ἐπὶ δὲ τῶν ἐναντίων διαθέσεων ἀπειροκάλους καὶ μανιώδεις καὶ ψοφοδεεῖς, δεισιδαίμονας, μισοτέκνους, ἀφίλους, ἐνδομύχους, σκαιοὺς καὶ τὰ τοιαῦτα. τῷ δὲ τοῦ Ἄρεως συνοικειωθεὶς ἐπὶ μὲν ἐνδόξων διαθέσεων ποιεῖ ὀχληρούς, παρρησιαστικούς, ῥιψοκινδύνους, θρασυδείλους, ἀνελεήμονας, τραχεῖς, δολίους, δυσμήνιδας, ὀχλοκόπους, τυραννικούς, πλεονέκτας, φιλοθορύβους, φορτικούς, καὶ πάντα πάλιν τὰ τοιαῦτα, ἐπὶ δὲ τῶν ἐναντίων ἅρπαγας, νοθευτάς, λῃστάς, αἰσχροκερδεῖς, ὑβριστάς, ἐπιβούλους, κλέπτας, ἐπιόρκους, ἀνδροφόνους, ἀθεμιτοφάγους, ἀσεβεῖς καὶ ὅλως παγκάκους. τῷ δὲ τῆς Ἀφροδίτης συνοικειωθεὶς ἐπὶ μὲν ἐνδόξων διαθέσεων ποιεῖ μισογυναίους, φιλερήμους, ἀηδεῖς πρὸς τὰς ἐντεύξεις, μισοκάλους, φθονερούς, φοιβαστικούς, θρησκευτάς, ἐπὶ δὲ τῶν ἐναντίων λάγνους, αἰσχροποιούς, ἀκαθάρτους πρὸς τὰς συνουσίας, ἀθεμίτους πρὸς τὰς συνελεύσεις, ἐπιβουλευτικοὺς θηλυκῶν προσώπων καὶ μάλιστα τῶν οἰκειοτάτων, θρασεῖς, παμψόγους, ἀδιαφόρους, πρὸς πᾶσαν μῖξιν καὶ ἕως θηριωδῶν ἐπιθυμητάς, θεῶν καταφρονητὰς καὶ μυστηρίων.

149 τῷ δὲ τοῦ Ἑρμοῦ συνοικειωθεὶς ἐπὶ μὲν ἐνδόξων ὁμοίως διαθέσεων ποιεῖ περιέργους, φιλοπεύστας, νομίμων ζητητικούς, φιλιάτρους, μυστικούς, ἀγχίφρονας, ἀκριβεῖς, νήπτας, φιλοπόνους, ἐπιτευκτικούς, ἐπὶ δὲ τῶν ἐναντίων ἰώδεις, μνησικάκους, φιλοβαναύσους, ἀνευφράντους, νυκτιρέμβους, ἐνεδρευτάς, προδότας, φαρμακευτάς, πλαστογράφους, ῥᾳδιουργούς, ἀποτευκτικούς. Ὁ δὲ τοῦ Διὸς ὁμοίως μόνος λαβὼν τὴν οἰκοδεσποτείαν τῆς ψυχῆς ἐπὶ μὲν ἐνδόξων διαθέσεων ποιεῖ μεγαλοψύχους, χαριστικούς, θεοσεβεῖς, φιλανθρώπους, ἐπὶ δὲ τῶν ἐναντίων τὰς ὁμοίας ποιεῖ φαντασίας ταῖς ψυχαῖς, ἐπὶ δὲ ταπεινότερον· ἀντὶ 〈μὲν〉 μεγαλοψυχίας ἀσωτίαν, ἀντὶ δὲ θεοσεβείας δεισιδαιμονίαν, ἀντὶ δὲ αἰδοῦς δειλίαν, ἀντὶ δὲ σεμνότητος οἴησιν, ἀντὶ δὲ φιλανθρωπίας εὐήθειαν, ἀντὶ δὲ φιλοκαλίας φιληδονίαν, ἀντὶ δὲ μεγαλοφροσύνης βλακείαν, ἀντὶ δὲ ἐλευθεριότητος ἀδιαφορίαν, καὶ ὅσα τούτοις παραπλήσια. τῷ δὲ τοῦ Ἄρεως συνοικειωθεὶς ἐπὶ μὲν ἐνδόξων διαθέσεων ποιεῖ μαχίμους, κεκινημένους, ἀνυστικούς, ἀρχικούς, ἐναντίως δὲ ὠμούς, στασιαστάς, ἐριστικούς, διαβόλους, κούφους, εὐμεταβόλους, προπετεῖς. τῷ δὲ τῆς Ἀφροδίτης συνοικειωθεὶς ἐνδόξως 〈μὲν〉 ποιεῖ καθαρίους, ἀπολαυστικούς, φιλοκάλους, φιλοτέκνους, φιλομούσους, ἐναντίως δὲ λάγνους, θηλυψύχους, φιλοκόσμους, ἀπομαλάκους. τῷ δὲ τοῦ Ἑρμοῦ συνοικειωθεὶς ἐνδόξως μὲν ποιεῖ φιλολόγους, γεωμέτρας, μαθηματικούς, φρονίμους, ἐναντίως δὲ ληρώδεις, ἀλαζονικούς, ἐπιτηδευτάς, μαγευτικούς, πολυίστορας καὶ μνημονικούς. Ὁ δὲ τοῦ Ἄρεως μόνος λαβὼν τὴν τοιαύτην οἰκοδεσποτίαν καὶ καλῶς κείμενος ποιεῖ γενναίους, θυμικούς.

150 καὶ τὰ ἄλλα δὲ ὁμοίως χρὴ καταστοχάζεσθαι ἐπὶ πάντων τῶν σχηματισμῶν οἰκείως πρὸς τὴν ἑκάστου ἀστέρος φύσιν καὶ δύναμιν ἵνα μὴ ἐπὶ μακρὸν ἐκτείνωμεν τὴν συναγωγὴν τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρόντων λόγων. Τούτων δὲ οὕτως ἐχόντων καὶ αἱ τῆς Σελήνης καταστάσεις συμβάλλονται· ἐπὶ μὲν τοῖς καμπίοις τυγχάνουσα (τουτέστιν ἐπὶ τοῦ νοτίου καὶ βορείου πέρατος) 〈συνεργεῖ〉 τοῖς ψυχικοῖς ἰδιώμασιν ἐπὶ τὸ πολυτροπώτερον καὶ εὐμεταβολώτερον, ἐπὶ δὲ τῶν συνδέσμων ἐπὶ τὸ ὀξύτερον καὶ πρακτικώτερον καὶ εὐκινητότερον, ἔτι δὲ ἐν μὲν ταῖς ἀνατολαῖς καὶ ταῖς τῶν φώτων αὐξήσεσι ἐπὶ τὸ εὐφυέστερον καὶ προφανέστερον καὶ βεβαιότερον καὶ παρρησιαστικώτερον, ἐν 〈δὲ〉 ταῖς μειώσεσι τῶν φώτων ἢ ταῖς κρύψεσιν ἐπὶ τὸ ὁλοσχερέστερον καὶ ἀμβλύτερον. συμβάλλεται δὲ καὶ ὁ Ἥλιος συνοικειωθείς πως τῷ τῆς ψυχικῆς κράσεως οἰκοδεσποτήσαντι κατὰ μὲν τὸ ἔνδοξον πάλιν τῆς διαθέσεως ἐπὶ τὸ δικαιότερον καὶ ἀνυστικώτερον, κατὰ δὲ τὸ ἐναντίον ἐπὶ τὸ ταπεινότερον καὶ ἐπιπονώτερον καὶ ἀγνωμονέστερον. 〈ις′〉 Περὶ παθῶν ψυχικῶν Ὁμοίως καὶ περὶ τούτων ἤδη ἐμνήσθημεν, ἐπειδὴ δὲ καὶ ἰδικῶς ἐκτίθεται, καὶ ἡμεῖς ἀκολουθοῦντες αὐτῷ τὰ αὐτὰ παρατιθέμεθα συντόμως. τὰ μὲν γὰρ πλεῖστα μετριωτέρων παθῶν σχεδὸν ἐν τοῖς ἀνωτέροις περὶ τῶν τῆς ψυχῆς ἰδιωμάτων ῥηθεῖσι διακέκριται τῆς ἐπιτάσεως αὐτῶν ἐκ τῆς τῶν κακούντων ὑπερβολῆς συνορᾶσθαι δυναμένης, ἐπειδήπερ ἤδη τις ἂν εἰκότως εἴποι πάθη καὶ τὰ ἄκρα τῶν ἠθῶν καὶ ἤτοι ἐλλείποντα ἢ πλεονά〈ζοντα τῆς μεσότητος, τὰ δὲ ἐξαίρετον ἔχοντα τὴν ἀμετρίαν καὶ ὥσπερ νοσηματώδη καὶ παρὰ ὅλην τὴν φύσιν καὶ περὶ αὐτὸ τὸ διανοητικὸν τῆς ψυχῆς μέρος καὶ περὶ τὸ παθητικὸν ὡς ἐν τύπῳ τοιαύτης ἔτυχε παρατηρήσεως.

151 Ἐπιληπτικοὶ μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ γίνονται ὅσοι τῆς Σελήνης καὶ τοῦ τοῦ Ἑρμοῦ, ὥσπερ εἴπομεν, ἢ ἀλλήλοις ἢ τῷ ἀνατολικῷ ὁρίζοντι ἀσυνδέτων ὄντων τὸν μὲν τοῦ Κρόνου ἡμέρας, τὸν δὲ τοῦ Ἄρεως νυκτός, ἔχουσιν ἐπίκεντρον καὶ κατοπτεύοντα τὸ προκείμενον σχῆμα, μανιώδεις δὲ ὅταν ἐπὶ τῶν αὐτῶν ἀνάπαλιν ὁ μὲν τοῦ Κρόνου νυκτός, ὁ δὲ τοῦ Ἄρεως ἡμέρας, κεκυριευκὼς ᾖ τοῦ σχήματος, καὶ μάλιστα ἐν Καρκίνῳ ἢ Παρθένῳ ἢ Ἰχθύσιν, δαιμονιόπληκτοι δὲ καὶ ὑγροκέφαλοι ὅταν οὕτως ἔχοντες οἱ κακοποιοῦντες ἐπὶ φάσεως οὖσαν κατέχωσι τὴν Σελήνην, ὁ μὲν τοῦ Κρόνου συνοδεύουσαν, ὁ δὲ τοῦ Ἄρεως πανσεληνιάζουσαν, μάλιστα δὲ ἐν Τοξότῃ καὶ Ἰχθύσιν. μόνοι μὲν οὖν οἱ κακοποιοὶ κατὰ τὸν προειρημένον τρόπον τὴν ἐπικράτησιν τοῦ σχήματος λαβόντες ἀνίατα μὲν ἀνεπίφαντα δὲ ὅμως καὶ ἀπαραδειγμάτιστα ποιοῦσι τὰ προκείμενα τοῦ διανοητικοῦ τῆς ψυχῆς νοσήματα. συνοικειωθέντων δὲ τῶν ἀγαθοποιῶν Διός τε καὶ Ἀφροδίτης ἐπὶ μὲν τῶν λιβικῶν μερῶν ὄντες αὐτοὶ τῶν ἀγαθοποιῶν ἐν τοῖς ἀπηλιωτικοῖς κεκεντρωμένων ἰάσιμα μὲν εὐπαραδειγμάτιστα δὲ ποιοῦσι τὰ πάθη, ἐπὶ μὲν τοῦ τοῦ Διὸς διὰ θεραπειῶν ἰατρικῶν καὶ ἤτοι διαιτητικῆς ἀγωγῆς ἢ φαρμακείας, ἐπὶ δὲ τοῦ τῆς Ἀφροδίτης διὰ χρησμῶν καὶ τῆς ἀπὸ θεῶν ἐπικουρίας, ἐπὶ δὲ τῶν ἀπηλιωτικῶν αὐτοὶ κεκεντρωμένοι τῶν ἀγαθοποιῶν δυνόντων ἀνίατά τε ἅμα καὶ πολυθρύλλητα καὶ ἐπιφανέστατα ποιοῦσι τὰ νοσήματα, κατὰ μὲν τὰς ἐπιληψίας συνεχείαις καὶ περιβοησίαις καὶ κινδύνοις θανατικοῖς τοὺς πάσχοντας περικυλίοντες, κατὰ δὲ τὰς μανίας καὶ ἐκστάσεις ἀκατασχεσίαις καὶ ἀπαλλοτριώσεσι τῶν οἰκείων καὶ γυμνητείαις καὶ βλασφημίαις καὶ τοῖς τοιούτοις, κατὰ δὲ τὰς δαιμονιοπληξίας ἢ τὰς τῶν ὑγρῶν ὀχλήσεις ἐνθουσιασμοῖς καὶ ἐξαγορείαις καὶ αἰκίαις καὶ τοῖς ὁμοίοις τῶν παραδειγματισμῶν.

152 ἰδίως δὲ καὶ τῶν τὸ σχῆμα περιεχόντων τόπων οἱ μὲν Ἡλίου καὶ οἱ τοῦ Ἄρεως πρὸς τὰς μανίας μάλιστα συνεργοῦσιν, οἱ δὲ τοῦ Διὸς καὶ Ἑρμοῦ πρὸς τὰς ἐπιληψίας, οἱ δὲ τῆς Ἀφροδίτης πρὸς τὰς θεοφορίας καὶ ἐξαγορείας, οἱ δὲ τοῦ Κρόνου καὶ Σελήνης πρὸς τὰς τῶν ὑγρῶν ὀχλήσεις καὶ τὰς δαιμονιοπληξίας. Ἡ μὲν οὖν περὶ τὸ ποιητικὸν τῆς ψυχῆς καθ' ὅλας τὰς φύσεις νοσηματικὴ παραλλαγὴ σχεδὸν ἔν τε τοῖς τοιούτοις ἐστὶν εἴδεσι καὶ διὰ τῶν τοιούτων ἀποτελεῖται σχηματισμῶν, ἡ δὲ τῶν περὶ τὸ παθητικὸν κατὰ τοῦτο πάλιν τὸ ἐξαίρετον θεωρουμένη καταφαίνεται μάλιστα περὶ τὰς κατ' αὐτὸ τὸ γένος τοῦ ἄρρενος καὶ θήλεως ὑπερβολὰς καὶ ἐλλείψεις τοῦ κατὰ φύσιν, διαλαμβάνεται δὲ ἐπισκεπτικῶς κατὰ τὸν ὅμοιον τῷ προκειμένῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τρόπον, τοῦ Ἡλίου μέντοι μετὰ τῆς Σελήνης ἀντὶ τοῦ Ἑρμοῦ παραλαμβανομένου καὶ τῆς τοῦ Ἄρεως σὺν τῷ τῆς Ἀφροδίτης πρὸς αὐτοὺς συνοικειώσεως. τούτων γὰρ οὕτως ὑπ᾽ ὄψιν πιπτόντων ἐὰν μὲν μόνα τὰ φῶτα ἐν ἀρσενικοῖς ᾖ ζῳδίοις, οἱ μὲν ἄνδρες ὑπερβάλλουσι τοῦ κατὰ φύσιν, αἱ δὲ γυναῖκες τοῦ παρὰ φύσιν πρὸς τὸ ἔπανδρον ἁπλῶς τῆς ψυχῆς καὶ δραστικώτερον, ἐὰν δὲ καὶ ὁ τοῦ Ἄρεως καὶ ὁ τῆς Ἀφροδίτης ἤτοι ὁπότερος ἢ καὶ ἀμφότεροι ἠρρενωμένοι ὦσιν, οἱ μὲν ἄνδρες πρὸς τὰς κατὰ φύσιν συνουσίας γίνονται καταφερεῖς καὶ μοιχικοὶ καὶ ἀκόρεστοι καὶ ἐν παντὶ καιρῷ πρόχειροι πρός τε τὰ αἰσχρὰ καὶ τὰ παράνομα τῶν ἀφροδισίων, αἱ δὲ γυναῖκες πρὸς τὰς παρὰ φύσιν ὁμιλίας λάγνοι καὶ ῥιψόφθαλμοι καὶ αἱ καλούμεναι τριβάδες. διατιθέασι γὰρ θηλείας ἀνδρῶν ἔργα ἐπιτελούσας, κἂν μὲν μόνοσ〉 ὁ τῆς Ἀφροδίτης ἠρρενωμένος 〈ᾖ〉, λάθρᾳ καὶ οὐκ ἀναφανδόν, ἐὰν δὲ καὶ ὁ τοῦ Ἄρεως, ἄντικρυς ὥστε ἐνίοτε καὶ νομίμους ὥσπερ γυναῖκας τὰς διατιθεμένας ἀναδείκνυται.

153 τῶν δὲ φώτων ὄντων ἐν θηλυκοῖς ζῳδίοις μόνον αἱ μὲν γυναῖκες ὑπερβάλλουσι τοῦ κατὰ φύσιν, οἱ δὲ ἄνδρες τοῦ παρὰ φύσιν πρὸς τὸ εὔθρυπτον καὶ τεθηλυμμένον τῆς ψυχῆς. ἐὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης ᾖ τεθηλυμμένος, αἱ μὲν γυναῖκες καταφερεῖς καὶ μοιχάδες καὶ πορνικώταται, οἱ δὲ ἄνδρες μαλακοὶ καὶ θρασεῖς πρὸς τὰς παρὰ φύσιν συνουσίας καὶ γυναικῶν ἔργα διατιθέμενοι, ἀποκρύφως μέντοι καὶ λεληθότως, ἐὰν δὲ καὶ ὁ τοῦ Ἄρεως ᾖ τεθηλυμμένος, ἄντικρυς μετὰ παρρησίας ἀναισχυντοῦσιν. συμβάλλονται δὲ οἱ μὲν ἀνατολικοὶ ἑῷοι συσχηματισμοὶ τοῦ τε Ἄρεως καὶ τοῦ τῆς Ἀφροδίτης πρὸς τὸ ἐπανδρότερον, οἱ δὲ ἑσπέριοι καὶ δυτικοὶ πρὸς τὸ θηλυκώτερον, ὁμοίως δὲ καὶ ὁ τοῦ Κρόνου προσγενόμενος ἐπὶ τὸ ἀσελγέστερον καὶ ἀκαθαρτότερον, ὁ τοῦ Διὸς δὲ πρὸς τὸ εὐσχημονέστερον καὶ αἰδημονέστερον, ὁ δὲ τοῦ Ἑρμοῦ πρὸς τὸ βοητότερον καὶ τὸ τῶν παθῶν εὐκινητότερον. 〈ιζʹ〉 Περὶ τύχης κτητικῆς Ἀκολούθως ἐν τοῖς ἐκτὸς συνημμέναι χρὴ ὥσπερ καὶ προηγεῖσθαι τὰ περὶ κτῆσιν τοῖς σωματικοῖς. σκοπεῖν οὖν δεήσει τὸν κλῆρον τῆς τύχης, ὡς λέγει Πτολεμαῖος ἐπιστημονικῶς, τὸν 〈τὴν〉 ἀπὸ τοῦ Ἡλίου ἐπὶ τὴν Σελήνην διάστασιν ἔχοντα ἀεί ποτε καὶ ἀπὸ τοῦ ὡροσκόπου ἐκβαλλόμενον.

154 τοῦ οὖν δωδεκατημορίου εἰς ὃ ἐμπίπτει ἐπισκέψασθαι χρὴ τοὺς οἰκοδεσποτίαν λαβόντας καὶ πῶς ἔχουσιν οὗτοι δυνάμεως καὶ οἰκειότητος, ἔτι δὲ τοὺς συσχηματιζομένους αὐτοῖς ἢ τοὺς καθυπερτεροῦντας τῶν τῆς αὐτῆς ἢ τῆς ἐναντίας αἱρέσεως. ἐν δυνάμει μὲν γὰρ ὄντες οἱ τὴν οἰκοδεσποτίαν λαμβάνοντες τοῦ κλήρου ποιοῦσι πολυκτήμονας, καὶ μάλιστα ὅταν ὑπὸ 〈τῶν〉 φώτων οἰκείως τύχωσι μαρτυρηθέντες, ἀλλ᾽ ὁ μὲν τοῦ Κρόνου διὰ γεωργιῶν ἢ διὰ θεμελίων ἢ ναυκληριῶν, ὁ δὲ τοῦ Διὸς διὰ πίστεων ἢ δι᾽ ἐπιτροπῶν ἢ ἱερατειῶν, ὁ δὲ τοῦ Ἄρεως διὰ στρατειῶν ἢ ἡγεμονιῶν, ὁ δὲ τῆς Ἀφροδίτης διὰ φιλιῶν ἢ γυναικείων δωρεῶν, ὁ δὲ τοῦ Ἑρμοῦ διὰ λόγων ἢ ἐμποριῶν. ἰδίως δὲ ὁ τοῦ Κρόνου συνοικειούμενος τῇ κτητικῇ τύχῃ ἐὰν τῷ τοῦ Διὸς συσχηματισθῇ κληρονομίας περιποιεῖ, καὶ μάλιστα ὅταν ἐν τῷ ἄνω κέντρῳ τοῦτο συμβῇ τοῦ Διὸς ἐν δισώμῳ ὄντος καὶ τὴν συναφὴν τῆς Σελήνης ἐπέχοντος (τότε γὰρ καὶ εἰς παιδοποιίαν ἀχθέντες ἀλλότρια κληρονομοῦσιν), καὶ χωρὶς δὲ τοῦ κλήρου τῆς τύχης ἁπλῶς ἐν τῇ γενέσει τρίγωνος ὢν τῷ Διὶ πολυκτήμονας ποιεῖ. κἂν μὲν οἱ τῆς αὐτῆς αἱρέσεως τοῖς οἰκοδεσπόταις τὰς μαρτυρίας τοῦ κλήρου τύχωσι ποιούμενοι, τὰς κτήσεις ἀκαθαιρέτους διαφυλάττουσιν, ἐὰν δὲ οἱ τῆς ἐναντίας αἱρέσεως καθυπερτερήσωσι τοὺς οἰκείους τόπους ἢ ἐπανενεχθῶσιν αὐτοῖς, καθαιρέσεις ποιοῦσι τῶν ὑπαρχόντων τοῦ καθολικοῦ καιροῦ λαμβανομένων διὰ τῆς τῶν τὸ αἴτιον ποιούντων πρὸς τὰ κέντρα καὶ τὰς ἐπαναφορὰς προσνεύσεως. 〈ιηʹ〉 Περὶ τύχης ἀξιωματικῆς Καὶ ἡ ἀξιωματικὴ δὲ τύχη συνῆπτε ὥσπερ ταῖς τῆς ψυχῆς οἰκειώσεσιν.

155 (1t) τὰ οὖν τῆς ἀξίας καὶ τῆς τοιαύτης εὐδαιμονίας δεήσει σκοπεῖν ἀπὸ τῆς τῶν φώτων διαθέσεως καὶ τῆς τῶν δορυφορούντων ἀστέρων οἰκειώσεως αὐτῶν. ἀρσενικοῖς μὲν γὰρ ζῳδίοις ὄντων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφοτέρων τῶν φώτων ἐπικέντρων ἤτοι ἀμφοτέρων πάλιν ἢ καὶ τοῦ ἑτέρου, μάλιστα δὲ τοῦ τῆς αἱρέσεως, καὶ δορυφορουμένων ὑπὸ τῶν ε πλανωμένων πρὸς Ἥλιον μὲν ἑῴων, πρὸς Σελήνην δὲ ἑσπερίων, οἱ γεννώμενοι βασιλεῖς ἔσονται. καὶ ἐὰν οἱ δορυφοροῦντες ἀστέρες καὶ αἴτιοι ἐπίκεντροι ὦσιν, μεγάλοι καὶ δυναμικοὶ καὶ κοσμοκράτορες γίγνονται, καὶ ἔτι μᾶλλον εὐδαίμονες ἐὰν οἱ δορυφοροῦντες δεξιοὶ τοῖς ὑπὸ γῆν κέντροις σχηματίζωνται. ἐὰν δὲ τῶν ἄλλων οὕτως ἐχόντων μόνος ὁ Ἥλιος ᾖ ἐν ἀρσενικῷ, ἡ δὲ Σελήνη ἐν θηλυκῷ, ἐπίκεντρον δὲ τὸ ἕτερον τῶν φώτων, ἡγεμόνες ἔσονται ζωῆς καὶ θανάτου κύριοι, ἐὰν δὲ πρὸς τούτοις μήτε οἱ δορυφοροῦντες ἐπίκεντροι ὦσιν ἢ μαρτυρῶσιν τοῖς κέντροις, μεγάλοι μόνον ἔσονται καὶ ἐν ἀξιώμασι τοῖς ἀπὸ μέρους στεφανηφόροις ἢ ἐπιτροπικοῖς ἢ στρατοπεδαρχικοῖς καὶ οὐχὶ τοῖς ἡγεμονικοῖς. ἐὰν δὲ τὰ φῶτα μὴ ᾖ ἐπίκεντρα, τῶν δὲ δορυφορούντων ἀστέρων οἱ πλεῖστοι ἤτοι ἐπίκεντροι ὦσιν ἢ καὶ συσχηματίζωνται τοῖς κέντροις, ἐν ἀξιώμασι μὲν ἐπιφανεστέροις οὐ γενήσονται, ἐν προαγωγαῖς δὲ πολιτικαῖς καὶ μετριότητι περὶ τὰς κατὰ τὸν βίον προλήψεις, μηδὲ τῶν δορυφορούντων μέντοι κέντροις συνοικειωθέντων ἀνεπίφαντοι ταῖς πράξεσι καὶ ἀπρόκοποι καθίστανται. τέλεον δὲ ταπεινοὶ καὶ κακοδαίμονες ταῖς τύχαις γίγνονται ὅταν μήθ’ ἕτερον τῶν φώτων μήτε κεκεντρωμένον ἐν ἀρσενικῷ ζῳδίῳ τυγχάνῃ μήτε δορυφορῆται ὑπὸ τῶν ἀγαθοποιῶν.

156 Καὶ ταῦτα μὲν οἷς συντίθεται Πτολεμαῖος καὶ τὰ παρὰ τοῖς ἄλλοις τε καὶ Δωροθέῳ ἐκτιθέμεθα ἵν’ ἐκ πολλῶν δοκίμων τῆς ἀληθείας τὴν συμφωνίαν λάβοιμεν. σκέπτεται οὖν ὁ Δωρόθεος ἀπὸ τῶν τριγωνοκρατόρων οὕτως· τριπλεύρου κρατέοντας ἐν ᾧ θεὸς Ἥλιός ἐστιν. φησὶ δὲ δεῖν καὶ τῆς ὥρας τὸν κύριον καὶ τοῦ μεσουρανοῦντος καὶ τοῦ βίου πῶς κεῖνται ἐν τῇ γενέσει 〈σκοπεῖν〉 (ἐὰν γὰρ εὑρεθῶσι καλῶς κείμενοι καλὰ σημαίνουσιν, ἂν δὲ ἐναντίως ἐναντία, ἂν δὲ μέσως μέσα), καὶ τὸν κλῆρον δὲ τῆς τύχης τὸν κατ’ αὐτόν (τουτέστιν ἐπὶ μὲν ἡμερινῶν γενέσεων τὸν ἀπὸ Ἡλίου ἐπὶ Σελήνην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, ἐπὶ δὲ νυκτερινῶν γενέσεων ἀπὸ Σελήνης ἐπὶ Ἥλιον καὶ τὰ ἴσα ὁμοίως ἀπὸ ὡροσκόπου) καὶ τοὺς ὁρῶντας αὐτὸν ἀστέρας ποῖοί τέ εἰσι καὶ πῶς κεῖνται. ἐὰν οὖν ὁ τοῦ κλήρου κύριος εὑρεθῇ ἐν κακῷ τόπῳ καὶ οἱ ἀγαθοποιοὶ ἀπόστροφοι ὦσι τῆς Σελήνης, οἱ δὲ κακοποιοὶ κεκεντρωμένοι ἢ ἐπανερχόμενοι, γνῶθι δυστυχῆ εἶναι τὸν οὕτω τυχόντα. ἐὰν δὲ ἐν οἰκείοις ὦσι τόποις καὶ τὴν Σελήνην ἀγαθοὶ ἐποπτεύωσιν, εὐτυχῆ γνῶθι, δηλονότι αὐτῶν ὁρώντων καὶ τὸν κλῆρον. ἐὰν δὲ πάλιν ἐν ταῖς γενέσεσιν εὕρωμεν τοὺς κακοποιοὺς ἐπικέντρους, τοὺς δὲ ἀγαθοποιοὺς ἐπανερχομένους, καὶ πάλιν ἐὰν ἡ Σελήνη ἀπορρεύσῃ μὲν τῶν κακοποιῶν, συνάψῃ 〈δὲ〉 τοῖς ἀγαθοποιοῖς, οἱ τοιοῦτοι τὰ ὕστερα τοῦ βίου εὐτυχῶς ἕξουσιν. δεύτερον τόπον βιότοιο λαχόντες 〈...〉. Ἄλλοι μέντοι τῶν ἀρχαίων εἰρήκασιν ἐν τῷ τόπῳ τούτῳ τῷ ια′ μὴ κακοποιεῖν τοὺς κακοποιοὺς παρατυχόντας (ὧν εἷς καὶ Πορφύριος)· ὅμως χρὴ παραδέχεσθαι αὐτοὺς ποσῶς βλάπτοντας προϊούσης τῆς ἡλικίας.

157 πάλιν, φησίν, ἀρίθμει ἀπὸ τοῦ κυρίου τοῦ δευτέρου τόπου ἕως αὐτοῦ τοῦ δευτέρου καὶ τὸν ἴσον ἀριθμὸν ἔκβαλλε ἀπὸ τῆς ὥρας, καὶ εἰς ὃ ζῴδιον ἐκπέσῃ ἐκεῖνο πάλιν σκόπει ποῖον τῶν ἀστέρων ἔχει καὶ πῶς κεῖται ὁμοίως τοῖς ἄνω πρὸς τὸν τόπον καὶ ἀποφαίνου. καὶ ἐὰν μὲν ἀγαθοποιοὶ ἴδωσι τὸν τόπον ἀγαθὰ σημαίνουσιν, εἰ δὲ κακοποιοὶ κακά, ἐὰν δέ τις τῶν ἀγαθοποιῶν ἴδῃ τὸν τόπον δυτικὸς ὢν καὶ μέλλῃ μετὰ ζ ἡμέρας ἀνατολικὸς εἶναι, καὶ οὕτως ὄλβον καὶ πλοῦτον παρέξει. Καὶ περὶ πάντων δὲ τῶν κλήρων ἐντέλλεται οὕτως· ἐὰν καλὸν ζῴδιον ἐπέχῃ ὁ κλῆρος καὶ ὁ τούτου κύριος ἤτοι ὢν ἐν αὐτῷ ἢ ἐν τοιούτῳ καλῷ καὶ ἔξαυγος, ἀγαθὰ πάμπολλα φέρει τῇ γενέσει, ἐὰν δὲ ᾖ ὕπαυγος ἢ μέλλῃ κρύπτεσθαι ἐγγύς, φησίν, ὁπόσα σημαίνουσιν εἰς ὀλίγον λάμψαντα μαραίνεται αἶψα πεσόντα. λέγει δὲ καὶ τοῦτο· σκέπτου τίς πρῶτος τῶν ἀστέρων ἐν τῇ γενέσει ἔρχεται εἰς τὸν τῆς Σελήνης τόπον ἢ καὶ τὸν τοῦ ὡροσκόπου· ὁ γὰρ προλαμβάνων ἐλθεῖν εἰς τοὺς τόπους τούτους οὗτος μηνύσει τὰ μέτρα τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τύχης. σκέπτεται δὲ τὰς γενέσεις οὕτως ὡς ἐκτίθεται· καὶ γενέσεως τὰ ἑκάστα διίξομεν ὄφρα δαείης. Φέρε δὴ καὶ ἐνταῦθα προσθῶμεν τὸν τρόπον καθ’ ὃν καὶ ἄλλοι ἐπισκέπτονται τὰς γενέσεις οἱ περὶ Πετόσιριν καὶ Νεχεψὼ καὶ ἐξ αὐτῶν Ἀντίγονος ὁ Νικαεύς. ἐγένετο, φησίν, τις ἔχων τὸν μὲν Ἥλιον Ὑδροχόου μοίρᾳ η′, τὴν δὲ Σελήνην καὶ τὸν Δία καὶ τὸν ὡροσκόπον τοὺς γ ἐπὶ τῆς πρώτης μοίρας τοῦ αὐτοῦ ζῳδίου Ὑδροχόου, τὸν δὲ Κρόνον Αἰγοκέρωτος μοίρᾳ ι′, τὸν δὲ Ἑρμῆν μετ’ αὐτοῦ μοίρᾳ ιβ′, τὴν δὲ Ἀφροδίτην Ἰχθύων μοίρᾳ ιβ′, τὸν δὲ Ἄρεα μετ’ αὐτῆς μοίρᾳ κβ′, τὸ δὲ μεσουράνημα Σκορπίου μοίρᾳ κβ′.

158 ὁ τοιοῦτος υἱοθετηθεὶς ὑπό τινος αὐτοκράτορος συγγενοῦς αὐτὸς περὶ 〈τὸ〉 μβ′ ἔτος ὁμοίως αὐτοκράτωρ ἐγένετο, καὶ φρόνιμος καὶ πεπαιδευμένος καὶ ὡς θεὸς ἐτιμήθη ναοῖς καὶ τεμένεσιν, καὶ γυναικὶ μιᾷ συζευχθεὶς ἀπὸ παρθενίας ἐγένετο ἄτεκνος, καὶ ἀδελφὴν μίαν ἔσχεν, ἐν ἀπονοίᾳ δὲ καὶ στάσει ἐγένετο πρὸς τοὺς ἰδίους. περὶ δὲ ξγ ἔτη γενόμενος τελευτᾷ ὑδρωπικῇ δυσπνοίᾳ πεσών. Διὰ τί δὲ ἐν τούτοις ἐγένετο ἐπεξεργάζεται οὕτως. γέγονε δὴ αὐτοκράτωρ οὗτος διὰ τὰ δύο φῶτα τὰ ὄντα ἐπὶ τῆς ὥρας καὶ μάλιστα διὰ τὴν οὖσαν Σελήνην τῆς αἱρέσεως καὶ συνάπτουσαν μοιρικῶς τῇ τε ὥρᾳ καὶ τῷ Διὶ μέλλοντι καὶ αὐτῷ ἑῴαν φάσιν ποιήσασθαι μεθ’ ἑπτὰ ἡμέρας, καὶ αὐτῶν τῶν δορυφορούντων αὐτῶν ἀστέρων οἰκείως εὑρεθέντων, τῆς μὲν Ἀφροδίτης ἐν ἰδίῳ ὑψώματι ὑπαρχούσης, τοῦ δὲ Ἄρεως ἐν ἰδίῳ τριγώνῳ καὶ ἐν ἰδίαις μοίραις τὴν στάσιν ἔχοντος, ἀμφοτέρων ἰδιοτοπούντων καὶ ἐπαναφερομένων τῇ Σελήνῃ. προσέτι 〈δὲ〉 καὶ ὁ κοσμοκράτωρ Ἥλιος ἐδορυφόρει αὐτὴν ὢν ἐν ταῖς ἑξῆς αὐτῆς μοίραις καὶ αὐτὸς δορυφορούμενος παρά τε τοῦ Κρόνου ὄντος ἐν τῷ ἰδίῳ οἴκῳ καὶ Ἑρμοῦ, ἀμφοτέρων ὄντων ἐπὶ ἑῴας ἀνατολῆς. ἐπισημαντέον δὲ ὅτι καὶ ἡ Σελήνη ἔμελλε συνάπτειν λαμπρῷ τινι τῶν ἀπλανῶν τῷ ἐπὶ τῆς κ′ μοίρας· οὐ γὰρ μόνον 〈ἐπὶ τῶν πλανωμένων ἀστέρων τὴν συναφὴν τῆς Σελήνης δεῖ σκοπεῖν ἀλλὰ καὶ τῶν ἀπλανῶν〉. Εὐμεγέθης δὲ καὶ ἀνδρεῖος καὶ εὔχαρις ἐγένετο διὰ τὸ τὰ δύο φῶτα κεκεντρῶσθαι μάλιστα ἐπὶ τοῦ ὡροσκόπου καὶ ἐν ἀνθρωποειδεῖ καὶ ἀρρενικῷ εἶναι ζῳδίῳ.

159 φρόνιμος 〈δὲ〉 καὶ πεπαιδευμένος καὶ βαθὺς ὑπῆρχε διὰ τὸ τὸν Ἑρμῆν ἐπὶ ἑῴας φάσεως μετὰ Κρόνου ἐν τῷ ιβ′ ζῳδίῳ τυγχάνειν καὶ δορυφορεῖν τὸν Ἥλιον. καὶ ἐκ νέας ἡλικίας τοιοῦτος ἀπετελέσθη διὰ τὴν φάσιν· ἀεὶ γὰρ αἱ μὲν ἑῷοι ἀνατολαὶ ἐκ νεότητος ποιοῦσιν, αἱ δὲ ἑσπέριοι ἐπὶ προβάσεως δηλοῦσι τὰς πράξεις. Δεῖ δὲ σκοπεῖν καὶ τοῦ κατὰ κορυφὴν τόπου τὸν κύριον εἰ καλῶς κεῖται καὶ ὁρᾷ τὸν τόπον· ἀνατολικὸς γὰρ ὢν ἐπισήμους καὶ ἐμπράκτους καὶ δυσκαταγωνίστους ποιεῖ καὶ ἑσπέριος δὲ εἰ ᾖ καλῶς κείμενος ὥσπερ ἐπὶ τοῦ προκειμένου θέματος (ὁ κύριος τοῦ Σκορπίου Ἄρης καὶ ἀκάκωτος ὢν ἐν Ἰχθύσι τῷ ἰδίῳ τριγώνῳ καὶ ταῖς ἰδίαις μοίραις καὶ ὁρῶν τὸν κατὰ κορυφὴν τόπον), ἐὰν δὲ κακῶς κεῖται ὁ τοῦ κατὰ κορυφὴν τόπου κύριος τὰ ἐναντία ποιεῖ. ἐὰν δέ ποτε οἱ τῶν ἀχρηματίστων τόπων δεσπόται ἐπὶ τῶν χρηματιστικῶν τόπων τύχωσι, μετριότητα βίου δηλοῦσιν· τὸ γὰρ δοξαστικὸν καὶ μεγαλόφρον καὶ δωρητικὸν καὶ ἀνυστικὸν τοῦ προκειμένου διαθέματος ὁ τοῦ Διὸς παρέσχεν ὢν ἐν τῷ ὡροσκόπῳ καὶ δορυφορῶν τὸν Ἥλιον καὶ ὁμόκεντρος ὢν τῇ Σελήνῃ. ἡ δὲ αἰτία τοῦ πολλοὺς ἀντιδίκους καὶ ἐπιβούλους ἐσχηκέναι ἐγένετο ἐκ τοῦ τὰ δύο φῶτα δύναμιν περιέχοντα ἐμπεριέχεσθαι ὑπὸ τῶν δύο κακοποιῶν, τοῦ μὲν Κρόνου ὄντος ἐπὶ τῆς ἑῴας ἀνατολῆς καὶ δορυφορίας, τοῦ δὲ Ἄρεως ἐπὶ τῆς ἑσπερίας. τὸ δὲ περιγενέσθαι τὸ ἐχθρὸν τῶν τοιούτων συνέβαινε μάλιστα διὰ τὸν Ἑρμῆν ἐν Κρόνου οἴκῳ ὄντα μετὰ Κρόνου καὶ ἐν τῷ ιβ′ τυγχάνειν ἀμφοτέρους. Τὸ δὲ τιμᾶσθαι αὐτὸν καὶ προσκυνεῖσθαι παρὰ πάντων συνέβη διὰ τὸ τὸν τοῦ Διὸς ἀστέρα ἐπίκεντρον ὄντα δορυφορεῖν τὸν Ἥλιον· ὁ γὰρ ἀεὶ οὕτως δορυφορῶν τὸν Ἥλιον καὶ τὴν Σελήνην ποιεῖ ὑπὸ τῶν ὁμοτίμων ἢ καὶ κρειττόνων δοξάζεσθαι καὶ δορυφορεῖσθαι καὶ προσκυνεῖσθαι, καὶ τὸ εὐεργετικὸν δὲ ἔσχεν διὰ τὸν Δία οὕτως τυχόντα.

160

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δὲ καὶ πολλοὺς οὕτως εὐεργετεῖν καὶ ὑπὸ πολλῶν, ὡς ἔφην, προσκυνεῖσθαι συνέβη διὰ τὴν τοῦ Ἡλίου καὶ 〈τῆσ〉 Σελήνης στάσιν ἐπίκεντρον δορυφορεῖσθαι οἰκείως παρὰ τῶν ε πλανωμένων· πάντοτε γὰρ Ἥλιος 〈ἢ〉 καὶ Σελήνη ἢ καὶ ἀμφότεροι μάλιστα περὶ τὰ πρακτικὰ κέντρα τυχόντες (τουτέστι τὸ ὡροσκοπικὸν ἢ τὸ μεσουράνημα) καὶ κατὰ τρόπον ὑπὸ πάντων τῶν ἀστέρων δορυφορούμενοι ποιοῦσι τοὺς ἐπὶ τοιαύτης καταστάσεως γεννωμένους βασιλεῖς παμπόλλων ἐθνῶν κρατοῦντας. Ἑρμῆς δὲ καὶ Κρόνος ἐν τῷ ιβ′ τυχόντες ἐπὶ ἑῴας ἀνατολῆς καὶ δορυφοροῦντες τὸν Ἥλιον ποιοῦσι φρόνιμον, πεπαιδευμένον καὶ μᾶλλον οὐκ ἀγαθοθελῆ ἀλλὰ δολερόν. Τὸν δὲ τοιοῦτον συνέβη μιᾷ γυναικὶ συζευχθῆναι ἀπὸ παρθενίας οὐ διὰ τὴν Ἀφροδίτην ἐνταῦθα, ἀλλὰ διὰ τὴν Σελήνην ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου φερομένην. καθολικῶς δέ σοι νοείσθω ἐπὶ παντὸς θέματος, ἐπὰν ἡ Ἀφροδίτη ἐπί τινος κέντρου τύχῃ ἢ ἐπαναφορᾶς, τῇ δὲ Ἀφροδίτῃ ἡ Σελήνη συναφὴν ποιῆται καὶ ἑτέροις ἀστράσι συμπαρατετευχόσι τῇ Ἀφροδίτῃ ἢ καὶ ἐπιμαρτυροῦσιν αὐτῇ, τοὺς γάμους περιποιεῖ τῷ οὕτω γεννωμένῳ, ἐὰν δὲ μόνη ἡ Σελήνη τῇ Ἀφροδίτῃ τὴν συναφὴν ποιῆται, μονογαμίας ἐστὶ δηλωτική, ἐὰν δὲ καὶ ἡ Σελήνη μήτε τῇ Ἀφροδίτῃ συνάπτῃ μήτε μήν τινι τῶν συνόντων αὐτῇ ἢ καὶ συμμαρτυρούντων, ἐπὶ φάσιν δὲ φέρηται συνοδικὴν ἢ καὶ πανσεληνιακήν, αὐτὴ δὲ ἡ Ἀφροδίτη σύν τινι ἀστέρι παρῇ, καὶ οὕτω μονογάμους ποιεῖ ὥσπερ ἐπὶ τῆς προκειμένης γενέσεως.

161 Καὶ ὁ τῆς μοναδελφίας τρόπος τῷ οὕτω γεννωμένῳ κατὰ τὸ ὅμοιον ἐκ τῆς συναφῆς τῆς Σελήνης ἀποδειχθήσεται· ἡ γὰρ Σελήνη μόνῳ τῷ τοῦ Διὸς συνῆψε μέχρι τῆς πρὸς τὸν Ἥλιον 〈συνοδικῆσ〉 φάσεως. εἰ δὲ καὶ πλείοσι τὴν συναφὴν ἐπεποίητο ἤτοι κατὰ κόλλησιν ἢ καὶ ἐπιμαρτύρησιν, καὶ πλείονας ἂν ἀδελφοὺς εἶχεν· ὅσοι γὰρ ἔχουσιν ἐπὶ γενέσεως τὴν Σελήνην μέχρι τινὸς φάσεως συνάπτουσάν τισιν ἀστράσι, τοσούτους ἀδελφοὺς ἕξουσιν οἱ οὕτω γεννώμενοι. νοείσθω οὖν σοι καὶ τοῦτο ὡς κατὰ τὴν τῆς Σελήνης συναφὴν τῶν μὲν ἀγαθοποιῶν διδόντων ἀδελφούς, τῶν δὲ κακοποιῶν παραιρουμένων, καὶ οἱ μὲν ἀγαθοποιοὶ μερισταὶ ἀγαθῶν ἀδελφῶν γίνονται ἐπὶ τῶν κέντρων ἢ καὶ ἐπὶ τῶν ἀναφορῶν φανέντες ἐπειδὰν τοῖς φωστῆρσι οἰκείως συμπαρατύχωσιν, οἱ δὲ κακοποιοὶ παραιρέται γίγνονται ὅταν καὶ αὐτοὶ ἀνοικείως τοῖς φωστῆρσι συμπαρατύχωσιν. ἐπιβλεπτέον δὲ καὶ τὰς τῶν ζῳδίων διαφορὰς ἐπειδήπερ ἐὰν τύχῃ δίσωμα ἢ τροπικὰ ἢ καὶ πολύσπερμα τὰ τὸν ἀδελφικὸν λόγον παρέχοντα πολυαδελφίας γίγνονται αἴτια. διὰ τί δὲ οὐχὶ ἄρρενα ἀδελφὸν δέδωκεν ἡ Σελήνη συνάπτουσα τῷ τοῦ Διὸς ἀρρενικῷ ὄντι; διότι ὁ Ἥλιος ὡροσκοπῶν ἐν ἀρρενικῷ ζῳδίῳ καὶ τὴν συναφὴν τῆς Σελήνης ἀποδεχόμενος ὡς ἐπὶ τὸ πλεῖστον ἀρρένων σπαναδελφίας αἴτιος γίνεται. Τὸ μὲν οὖν ἄτεκνον τοῦτον γεγενῆσθαι ἡ τοῦ Ἡλίου περὶ τὸ ὡροσκοποῦν στάσις ἀπετέλεσεν· ἀεὶ γὰρ ὁ Ἥλιος ἐπὶ τῶν ἀναφορῶν χρηματίσας ἀτεκνίας αἴτιος γίνεται. διὰ τί δὲ ἐν προσκρούσει γέγονε πρὸς τοὺς συγγενεῖς; διὰ τὴν τοῦ Ἑρμοῦ μετὰ Κρόνου στάσιν.

162 τίς δ’ ἡ αἰτία τοῦ τὸν τοιοῦτον υἱοποιηθῆναι; ὁ τοῦ Διὸς ὁμόκεντρος τῇ Σελήνῃ φανεὶς ἐν α′ ζῳδίῳ. πόθεν δὲ αὐτῷ αἴτιον ἐγίνετο τοῦ ὕδρωπος καὶ δυσπνοίας καὶ 〈τοῦ〉 θανάτῳ κακῷ μεταστῆναι τοῦ βίου; διότι τῶν κακοποιῶν ἐμπεριεχόντων τὰ δύο φῶτα, πάντων τῶν ἀστέρων ἐν καθύγροις ζῳδίοις τὴν στάσιν ἐσχηκότων, τοῦ δυτικοῦ ἐν χερσαίῳ ζῳδίῳ ὑπάρχοντος καὶ ὑπὸ τῶν κακοποιῶν ἀνὰ σχῆμα ἐμπεριεχομένου, εἴποιμεν ἂν ὅτι ἐκ τῶνδε τὸ αἴτιον τοῦ ὕδρωπος καὶ τὸ τῆς δυσπνοίας πρόδηλον γενέσθαι· ἀεὶ γὰρ οἱ φθοροποιοὶ ἐμπεριέχοντες τὸν Ἥλιον ἢ καὶ Σελήνην ἢ καὶ ἀμφοτέρους κατὰ τὰ κέντρα κακοθανασίας αἴτιοι γίνονται. Οὐ μόνον δὲ δεῖ ταῦτα σκοπεῖν, ἀλλὰ καὶ τὴν τριταίαν καὶ ἑβδομαίαν καὶ τεσσαρακοσταίαν ἡμέραν τῆς ἐκτροπῆς, ὥσπερ ἐπὶ τῆς προκειμένης γενέσεως ἐν τῇ τεσσαρακοσταίᾳ ἡμέρᾳ εὑρίσκεται 〈ἡ〉 Σελήνη Καρκίνῳ, ὁ δὲ Ἄρης Κριῷ, καὶ συνέβη τοὺς δύο κακοποιοὺς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁρᾶν τὴν Σελήνην, Κρόνον μὲν ἐκ διαμέτρου, Ἄρεα δὲ ἐκ δεξιοῦ τετραγώνου· καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦτο οὖν κακοθανασίας αὐτῷ αἴτιον γέγονεν. καὶ οὐ μόνον δεῖ τὴν Σελήνην παρατηρεῖν ἐν ταύταις ταῖς ἡμέραις ἀλλὰ καὶ τοὺς ἄλλους ἀστέρας πῶς κεῖνται ὡς ἐπὶ γενέσεως. Πόσους δ' ὁ τοιοῦτος πληρώσας ζωτικοὺς χρόνους τελευτήσει; αὕτη γὰρ ἀφέτης γίγνεται ἐπὶ τῆς τοῦ ὡροσκόπου μοίρας εὑρεθεῖσα, καὶ ὅσαι μοῖραι τοῦ ἀναφορικοῦ ἀπ' αὐτῆς ἕως τῆς τετραγώνου πλευρᾶς (τουτέστι Ταύρου μοίρας α′) τοσαῦτα ἔτη βιώσας τελευτήσει, συνάπτουσα δὲ κακοποιοῖς ἐν ταῖς μεταξὺ μοίραις ἢ καὶ τῷ Ἡλίῳ κλιμακτῆρας ποιεῖ. Τοσαῦτα μὲν ὡς ἐν συντομίᾳ ἐκ τῶν παρὰ τοῖς ἀρχαίοις εἰρημένων ἐκτίθεται ὁ Ἀντίγονος περὶ τῆς πρώτης 〈γενέσεωσ〉 · ἑξῆς καὶ δευτέρας μνημονεύει οὕτως.

163 ἔστω τινὰ ἔχειν τὸν Ἥλιον ἐν Κριῷ περὶ μοίρας ιθ ὁρίοις Ἑρμοῦ, Σελήνην ἐν Διδύμοις μοίρᾳ ιε′ ὁρίοις Ἀφροδίτης, Κρόνον Ζυγῷ περὶ μοίρας κ ἀκρόνυχον, Δία Ὑδροχόῳ μοίρᾳ ς′ ὁρίοις Ἑρμοῦ ἐπ' ἀνατολῆς ἑῴας, Ἄρην δὲ ἐν Κριῷ περὶ μοίρας ιε ὁρίοις Ἑρμοῦ, Ἀφροδίτην ὁμοίως Κριῷ περὶ μοίρας ε ὁρίοις Διός, Ἑρμῆν δὲ ἐν Κριῷ περὶ μοίρας ς ὁρίοις Διός, τῶν τριῶν ἔτι ὑπὸ δύσιν ὄντων, ὁ δὲ ὡροσκόπος Καρκίνῳ μοίρᾳ κδ′· οἰκοδεσποτήσει τῆς 〈γενέσεωσ〉 , φησίν, ὁ Ἄρης. ἡ δὲ τριταία τῆς Σελήνης ἐν Καρκίνῳ ἔσται, ἡ ἑβδομαία ἐν Παρθένῳ, ἡ δὲ τεσσαρακοσταία ἐν Σκορπίῳ. Ὁ οὕτως ἔχων τοὺς ἀστέρας ἔσται προφανὴς ἐκ προφανῶν, ἐξουσιαστικὸς καὶ πολλοὺς κολάζων, πολυχρήματος διὰ τὸ τρίγωνον (Κρόνου καὶ Διὸς καὶ Σελήνης ἐν τῷ αὐτῷ ὄντων), ἀδίκως δὲ μὴ κατηγορούμενος διὰ τὴν τοῦ Ἄρεως καὶ Ἑρμοῦ στάσιν ἐπὶ τοῦ μεσουρανήματος ἀμφοτέρων ὄντων ὑπαύγων, προφανὴς δὲ διὰ τὸ τοὺς δ ἀστέρας ἐν τῷ μεσουρανήματι τυγχάνειν καὶ τὴν προγενομένην σύνοδον· οὐ γὰρ μικρὰ δύναμις τυγχάνει τῇ προγενομένῃ συνόδῳ ὁπόταν κατὰ κέντρον τύχῃ, μάλιστα τό τε ὡροσκοποῦν καὶ μεσουράνημα.

164 πρὸς δὲ τὰς θηλείας μίξεις ἀνεπίστροφος τυγχάνει καὶ ῥυπαρὸς πρὸς τὰς ἀρρενικὰς μάλιστα μὲν διὰ 〈τὸ〉 τὸν Ἄρεα μετὰ τῆς Ἀφροδίτης καὶ Ἑρμοῦ τὴν στάσιν ἔχειν καὶ ἐν Κριῷ ἀσελγεῖ ὄντι καὶ ὁρᾶσθαι καὶ τὴν Ἀφροδίτην ἐκ διαμέτρου ὑπὸ Κρόνου, προσέτι τῷ πάντας αὐτοὺς τοὺς ἀστέρας ἐν ἀρσενικοῖς ζῳδίοις εἶναι. ὁ γὰρ Ἥλιος ἐπὶ τοῦ ἰδίου ὑψώματος ὢν καὶ ἐπὶ τοῦ μεσουρανήματος καὶ δορυφορούμενος παρά τε τῶν προανηνεγμένων αὐτοῦ ἀστέρων ἔν τε τῷ αὐτῷ ζῳδίῳ καὶ τοῦ Διὸς ἐν Ὑδροχόῳ (ἀεὶ γὰρ δορυφοροῦσιν ἕως τετραγώνου στάσεως τῆς προανηνεγμένης) οὕτως λαμπρὸν τυχόν, ὡς ἔφην, καὶ ἔνδοξον σφόδρα τὸ θέμα ἀπετελέσατο. ὁμοίως καὶ ἡ Σελήνη πλήθουσα ἐν τριγωνικῷ σχήματι πρός τε Κρόνον καὶ Δία εὐδαίμονα καὶ πολυχρήματον ἀπειργάσατο καὶ τῇ πατρίδι πολλὰ ἀναθήματα καὶ δωρεὰς παρέχοντα. μὴ λαθέτω δέ σε μηδὲ τοῦτο ὡς τῶν ἀστέρων ὄντων πάντων ἢ τῶν πλείστων ἐν ἰδίοις ζῳδίοις ἢ τόποις συμβαίνει ποιεῖν ἀξιωματικοὺς καὶ ἐπισήμους ἄνδρας. οἱ δὲ ζωτικοὶ τούτου χρόνοι γνωρίζονται ἀπὸ τῆς τοῦ Ἡλίου ἀφέσεως καὶ τῆς τετραγώνου αὐτοῦ στάσεως διὰ τὸ εἶναι αὐτὸν ἐν ἐπικαίρῳ τόπῳ καὶ τὴν προγενομένην σύνοδον ἐν τῷ αὐτῷ ζῳδίῳ γεγενῆσθαι. Οὕτω μὲν οὖν χρὴ σκέψασθαι τὰς διδομένας γενέσεις· καὶ τρίτης δὲ ἄλλης γενέσεώς τινος μνημονεύει οὕτως, ὅν φησι ἐν ὀλέθρῳ 〈τῷ〉 τε ἰδίῳ καὶ τῶν πατέρων γεγενῆσθαι περὶ κε′ ἔτος.

165 τὸν μὲν Ἥλιον καὶ τὸν ὡροσκόπον εἶχε Κριῷ, Σελήνην Ταύρῳ, Κρόνον Κριῷ μετὰ ἡμέρας τρεῖς ἐπὶ ἑῴας ἀνατολῆς τὴν φάσιν ποιούμενον, Ἑρμῆν ὁμοίως ἐν Κριῷ ἐπὶ ἑῴας δύσεως, Δία ἐν Ἰχθύσι ἐπὶ ἑῴας ἀνατολῆς, Ἀφροδίτην ἐν Ἰχθύσι ἐπὶ στηριγμοῦ ἑῴου, Ἄρεα Ὑδροχόῳ ἐπὶ ἀνατολῆς ἑῴας, ὁ κλῆρος τῆς τύχης εἰς Ταῦρον πίπτει· οἰκοδεσποτήσει, φησίν, ὁ τοῦ Ἄρεως ἀστὴρ τῆς γενέσεως. ἡ τριταία τῆς Σελήνης Διδύμοις, ἡ ἑβδομαία ἐν Λέοντι, ἡ τεσσαρακοσταία ἐν Ζυγῷ. Ὁ τοιοῦτος ἐκ μεγίστου γένους καὶ περιφανοῦς, λέγω δὴ πατρὸς καὶ μητρός, ἐνδοξοτάτων μέν, βιαιοθανατησάντων δέ· οὗτος γὰρ ἐλπίδων μεγάλων γενόμενος καὶ δοκῶν ἤδη ἐπὶ βασιλείαν ἐλθεῖν, κακόβουλος γενόμενος 〈περὶ τὸ κε′ ἔτος ἐσφάλη καὶ ἐν κατηγορίᾳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς τὸν βασιλέα γενόμενοσ〉 ἀνηρέθη μετά τινος πρεσβύτου τῶν τοῦ γένους αὐτοῦ (ἐν διαβολῇ καὶ αὐτοῦ γενομένου δι᾽ αὐτόν) πρὸς ταπεινοὺς ἀπηλλαγμένων. τὸ μὲν οὖν προφανῆ αὐτὸν γεγενῆσθαι διὰ τὸ τὸν Ἥλιον ἐν τῷ ὡροσκόπῳ εἶναι καὶ δορυφορεῖσθαι, τὸ δὲ κακόβουλον γεγενῆσθαι διὰ 〈τὸ〉 τὸν τοῦ Ἑρμοῦ καὶ Κρόνου ἐν Ἄρεως οἴκῳ τετυχέναι καί τινα τῶν τοῦ γένους ἀπολέσθαι διὰ τὸ αὐτὸ σχῆμα, τὸ δὲ καὶ αὐτὸν κατακοπῆναι διὰ τὸ τὴν Σελήνην εἶναι ἐν Ταύρῳ μελεοκοπουμένῳ ζῳδίῳ καὶ ἀκτινοβολεῖν τὸν Ἄρεα ἐπὶ τῆς ἐπαναφορᾶς τοῦ μεσουρανήματος, τὸ δὲ καὶ ἐξ ἀνθρώπου εἶναι τὴν βλάβην διὰ τὸ τὸν Ἄρεα εἶναι ἐν ἀνθρωποειδεῖ ζῳδίῳ· ἐρωτικὸς μὲν διὰ τὴν Ἀφροδίτην καὶ τὸν Δία, φιλομόναχος δὲ διὰ τὸν τοῦ Ἄρεως ὄντα ἐπὶ τῆς ἐπαναφορᾶς τοῦ μεσουρανήματος καὶ τὸν Ἑρμῆν ὄντα ἐν οἴκῳ τοῦ Ἄρεως, τὸ δὲ περὶ κε′ ἔτος τεθνάναι αὐτὸν κακῶς εἶπε διὰ τὴν ἀναφοράν (οἶμαι τοῦ Ταύρου καὶ τοῦ Ὑδροχόου) τὴν αὐτὴν οὖσαν. Ἐφεξῆς δὲ καὶ ἑτέρων γενέσεων μνημονεύσας τοιουτοτρόπως σκέπτεται, ἐν αἷς φησιν ὅτι μονογενῶς ἡ Ἀφροδίτη ἀεὶ ἀποκεκλικυῖα τοῦ κατὰ κορυφὴν τόπου ἐπὶ τῶν ἀνδρῶν ἀκαταστασίαν ἐν τοῖς κατὰ γυναικῶν ποιεῖ, ὁ δὲ τοῦ Ἄρεως ὁμοίως μονογενῶς καὶ αὐτὸς ἀποκεκλικὼς τοῦ κατὰ κορυφὴν ἐπὶ τῶν γυναικῶν ἀκαταστασίαν ἐν τοῖς κατ᾽ ἀνδρῶν ποιεῖ.

166 φησὶ δὲ ὅτι πάντοτε ἡ Σελήνη ἢ καί τινες τῶν πλανωμένων ἀστέρων τυχόντες ἐπί τινος κέντρου προσθετικοὶ τῷ μήκει καὶ πλάτει μετά τινος τῶν λαμπρῶν ἀπλανῶν, οἷον Λέοντος τοῦ ἐπὶ τῆς καρδίας τοῦ καλουμένου Βασιλίσκου περὶ μοῖραν ε′, ποιοῦσι τὰς τύχας μείζονας καὶ ἐνδοξοτάτας, τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῆς Ὑδροχόου μοίρας κ′ ποιοῦσιν. καὶ ἐπὶ τῆς ιε′ μοίρας τοῦ Ταύρου παραβάλλουσα ἡ Σελήνη καὶ τῷ πλάτει πλουσίους, οἰκονομικοὺς ποιεῖ καὶ μεγιστᾶνας, ἐπὶ δὲ τῆς κζ′ μοίρας τυχοῦσα ὁμοίως ποιεῖ λαμπροὺς ἄρχοντας, χρηματιστικοὺς δὲ πάντας καὶ εὐσεβεῖς, τῷ δὲ λαμπρῷ ἀστέρι παραβάλλουσα τῷ ἐπὶ τῆς λ′ μοίρας ποιεῖ ἄρχοντας ἢ ναυάρχους λαμπρούς. τὸ δὲ ὅμοιον γίνεται καὶ ἐπὶ τῆς ζ′ μοίρας τοῦ Σκορπίου· ποιεῖ φίλους βασιλέων ἢ διαδόχους ὠμοὺς καὶ παραβούλους καὶ ἀποδημητικούς, στρατιωτικούς. οὕτως οὖν, φησίν, καὶ ἐπὶ τῶν ἄλλων ἀπλανῶν ἀστέρων καταστοχαστέον. Πάλιν δὲ λέγει ὅτι οἱ ἔχοντες τὴν Σελήνην ἀγαθοποιοῖς συνάπτουσαν, 〈τὴν〉 δὲ ἀπόρροιαν ἀπὸ λαμπρῶν ἀστέρων ποιουμένην, οὗτοι ὑποτάσσονται 〈τοῖσ〉 ἔχουσι τὴν Σελήνην παραβάλλουσαν λαμπρῷ τινι τῶν κατὰ ζῴδιον. καὶ αὐτοὶ οὔκ εἰσι βιαιοθάνατοι· εἰσὶ γάρ τινες ἐξυπηρετούμεναι μοῖραι, καθὼς ὁ βασιλεὺς Νεχεψὼς ἐν τῇ καθολικῇ λέγει. ἐπὶ δὲ τῶν ἀδόξων γενέσεων εὑρήσεις τὴν Σελήνην ἀφαιροῦσαν τῷ μήκει καὶ τῷ πλάτει καὶ τῷ φωτὶ καὶ πρὸς κακοποιοὺς φερομένην· οὕτω γὰρ ποιεῖ τοῖς τε σώμασιν ἀσθενεῖς καὶ ταῖς ψυχαῖς προσκοπτικούς. Καὶ ἐκ τῶν Σαλμεσχοινιακῶν δὲ βιβλίων ἀναλεξάμενος ὡς ἔστιν ἐκεῖ οὕτως λέγει.

167 σκοπητέον δὲ καὶ τοὺς δεκανοὺς ἐπειδήπερ ὁ μὲν πρῶτος τοῦ ὡροσκόπου χρηματίζει περὶ τοκετοῦ, ὁ δὲ ἀπὸ τούτου δεκανὸς κη′, ὃς μεσουρανεῖ πρωΐ, χρηματίζει περὶ βίου, ὁ δὲ κε′, ὃς μεσουρανεῖ μεσημβρίαν, χρηματίζει περὶ ἀρρωστίας, ὁ δὲ 〈ι〉 θ′, ὃς ἀνατέλλει ἐν τῷ ἀπηλιώτῃ ὀψέ, χρηματίζει περὶ σίνους, ὁ δὲ ιζ′, ὃς ἀνατέλλει ἐν τοῖς λιβυκοῖς, χρηματίζει περὶ γάμου καὶ γυναικῶν, ὁ δὲ η′, Ἅιδου θύρα, χρηματίζει περὶ τέκνων, ὁ δὲ ἐν τῷ ὑπὸ γῆν χρηματίζει περὶ θανάτου. οὗτοί εἰσιν οἱ τόποι οἷς χρῶνται ἐπὶ πάσης γενέσεως οἱ παλαιοὶ Αἰγύπτιοι. τοσαῦτα μὲν οὖν ἐκκείσθω περὶ ψυχῆς καὶ βίου καὶ προκοπῆς, ἑτέρου δὲ σκέμματος κατὰ τὸ ἑξῆς ὁμοίως ἀρξώμεθα. 〈ιθ′〉 Περὶ πράξεως ποιότητος Λαμβάνεται δὲ καὶ γνωρίζεται ἡ ποιότης τῆς πράξεως ἀπὸ τοῦ Ἡλίου καὶ τοῦ μεσουρανοῦντος ζῳδίου. σκοπεῖν γὰρ δεήσει τὸν τὴν φάσιν ἑῴαν ἔγγιστα πρὸς Ἥλιον πεποιημένον καὶ τὸν ἐπὶ τοῦ μεσουρανήματος ὅταν μάλιστα τὴν συναφὴν τῆς Σελήνης ἐπέχῃ, κἂν μὲν ὁ αὐτὸς ᾖ ἀστὴρ 〈ὁ〉 ἀμφότερα ἔχων τὰ εἰρημένα τούτῳ μόνῳ προσχρηστέον, κἂν μὲν εὑρεθῇ δὲ εἷς ἔχων ἀμφότερα ἀλλὰ πρὸς ἕνα μόνον ἔχῃ ὁμοίως αὐτῷ χρησώμεθα, ἐὰν δὲ ἕτερος ᾖ ὁ τὴν ἔγγιστα φάσιν πεποιημένος καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἕτερος ὁ τῷ μεσουρανήματι ἢ καὶ τῇ Σελήνῃ συνοικειούμενος ἀμφοτέροις χρηστέον τὰ πρῶτα διδόντας τῷ κατ’ ἐπικράτησιν πλείους ἔχοντι ψήφους εἰς τὴν οἰκοδεσποτείαν ἐν τοῖς ε τρόποις. ἐὰν δὲ μηδὲ εἷς εὑρίσκηται μήτε φάσιν ἔχων μήτε ἐπὶ τοῦ μεσουρανήματος, τὸν κύριον αὐτοῦ τοῦ μεσουρανήματος παραληπτέον, πρὸς ἐπιτηδεύσεις μέντοι τὰς κατὰ καιρούς, ἄπρακτοι δὲ οἱ τοιοῦτοι γίνονται.

168 ὁ μὲν οὖν τῆς πράξεως τὴν οἰκοδεσποτείαν λαβὼν ἀστὴρ οὕτω διακριθήσεται, τὸ δὲ ποῖον τῆς πράξεως ἔκ τε τῆς ἰδιοτροπίας τῶν γ ἀστέρων Ἄρεως, Ἀφροδίτης, Ἑρμοῦ καὶ τῆς τῶν ζῳδίων ἐν οἷς ἂν τύχωσι παραπορευόμενοι, καὶ ἔτι ἐκ τῆς ἐπιπλοκῆς τῶν ἄλλων ἀστέρων πρὸς τοὺς γ Ἄρην, Ἀφροδίτην, Ἑρμῆν. Ταὐτὰ σχεδόν φησι Δωρόθεος λέγων οὕτως· δίζεο καὶ πρῆξιν τίς τ’ ἀνέρος ἐστὶν ἑκάστου. τῶν μέντοι κέντρων προτάττει τὸ μεσουράνημα, β′ τὸ ὑποχθόνιον, τρίτον τὸν ὡροσκόπον, δ′ τὸν κλῆρον τῆς τύχης· τοῦ γὰρ δύνοντος οὐ μνημονεύει. καὶ ὅταν, φησίν, τοὺς τόπους τούτους πάντας ἐρήμους εὕρῃς ἀπὸ τῶν τριῶν ἀστέρων Ἄρεως, Ἀφροδίτης, Ἑρμοῦ, τότε σκέπτου τίς τὴν συναφὴν τῆς Σελήνης ἔσχεν ἐν τῇ γενέσει, ἢν δὲ καὶ ταύτην ἔρημον εὕρῃς σκόπει τίς πρὸς τὸν Ἥλιον ἔσχεν. ἡγοῦμαι ἐνταῦθα μὴ δεῖν τὸν συνάπτοντα τῷ Ἡλίῳ λαμβάνειν (ὕπαυγος γὰρ ἔσται), ἀλλὰ μᾶλλον 〈τὸν〉 τὴν φάσιν τὴν ἑῴαν ἔγγιστα πρὸς αὐτὸν πεποιημένον ὥς φησι καὶ Πτολεμαῖος. ἐὰν δὲ καὶ οὕτω μὴ εὕρῃς τότε τὸ ϛ′ ζῴδιον ἀπὸ τῆς ὥρας, τελευταῖον δὲ πάντων τὸ δεύτερον ζῴδιον ὅ ἐστι τρίγωνον ἀριστερὸν τῷ μεσουρανήματι. χρὴ οὖν σκοπεῖν τά τε πρῶτα ἐν τούτοις καὶ τὸν ἐνδύναμον τῶν γ ἀστέρων ἐπικείμενον καὶ τούτῳ προσνέμειν τὸ ποιὸν τῆς πράξεως. Ὁ μὲν οὖν Ἑρμῆς τὸ πράσσειν παρέχων ποιεῖ τοὺς ἀνὰ λόγον ἔχοντας τὸ ζῆν καὶ ἐμπόρους, ἂν δὲ καὶ ὁ τοῦ Κρόνου αὐτῷ συμπαρῇ ἀλλοτρίων οἰκονόμους, ὀνειροκρίτας ἢ ἐν ἱεροῖς ἀναστρεφομένους προφάσει μαντειῶν καὶ ἐνθουσιασμῶν, ὁ δὲ τοῦ Διὸς νομογράφους καὶ ῥήτορας, σοφιστάς.

169 Ὁ δὲ τῆς Ἀφροδίτης τὸ πράσσειν παρέχων ποιεῖ τοὺς παρ’ ὀσμαῖς ἀνθῶν ἢ μύρων ἢ οἴνοις ἢ χρώμασιν ἢ βαφαῖς τὰς πράξεις ἔχοντας, κἂν μὲν ὁ τοῦ Κρόνου μαρτυρήσῃ ἐμπόρους τῶν πρὸς ἀπόλαυσιν καὶ κόσμον, γόητας δὲ καὶ φαρμακοὺς καὶ προαγωγούς, ἐὰν δὲ ὁ τοῦ Διὸς ἀθλητάς, στεφανηφόρους, τιμῶν καταξιουμένους, ὑπὸ θηλυκῶν προσώπων προβιβαζομένους. Ὁ δὲ τοῦ Ἄρεως μετὰ μέντοι τοῦ Ἡλίου σχηματισθεὶς τοὺς διὰ πυρὸς ἐργαζομένους ποιεῖ οἷον μαγείρους, χωνευτάς, χαλκέας, χωρὶς δὲ τοῦ Ἡλίου τοὺς διὰ σιδήρου οἷον τέκτονας, ναυπηγούς, γεωργούς, λατόμους, κἂν μὲν ὁ τοῦ Κρόνου αὐτῷ μαρτυρήσῃ ναυτικούς, ὑπονομευτάς, θηριοτρόφους, περιχύτας, ἐὰν δὲ ὁ τοῦ Διὸς στρατιώτας, τελώνας, πορθμέας, πανδοκέας. Πάλιν δὲ δύο τῶν τὰς πράξεις παρεχομένων εὑρεθέντων ἐὰν μὲν ὁ τοῦ Ἑρμοῦ καὶ ὁ τῆς Ἀφροδίτης λάβωσι τὴν οἰκοδεσποτίαν, ἀπὸ μουσικῶν καὶ ὀργάνων καὶ μελῳδιῶν ἢ ποιημάτων καὶ ῥυθμῶν ποιοῦσι τὰς πράξεις, καὶ μάλιστα ὅταν τοὺς τόπους ὦσιν ἀμφιλαχόντες ἀποτελοῦσι θυμελικούς, ὑποκριτάς, ὀρχηστάς, ὀργανοποιούς, χορδοστρόφους, ὑφάντας, ζωγράφους, κηροπλάστας, ἐὰν δὲ καὶ ὁ τοῦ Κρόνου πάλιν αὐτοῖς συσχηματισθῇ ποιεῖ αὐτοὺς καὶ τὰ γυναικεῖα κόσμια ἐμπορευομένους, ἐὰν δὲ ὁ τοῦ Διὸς δικολόγους, λογιστηρίων προϊσταμένους, διδασκάλους, ὄχλων προεστῶτας.

170 Ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ καὶ ὁ τοῦ Ἄρεως ἅμα τὴν κυρίαν λάβωσι τῆς πράξεως ποιοῦσιν ἀνδριαντοποιούς, ὁπλουργούς, ἱερογλύφους, ζῳοπλάστας, παλαιστάς, ἰατρούς, χειρουργούς, κατηγόρους, μοιχικούς, κακοπράγμονας, πλαστογράφους, κἂν μὲν ὁ τοῦ Κρόνου αὐτοῖς μαρτυρήσῃ φονέας, λωποδύτας, λῃστάς, ἀπελάτας, ῥᾳδιουργούς, ἐὰν δὲ ὁ τοῦ Διὸς φιλόπλους, φιλομάχους, δραπέτας, πράκτορας, δεινούς, ἀλλοτρίων ὑπεξερχομένους καὶ διὰ τῶν τοιούτων πορίζοντας. Ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης καὶ 〈ὁ〉 τοῦ Ἄρεως ἅμα τὴν οἰκοδεσποτίαν λάβωσι ποιοῦσι μυρουργούς, βαφέας, κασσιτερουργούς, μολυβδουργούς, χρυσοχόους, ἀργυροκόπους, ὁπλορχηστάς, φαρμακοποιούς, ἰατρούς, κἂν μὲν ὁ τοῦ Κρόνου αὐτοῖς μαρτυρήσῃ ἱερῶν ζῴων

θεραπευτὰς ἢ ἀνθρώπων ἐνταφιαστάς, θρηνῳδούς, στωμύλους, τυμβαύλας, ἐνθουσιαστάς, ἐὰν δὲ ὁ τοῦ Διὸς ἱεροπλόκους, οἰωνιστάς, γυναικῶν προϊσταμένους, γάμων ἑρμηνευτὰς καὶ διὰ τῶν τοιούτων ζῶντας ἀπολαυστικῶς ἅμα καὶ ῥιψοκινδύνους. Καὶ τῶν ζῳδίων δὲ ἐν οἷς ἂν ὦσιν οἱ τὸ πράσσειν παρέχοντες αἱ φύσεις καὶ ἰδιοτροπίαι παραλαμβάνονται πρὸς τὸ ποικίλον τῶν πράξεων. τὰ μὲν ἀνθρωποειδῆ συνεργεῖ πρὸς τὰς ἐπιστημονικὰς καὶ περὶ τὴν ἀνθρωπίνην χρείαν, τὰ δὲ τετράποδα πρὸς τὰς μεταλλικὰς καὶ οἰκοδομικὰς καὶ τεκτονικάς, τὰ δὲ τροπικὰ καὶ ἰσημερινὰ πρὸς τὰς ἑρμηνευτικάς, μεταβολικὰς καὶ μετρικὰς καὶ ἰατρικάς, τὰ δὲ χερσαῖα καὶ κάθυγρα πρὸς τὰς ἐν ὑγροῖς ἢ δι’ ὑγρῶν καὶ τὰς βοτανικὰς καὶ ναυπηγικάς, ἔτι δὲ περὶ ταφὰς ἢ ἁλείας.

171 Ἰδίως δὲ καὶ ἡ Σελήνη ὅταν τὸν πρακτικὸν τόπον ἐπισχῇ τὸν ἀπὸ συνόδου δρόμον ποιουμένη σὺν τῷ τοῦ Ἑρμοῦ, ἐν μὲν Ταύρῳ καὶ Αἰγοκέρωτι, Καρκίνῳ ποιεῖ μάντεις, θύτας, λεκανομάντεις, ἐὰν δὲ ἐν Τοξότῃ καὶ Ἰχθύσι νεκυομάντεις καὶ δαιμόνων κινητικούς, ἐν δὲ Παρθένῳ καὶ Σκορπίῳ μάγους, ἀστρολόγους, ἀποφθεγγομένους, προγνώσεις ἔχοντας, ἐν δὲ Ζυγῷ καὶ Κριῷ καὶ Λέοντι θεολήπτους, ἐφορκιστάς, ὀνειροκρίτας. Τὸ μὲν οὖν αὐτῶν τῶν πράξεων εἶδος διὰ τῶν τοιούτων καταστοχαστέον, τὸ δὲ μέγεθος αὐτῶν ἐκ τῆς τῶν οἰκοδεσποτησάντων γνωρίζεται ἀστέρων δυνάμεως. ἀνατολικοὶ γὰρ ὄντες ἢ ἐπίκεντροι ποιοῦσι τὰς πράξεις αὐθεντικάς, δυτικοὶ δὲ ἢ ἀποκεκλικότες τῶν κέντρων ὑποτακτικάς, καὶ ὑπὸ μὲν ἀγαθοποιῶν ὁρώμενοι ἐνδόξους καὶ ἐπικερδεῖς, ὑπὸ δὲ κακοποιῶν ταπεινὰς καὶ ἀδόξους καὶ ἀπερικτήτους, Κρόνου μὲν οὖν ἐναντιουμένου καταψύξεις, Ἄρεως δὲ ῥιψοκινδυνίας. Ἐκκείσθω πάλιν τὰ παρὰ Δωροθέῳ τοιαῦτα οὕτω περὶ κλήρου στρατιᾶς. Ὅσσοι δ’ ἐν στρατίῃσι φιλοπτολέμοισιν ἔσονται τῇδε διδαγμοσύνῃ πεπνυμένος ἐξαγορεύσεις. πρῶτα μὲν ἐκ Φαίνοντος ἀρίθμεε μέχρι Σελήνης, ἐξ ὥρης δὲ μεταῦθις, ἐπὴν δὲ τοιοῦτος ἀριθμός Σκορπίον εἰσαφίκηται ἢ ἐς δέμας Ἀρνειοῖο οἴκους εἰς Ἄρεως ἢ ἀστέρος ἀγκυλομήτεω Αἰγοκέρωτα καὶ Ὑδροχόον, στρατίῃσιν ἔνεσται κεῖνος ἀνήρ.

172 κἂν κέντρον ἔχῃ πτολιπόρθιος Ἄρης λεύσσων ἀγλαὰ φῶτα καὶ ἣν βεβάῃσιν ἐν ὥρῃ αὐγή, εἴσπρηξιν 〈δὲ〉 λάχει βιότοιο μερίζει. οὐ μὴν ἐν στρατίῃ ποτὲ κύδιμος ἔσσεται ἀνήρ εὖτέ νυ μὴ σύγκρασιν ἔχῃ Κρονίδης τε καὶ Ἄρης. 〈κ′〉 Περὶ δούλων Περὶ δούλων σκέπτου τὸν κλῆρον αὐτῶν. οὗτος δὲ λαμβάνεται ἀπὸ Ἑρμοῦ ἐπὶ Σελήνην καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου ἐπὶ ἡμέρας, νυκτὸς ἔμπαλιν. σκόπει οὖν τὸν τόπον εἰς ὃν ἂν πέσῃ ὁ κλῆρος καὶ τοὺς ἐσχηματισμένους ἀστέρας πρὸς αὐτόν· ἀγαθῶν μὲν γὰρ ὁρώντων ἀγαθοὶ καὶ ἐπὶ καλῷ οἱ δοῦλοι ἔσονται, κακῶν δὲ τὸ ἐναντίον. ἄλλοι δὲ ἔλαβον οὕτως τὰ περὶ δούλων· ἀπὸ Ἑρμοῦ λαβόντες ἕως τοῦ τῆς τύχης κλήρου καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου ἐξέβαλον. 〈κα′〉 Περὶ γάμου ἤτοι συναρμογῶν Καὶ ἐνταῦθα τὰ παρὰ Πτολεμαίου πρῶτον ἐκτιθέμεθα. ὥς φησιν, περὶ μὲν τῶν κατὰ νόμους ἀνδρῶν καὶ γυναικῶν συμβιώσεων οὕτω σκεπτέον. ἐπὶ μὲν τῶν ἀνδρῶν ἀφορᾶν δεῖ τὴν Σελήνην αὐτῶν πῶς διάκειται. ἐὰν γὰρ εὑρεθῇ ἐν τοῖς ἀπηλιωτικοῖς τεταρτημορίοις (ἀπηλιωτικὰ δὲ αὐτῆς εἰσι τὰ ἀπὸ συνόδου 〈ἢ καὶ〉 πανσελήνου μέχρι τῆς διχοτόμου) νεογάμους ποιεῖ τοὺς ἄνδρας ἢ νεωτέραις παρ’ ἡλικίαν συμβάλλοντας, ἐὰν δὲ εὑρεθῇ ἐν τοῖς λιβυκοῖς (λιβυκὰ δὲ τὰ ἀπὸ πρώτης διχοτόμου ἕως πανσελήνου καὶ τὰ ἀπὸ δευτέρας ἕως συνόδου) βραδυγάμους ἢ πρεσβυτέραις συνιόντας, εἰ δὲ καὶ ὑπ’ αὐγὰς εἴη καὶ Κρόνῳ συσχηματιζομένη τέλεον ἀγάμους ποιεῖ.

173 ἔπειτα ἐὰν μὲν ἐν μονοειδεῖ ζῳδίῳ ἢ καὶ ἑνὶ τῶν ἀστέρων συνάπτουσα τύχῃ μονογάμους ἀποτελεῖ, ἐὰν δὲ ἐν δισώμῳ ἢ καὶ πολυμόρφῳ ἢ καὶ πλείοσιν ἐν τῷ αὐτῷ ζῳδίῳ τὴν συναφὴν ἐπέχουσα πολυγάμους. κἂν μὲν οἱ τὰς συναφὰς ἐπέχοντες τῶν ἀστέρων ἤτοι κατὰ κολλήσεις ἢ μαρτυρίας ἀγαθοποιοὶ τυγχάνωσι λαμβάνουσι γυναῖκας ἀγαθάς, ἐὰν δὲ κακοποιοὶ τὰς ἐναντίας. Κρόνος μὲν γὰρ ἐπισχὼν τὴν συναφὴν περιποιεῖ γυναῖκας ἐπιπόνους καὶ αὐστηράς,

Ζεὺς δὲ σεμνὰς καὶ οἰκονομικάς, Ἄρης δὲ θρασείας καὶ ἀνυποτάκτους, Ἀφροδίτη 〈δὲ〉 εὐμόρφους καὶ ἐπιχαρίτους, ἱλαράς, Ἑρμῆς δὲ συνετὰς καὶ ὀξείας, ἔτι δὲ ἡ Ἀφροδίτη μετὰ μὲν Διὸς ἢ Κρόνου ἢ μεθ' Ἑρμοῦ βιωφελεῖς καὶ φιλάνδρους καὶ φιλοτέκνους, μετὰ 〈δὲ〉 Ἄρεως μοιχικὰς καὶ ἀστάτους. Ἐπὶ 〈δὲ τῶν〉 γυναικῶν ἀφορᾶν δεῖ τὸν Ἥλιον αὐτῶν ἐπειδήπερ καὶ αὐτὸς ἐν τοῖς ἀπηλιωτικοῖς πάλιν τυχὼν τεταρτημορίοις (τὰ δὲ ἀπηλιωτικὰ ἐνταῦθα πάλιν ἐπὶ τοῦ Ἡλίου τὰ ἀπὸ τοῦ ὡροσκόπου μέχρι τοῦ μεσουρανήματος καὶ ἀπὸ τοῦ δύνοντος μέχρι τοῦ ὑπογείου) ποιεῖ τὰς ἐχούσας αὐτὸν οὕτω διακείμενον ἤτοι νεογάμους ἢ νεωτέροις συμβαλλούσας, ἐν δὲ τοῖς λιβυκοῖς (τοῖς διαμέτροις ἐναντίως δηλονότι τῶν προειρημένων) βραδυγάμους ἢ πρεσβυτέροις παρ' ἡλικίαν ζευγνυμένας, κἂν μὲν ἐν μονοειδεῖ ζῳδίῳ τύχῃ ἢ μεθ' ἑνὸς ἑῴου τῶν ἀστέρων μονογάμους, ἐὰν δὲ ἐν δισώμῳ ἢ πολυμόρφῳ ἢ πάλιν πλείοσιν ἑῴοις συσχηματισθεὶς πολυγάμους, Κρόνου μὲν συσχηματισθέντος τῷ Ἡλίῳ ἐπιπόνους, καθεστῶτας καὶ χρησίμους, Διὸς δὲ σεμνούς, Ἄρεως δὲ ἀστόργους, δράστας, Ἀφροδίτης δὲ καθαρίους καὶ εὐμόρφους, Ἑρμοῦ δὲ βιωφελεῖς, Ἀφροδίτης δὲ μετὰ μὲν Κρόνου νωχελεῖς 〈καὶ ἀσθενεστέρουσ〉 ἐν τοῖς ἀφροδισίοις, μετὰ δὲ Ἄρεως θερμοὺς καὶ καταφερεῖς καὶ μοιχώδεις, μετὰ δὲ Ἑρμοῦ περὶ παῖδας ἐπτοημένους.

174 Διαμένουσι δὲ ἐπίπαν αἱ συμβιώσεις ὅταν ἀμφοτέρων τῶν γενέσεων τὰ φῶτα τύχῃ συμφώνως συσχηματιζόμενα (τουτέστιν ἢ τρίγωνα ἀλλήλοις ἢ ἑξάγωνα), καὶ μάλιστα ὅταν ἐναλλὰξ τοῦτο συμβῇ, πολὺ δὲ πλέον ὅταν ἡ τοῦ ἀνδρὸς Σελήνη τῷ τῆς γυναικὸς Ἡλίῳ. διαλύονται δὲ ἐκ τῶν τυχόντων καὶ ἀπαλλοτριοῦνται τέλεον, ὅταν αἱ προειρημέναι τῶν φώτων στάσεις ἢ ἐν ἀσυνδέτοις ζῳδίοις τύχωσιν ἢ ἐν διαμέτροις ἢ τετραγώνοις. κἂν μὲν οἱ ἀγαθοποιοὶ τοὺς συμφώνους τῶν φώτων συσχηματισμοὺς ἐπιθεωρήσωσιν ἡδείας καὶ προσηνεῖς τὰς διαμονὰς τηροῦσιν, ἐὰν δὲ οἱ κακοποιοὶ μαχίμους καὶ ἐπιζημίους. καὶ πάλιν ἐπὶ τῶν ἀσυμφώνων στάσεων οἱ μὲν ἀγαθοποιοὶ τοῖς φωσὶ μαρτυρήσαντες οὐ τέλεον ἀποκόπτουσι τὰς συμβιώσεις, ἀλλὰ ποιοῦσιν ἐπανόδους συντηρούσας τὸ φιλόστοργον, οἱ δὲ κακοποιοὶ μετά τινος ἐπηρείας καὶ ὕβρεως ποιοῦσι τὰς διαλύσεις· τοῦ μέντοι Ἑρμοῦ μόνου σὺν αὐτοῖς γενομένου περιβοήσεσι καὶ ἐγκλήμασι περικυλίονται, μετὰ δὲ τοῦ τῆς Ἀφροδίτης ἐπιμοιχίαις καὶ φαρμακείαις ἢ τοῖς τοιούτοις. Πρὸς 〈δὲ〉 τούτοις ὁ τῆς Ἀφροδίτης μετὰ τοῦ Ἄρεως ἁπλῶς ἐρωτικὰς διαθέσεις ποιεῖ, προσόντος δὲ καὶ τοῦ Ἑρμοῦ περιβοησίας, ἐν δὲ τοῖς ζῳδίοις Αἰγοκέρωτι καὶ Ἰχθύσιν ἀδελφῶν ἢ συγγενῶν ἐπιπλοκάς. κἂν μὲν ἐπὶ τῶν ἀνδρῶν ἡ Σελήνη αὐτοῖς συμπαρῇ ποιεῖ δυσὶν ἀδελφαῖς ἢ συγγενέσι συνερχομένους, ἐὰν δὲ ἐπὶ τῶν γυναικῶν ὁ τοῦ Διὸς δυσὶν ἀδελφοῖς ἢ συγγενέσιν.

175 πάλιν δὲ μετὰ Κρόνου ὁ τῆς Ἀφροδίτης τυχὼν ἁπλῶς μὲν ἡδείας καὶ εὐπαθεῖς ποιεῖ τὰς συμβιώσεις, προσόντος δὲ τοῦ Ἑρμοῦ καὶ βιωφελίμους, προσγενομένου δὲ τοῦ Ἄρεως ἀστάτους καὶ βλαβερὰς καὶ ἐπιζήλους· κἂν μὲν ὁμοιοσχήμων ᾖ αὐτοῖς πρὸς ὁμήλικας ποιεῖ τὰς ἐπιπλοκάς, ἐὰν δὲ ἀνατολικώτερος 〈αὐτῶν πρὸς νεωτέρους ἢ νεωτέρας, ἐὰν δὲ δυτικώτερος πρὸσ〉 πρεσβυτέρους ἢ πρεσβυτέρας. ἐὰν δὲ ἐν τοῖς ἐπικοίνοις ὦσι ζῳδίοις ὁ τῆς Ἀφροδίτης καὶ 〈ὁ〉 τοῦ Κρόνου (τουτέστιν Αἰγοκέρωτι καὶ Ζυγῷ) συγγενικὰς ποιοῦσι τὰς συνελεύσεις. ὡροσκοπήσαντι δὲ ἢ μεσουρανήσαντι Σελήνη μὲν συμπροσγενομένη ποιεῖ τοὺς μὲν ἄρρενας μητράσιν ἢ μητρὸς ἀδελφαῖς ἢ μητρυιαῖς συνέρχεσθαι, τὰς δὲ θηλείας υἱοῖς ἢ υἱῶν ἀδελφοῖς ἢ θυγατέρων ἀνδράσιν, Ἥλιος 〈δὲ〉 μάλιστα δυτικῶν ὄντων τῶν ἀστέρων τοὺς μὲν ἄρρενας θυγατράσι ἢ θυγατέρων ἐξ ἑτέρου γάμου ἀδελφαῖς ἢ γυναιξὶν υἱῶν, τὰς δὲ θηλείας πατράσιν ἢ πατέρων ἀδελφοῖς. ἐὰν δὲ οἱ προκείμενοι συσχηματισμοὶ τῶν μὲν συγγενικῶν ζῳδίων μὴ τύχωσιν, ἐν θηλυκοῖς δ' ὦσι τόποις καὶ προσώποις, ποιοῦσι καὶ οὕτω καταφερεῖς, ἐπ' ἐνίων δὲ μορφώσεων καὶ ἀσελγεῖς ὡς ἐπὶ τῶν ἐμπροσθίων τοῦ Κριοῦ καὶ τῆς 〈Ὑάδοσ〉 καὶ τῶν ὀπισθίων τοῦ Λέοντος καὶ τοῦ προσώπου 〈τοῦ〉 Αἰγοκέρωτος. ὄντες δὲ κατὰ μὲν τῶν

πρώτων δύο κέντρων τοῦ τε ἀπηλιωτικοῦ καὶ τοῦ μεσημβρινοῦ παντελῶς ἀναδεικνύουσι τὰ πάθη καὶ ἐπὶ δημοσίων τόπων προάγουσιν, κατὰ δὲ τῶν ἐσχάτων δύο τοῦ τε λιβυκοῦ καὶ 〈τοῦ〉 βορεινοῦ κρύφια τὰ πάθη ἢ στείρας καὶ ἀτρήτους, Ἄρεως δὲ προσόντος ἀποκόπους ἢ τριβάδας.

176 Καθόλου δὲ καθαρίους καὶ σεμνοὺς τοὺς ἄνδρας ποιεῖ, περὶ δὲ ἀφροδίσια ἕνεκα φυσικῆς χρείας καταγινομένους ὁ τοῦ Ἄρεως χωρισθεὶς μὲν τοῦ τῆς Ἀφροδίτης καὶ τοῦ Κρόνου, μαρτυρηθεὶς δὲ ὑπὸ τοῦ Διός. μετὰ Κρόνου δὲ μόνου τυχὼν ὀκνηροὺς καὶ εὐλαβεῖς καὶ καταψύχρους ποιεῖ, ἅμα δὲ Ἀφροδίτῃ καὶ Διὶ ἢ καὶ αὐτοῖς συσχηματισθεὶς εὐκινήτους μέν, ἐγκρατεῖς δὲ ἀπεργάζεται· κἂν ὁ μὲν ᾖ ἑσπέριος τῶν ἀστέρων, ὁ δὲ ἑῷος, πρὸς ἄρρενας καὶ θηλείας, ἐὰν μὲν 〈ἐν〉 ἀρρενικοῖς πρὸς ἄρρενας 〈μόνον, ἐὰν δὲ ἐν θηλυκοῖς〉 πρὸς θηλείας μόνον. ἐὰν μὲν ὁ τῆς Ἀφροδίτης δυτικὸς ταπειναῖς 〈ἢ〉 δούλαις ἢ ἀλλοφύλοις συνερχομένους ποιεῖ, ἐὰν δὲ ὁ τοῦ Ἄρεως ὑπερεχούσαις 〈ἢ〉 ὑπάνδροις ἢ δεσποίναις. Γυναῖκας ὁμοίως ὁ τῆς Ἀφροδίτης ποιεῖ σώφρονας καὶ καθαρίους συσχηματισθεὶς τῷ τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου, μετὰ δὲ τοῦ Ἑρμοῦ ὀρεκτικὰς μέν, εὐλαβεῖς δέ. Ἄρει δὲ μόνῳ συνὼν ἢ συσχηματισθεὶς ὁ τῆς Ἀφροδίτης ποιεῖ λάγνους καὶ καταφερεῖς, ἐὰν δὲ ὁ τοῦ Διὸς αὐτοῖς προσγένηται, κἂν μὲν ὁ τοῦ Ἄρεως ὑπὸ τὰς αὐγὰς ᾖ συνέρχονται εἰς δούλους ἢ ταπεινοτέρους ἢ ἀλλοφύλους, ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης ὑπερέχουσιν ἢ δεσπόταις αὐτῶν. ἐὰν δὲ ὁ τοῦ Κρόνου συνοικειωθῇ αὐτοῖς ἐν θηλυκοῖς ζῳδίοις ἀσελγειῶν αἴτιος γίγνεται, ἐὰν δὲ καὶ ἀνατολικὸς ᾖ καὶ ἠρρενωμένος ἐπὶ τέγους ἵστησιν ἢ τῶν ἐπὶ τέγους ἐραστὰς ἀπεργάζεται, τοῦ Διὸς πάλιν πρὸς τὸ εὐσχημονέστερον τῶν παθῶν παραλαμβανομένου, τοῦ δὲ Ἑρμοῦ πρὸς τὸ διαβοητότερον. Πάλιν δὲ καὶ τὰ ἐν τοῖς ἔπεσι Δωροθέου ἐκ τῶν Νεχεψὼ καὶ τῶν ἄλλων σύνθετα ἐπισυνάψωμεν.

177 αὐτίκα δ’ ἀμφὶ γάμοιο διίξομεν ἱμερόεντος. ὅταν οἱ μὲν τριγωνοκράτορες ἐν κακοῖς ὦσι τόποις, ἡ δὲ Ἀφροδίτη ἐν καλοῖς, καὶ οὕτω καλῶς γαμοῦσιν, μετά τινος μέντοι ζημίας, ἐὰν δὲ ἡ Ἀφροδίτη ἐν κακοῖς, οἱ δὲ τριγωνοκράτορες ἐν καλοῖς, Ζεὺς δὲ καὶ Ἄρης αὐτὴν ἐπίδωσιν, ποιεῖ, φησίν, ῥεμβάδα καὶ φοιτῶσαν ὅπῃ κύρσειεν ἑταίρους. ἡνίκα δὲ ὁ μὲν πρῶτος τριγωνοκράτωρ καλῶς κεῖται, ὁ δὲ δεύτερος κακῶς, τὰ πρῶτα τῆς συναφῆς τοῦ γάμου καλὰ σημαίνει, τὰ δὲ ἔσχατα φαῦλα, ἐναντίως δὲ ἐχόντων ἐναντία. Καὶ τὰ περὶ τοῦ γάμου νόει· πάντοτε δ’ Ἀφρογενὴς κέντρον δυτικὸν κατέχουσα 〈...〉. ἐὰν δὲ ᾖ Ἀφροδίτη ὁμοῦ καὶ Ζεύς, Κρόνος δὲ ἀλλαχόθεν ἴδῃ αὐτοὺς ἢ καὶ Ἄρης, ταῖς δεσποίναις ἑαυτῶν συγκοιμῶνται, καὶ ἐπὶ τῶν θηλειῶν τὸ αὐτό σοι νοείσθω. Ἀφροδίτη ὡρονομοῦσα παρὰ τὴν αἵρεσιν ἤτοι μεσουρανοῦσα ὑπὸ τὰς αὐγὰς τοῦ Ἄρεως κεκεντρωμένου πρὸς αὐτὴν ποιεῖ γάμον ἐκ ταπεινοῦ, καὶ Ἑρμοῦ ἐποπτεύσαντος δημοσίαν καὶ μιγάδα ἄξει εἰς γάμον. Ἐὰν δὲ τὸ ζʹ ζῴδιον ἀπὸ τῆς ὥρας κακωθῇ ὑπὸ κακοποιοῦ ἢ καὶ ὑπαύγου τάδε ποιεῖ· Κρόνος μὲν 〈τὸν γάμον〉 διαφέρει ἕνεκα ἀρχαίων ἢ ἀποθανόντων 〈ἢ〉 πατέρων, ὁ δὲ Ζεὺς ἕνεκα δημοσίων, ὁ δὲ Ἑρμῆς ἕνεκα λογιστικῶν καὶ τοιούτων ἢ καὶ γυναῖκας ποιεῖ ῥυπαίνεσθαι παρὰ δούλων, ὁ δὲ Ἄρης μοιχικάς, ἐὰν δὲ αὐτῷ οὕτως ἔχοντι καὶ ὁ Ἑρμῆς συμπαρῇ αὐτοχείρους ποιοῦσι τῶν ἰδίων γυναικῶν, ἡ δὲ Ἀφροδίτη ζῆλον καὶ δυσγαμίαν παρέχει.

178 〈...〉. καὶ ἐὰν εὑρεθῇ οὕτως ὁ Κρόνος γεραιός τίς ἐστιν ὁ συγκοιμώμενος ἢ καὶ φθείρας, εἰ δὲ Ἄρης ταπεινός τις ἤτοι σώματος ἔμπορος, εἰ δὲ Ζεὺς πλούσιός τις, εἰ δὲ Ἀφροδίτη ἐν εὐφροσύνῃ καὶ μέθῃ, εἰ δὲ Ἑρμῆς ἐξ ἀπάτης καὶ ὑποσχέσεως καὶ τῶν τοιούτων. κατὰ δὲ πάροδον, φησίν, ἐπὶ τῶν ἐν ἡλικίαις Ζεὺς ἐπισυμβαίνων τοῖς τῆς Ἀφροδίτης τόποις ἢ καὶ Κρόνος ποιεῖ γάμους, καὶ Ἀφροδίτη δὲ ἐν τοῖς ἰδίοις τόποις. ταῦτα δὲ χρὴ στοχάζεσθαι ἐπὶ τῶν ἐγγὺς ὑπόπτων γαμούντων, σκεπτέον δὲ ὁμοίως καὶ τοὺς γαμικοὺς κλήρους τότε. 〈κβʹ〉 Περὶ τέκνων Ἐπειδὴ δὲ τῷ περὶ γάμου τόπῳ καὶ ὁ περὶ τέκνων ἀκολουθεῖ σκοπεῖν δεήσει τοὺς τῷ κατὰ κορυφὴν τόπῳ ἢ τῷ ἐπιφερομένῳ (τουτέστι τῷ τοῦ ἀγαθοῦ δαιμονήματος) προσόντας ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συσχηματιζομένους, εἰ δὲ μὴ τοὺς τοῖς διαμέτροις αὐτῶν, καὶ Σελήνην μὲν καὶ Δία καὶ Ἀφροδίτην πρὸς δόσιν τέκνων παραλαμβάνειν, Ἥλιον δὲ καὶ Κρόνον καὶ Ἄρεα πρὸς ἀτεκνίαν ἢ ὀλιγοτεκνίαν, τὸν δὲ τοῦ Ἑρμοῦ πρὸς ὁποτέρους ἂν αὐτῶν τύχῃ συσχηματισθεὶς ἐπίκοινον, καὶ ἔτι δοτῆρα μὲν ὅταν ἀνατολικός, ἀναιρέτην δὲ ὅταν δυτικός. οἱ μὲν οὖν δοτῆρες ἁπλῶς 〈μὲν〉 οὕτω κείμενοι καὶ κατὰ μόνας ὄντες μοναχὰ διδόασι τέκνα, ἐν δισώμοις δὲ καὶ θηλυκοῖς ζῳδίοις, ὁμοίως ἐν πολυσπέρμοις οἷον Καρκίνῳ, Αἰγοκέρωτι, Ἰχθύσι καὶ Σκορπίῳ, δισσὰ ἢ καὶ πλείονα, καὶ ἠρρενωμένοις μὲν τοῖς ζῳδίοις καὶ τοῖς πρὸς Ἥλιον ἑῴοι ἢ ἀνατολικοὶ συσχηματισμοῖς ἄρρενα, τεθηλυμμένοις δὲ θήλεια· καθυπερτερηθέντες ὑπὸ τῶν κακοποιῶν ἢ καὶ ἐν στειρώδεσι ζῳδίοις τυχόντες (οἷον Λέοντι ἢ Παρθένῳ) διδόασι μέν, οὐκ ἐπὶ καλῷ δὲ οὐδ’ ἐπὶ διαμονῇ.

179 Ἥλιος δὲ καὶ οἱ κακοποιοὶ διακατασχόντες τοὺς εἰρημένους τόπους ἐὰν μὲν 〈ἐν〉 ἀρσενικοῖς ὦσι καὶ στειρώδεσι ζῳδίοις καὶ ὑπὸ τῶν ἀγαθοποιῶν ἀκαθυπερτέρητοι τελείας ἀτεκνίας εἰσὶ δηλωτικοί, 〈ἐπὶ〉 θηλυκῶν δὲ ἢ πολυσπέρμων ζῳδίων τυχόντες ἢ ὑπὸ ἀγαθοποιῶν μαρτυρηθέντες διδόασι ἐπισινῆ τε καὶ ὀλιγοχρόνια. τῶν δὲ κακοποιῶν καὶ τῶν ἀγαθοποιῶν ἅμα λόγον ἐχόντων πρὸς τὰ τεκνοποιὰ ζῴδια 〈τῶν〉 δοθέντων τέκνων ἀποβολαὶ γενήσονται πάντων ἢ ὀλίγων πρὸς τὰς ὑπεροχὰς τῶν καθ’ ἑκατέραν αἵρεσιν μαρτυρησάντων, ὁποτέρους ἂν εὑρίσκωμεν ἤτοι πλείους ἢ δυνατωτέρους ἢ ἐπικεντροτέρους ὑπάρχειν ἢ καθυπερτέρους ἢ ἐπιφέρεσθαι. ἐὰν μὲν οὖν οἱ κυριεύσαντες τῶν προειρημένων ζῳδίων ἀνατολικοὶ τυγχάνωσι, δοτῆρες ἔσονται τέκνων· εἰ ἐν ἰδίοις ὦσι τόποις ἔνδοξα καὶ ἐπιφανῆ ποιοῦσι τὰ δοθέντα τέκνα, ἐὰν δὲ ἐν τοῖς δυτικοῖς καὶ ἐν τοῖς τῆς ἀλλοτρίας αἱρέσεως τόποις ταπεινὰ καὶ ἀνεπίφαντα. κἂν μὲν σύμφωνοι τῇ ὥρᾳ καὶ τῷ κλήρῳ τῆς τύχης καταλαμβάνωνται προσφιλῆ τοῖς γονεῦσι καὶ ἐπαφρόδιτα καὶ κληρονομοῦντα τὰς οὐσίας αὐτῶν, ἐὰν δὲ ἀσύνδετοι ἢ ἀντικείμενοι μάχιμα καὶ ἐχθροποιούμενα καὶ ἐπιβλαβῆ καὶ μὴ παραλαμβάνοντα τὰς τῶν γονέων οὐσίας, ὁμοίως δὲ κἂν μὲν ἀλλήλοις ὦσι συνεσχηματισμένοι συμφώνως οἱ τὰ τέκνα ποιοῦντες διαμένουσιν οἱ δοθέντες φιλάδελφοι καὶ τιμητικοὶ πρὸς ἀλλήλους, ἐὰν δὲ ἀσύνδετοι καὶ διάμετροι φιλέχθρως καὶ ἐπιβουλευτικῶς διακείμενοι.

180 τὰ δὲ κατὰ μέρος πάλιν ἄν τις καταστοχάζοιτο χρησάμενος ἐφ’ ἑκάσ〈του〉 τῷ τὴν δόσιν πεποιημένῳ τῶν ἀστέρων ὡροσκοπίῳ καὶ ἀπὸ τῆς λοιπῆς διαθέσεως ὡς ἐπὶ γενέσεως τὴν ἐπὶ τῶν ὁλοσχερεστέρων ἐπίσκεψιν ποιούμενος. Καὶ ταῦτα μὲν ὁ Πτολεμαῖος ἐκ τῶν Πετοσίριδος ἐκτίθεται, πάλιν δὲ ὁ Δωρόθεος περὶ τέκνων σκεπτόμενος λέγει. δεῖ τοὺς τριγωνοκράτορας τοῦ Διὸς σκοπεῖν πῶς κεῖνται ἐν τῇ γενέσει εἴτ’ ἐν καλοῖς τόποις ἢ ἐναντίοις, ἢ ὃς μέν ἐστιν, ὃς δὲ οὐ, καὶ πρὸς αὐτοὺς ἀποτελεῖν. 〈...〉 τήν τε πρώτην καὶ δευτέραν πρᾶξιν ὁμοίως αὐτοῖς διασημαίνειν. σκέπτου εἰ ἐν καλοῖς τόποις ὁ κλῆρος εἴη καὶ μὴ ἐν ἀσπόροις ἐπειδήπερ ἐὰν εὑρεθῇ ἐν τῷ ϛʹ ἢ ἐν τῷ ιβʹ ἢ ἄγονος, φησίν, ἔσται ἢ κλαύσει τὰ τικτόμενα. ἐὰν δὲ ὁ κλῆρος καὶ τὸ δῦνον αὐτοῖς ὁμοίως καὶ τὰ τετράπλευρα χηρεύῃ ἄστρων καὶ μάλιστα ἀγαθῶν φράζεο τούσδε γονῆς ἐπιδευέας αἰὲν ἐόντας. εἰ δὲ τὰ ζῴδια τὰ παρέχοντα τὰ τέκνα καὶ οἱ ἐπόντες ἀστέρες θηλυκῆς ὦσι φύσεως θηλυκὰ ἔσται τὰ τικτόμενα, εἰ δὲ ἀρρενικὰ ἢ μεμιγμένα ὁμοίως ἀρρενικὰ ἢ καὶ μεμιγμένα. 〈κγʹ〉 Περὶ φίλων καὶ ἐχθρῶν Τῶν δὲ φιλικῶν διαθέσεων καὶ τῶν ἐναντίων αἱ μέν εἰσι μεγάλαι καὶ πολυχρόνιοι συμπάθειαι καὶ ἔχθραι, αἱ δὲ πρόσκαιροι φιλίαι καὶ ἀποσιωπήσεις. ἐπὶ μὲν οὖν τῶν κατὰ μεγάλα συμπτώματα θεωρουμένων παρατηρεῖν δεῖ τοὺς ἀμφοτέρων τῶν γενέσεων κυριωτέρους τόπους, τουτέστι τόν τε ἡλιακὸν τόπον καὶ τὸν σεληνιακὸν καὶ τὸν ὡροσκοπικὸν καὶ τὸν τοῦ κλήρου τῆς τύχης τόπον, ἐπειδήπερ κατὰ μὲν τῶν αὐτῶν τυχόντες δωδεκατημορίων ἢ ἐναλλάξαντες τοὺς τόπους ἢ οἱ πάντες ἢ οἱ πλείους, καὶ μάλιστα ὅταν οἱ ὡροσκοποῦντες περὶ τὰς ιζ ἥμισυ μοίρας ἀλλήλων ἀπέχωσι, ποιοῦσι συμπαθείας ἀπταίστους καὶ ἀδιαλύτους καὶ ἀνεπηρεάστους, κατὰ δὲ τῶν ἤτοι διαμετρούντων ἢ

τετραγωνιζόντων 〈στα〉 θέντες ἔχθρας μεγίστας καὶ ἐναντιώσεις πολυχρονίους, μηθετέρως δὲ τυχόντες ἀλλὰ μόνον ἐν τοῖς συσχηματιζομένοις δωδεκατημορίοις, εἰ μὲν οὖν ἐν τοῖς τριγώνοις εἶεν ἢ ἐν ἑξαγώνοις ἥττονας ποιοῦσι τὰς συμπαθείας ὡς γενέσθαι τινὰς κατὰ καιροὺς ἐν μὲν ταῖς φιλίαις ὑποσιωπήσεις καὶ μικρολογίας ὅταν οἱ κακοποιοὶ συσχηματισμὸν παροδεύσωσιν, ἐν δὲ ταῖς ἔχθραις σπονδὰς καὶ ἀποκαταστάσεις κατὰ τὰς τῶν ἀγαθοποιῶν τοῖς συσχηματισμοῖς ἐπεμβάσεις.

181 Ἐπειδὴ δὲ καὶ φιλίας καὶ ἔχθρας εἴδη τρία (ἢ γὰρ ἁπλῶς διὰ προαίρεσιν οὕτως ἔχουσι πρὸς ἀλλήλους ἢ διὰ χρείαν ἢ δι’ ἡδονὴν καὶ διὰ λύπην), ὅταν μὲν οἱ τῶν φώτων τόποι μόνον οἱ αὐτοὶ ὦσιν, ὑπονοητέον τὴν φιλίαν διὰ προαίρεσιν βελτίστην, ὅταν δὲ ἀσυμφωνήσωσιν ὁμοίως δι’ αὐθαίρετον ἔχθραν καὶ ἀπιστίαν, ὅταν δὲ οἱ κλῆροι διὰ χρείαν, ὅταν δὲ οἱ ὡροσκόποι δι’ ἡδονὰς ἢ λύπας, καὶ ὅταν πάντες ἢ οἱ πλείους τῶν εἰρημένων τόπων οἰκειωθῶσι πρὸς ἀλλήλους ἐκ πάντων ἡ φιλία συνάγεται τῶν εἰδῶν ὥσπερ ὅταν 〈ἀν〉 οικείως ἡ ἔχθρα. Καὶ ἐφ’ ὧν γενέσεων τὰ φιλίαν ποιοῦντα σχήματα ὑπὸ κακοποιῶν θεωρῆται ἢ τούτοις ἐπαναφέρωνται ἐκείνῃ προσνεμητέον τὸ αὐθεντικώτερον τῆς ἔχθρας. ἐφ’ ὧν μὲν γὰρ γενέσεων ἡ τοῦ σχηματισμοῦ καθυπερτέρησις ἐν τῷ αὐτῷ ᾖ ἢ τῷ ἔγγιστα ζῳδίῳ (τῇ ἐπαναφερομένῃ) ἐκείνῃ προσνεμητέον τὸ αὐθεντικώτερον ἢ ἐπιληπτικώτερον τῆς φιλίας καὶ τῆς ἔχθρας, ἐφ’ ὧν δὲ ἡ θεώρησις τῶν ἀστέρων βελτίων πρὸς ἀγαθοποιῶν δύναμιν ἐκείνῃ τό τε ἐκ τῆς φιλίας ὠφελιμώτερον καὶ τὸ ἐκ τῆς ἔχθρας κατορθωτικώτερον ἀποδοτέον ὥσπερ ἔμπαλιν ὑπὸ ἀγαθοποιῶν ἐκείνῃ τὸ ἐκ τῆς φιλίας ὠφελούμενον.

182 Ἐπὶ δὲ τῶν κατὰ χρόνους συνισταμένων, φησίν, συναστριῶν τε καὶ ἐναντιώσεων προσεκτέον ταῖς καθ’ ἑκατέραν γένεσιν κινήσεσι τῶν ἀστέρων κακοποιοὺς ἐπαγόντων χρόνους ἢ ἀγαθοποιοὺς ὅταν αἱ τῶν τῆς ἑτέρας γενέσεως ἀστέρων ἀφέσεις ἐπέρχονται τοῖς τόποις τῶν τῆς ἑτέρας γενέσεως ἀστέρων· γίνονται γὰρ κατὰ τούτους φιλίαι μερικαὶ καὶ κρατοῦσι χρόνον ὀλιγοστὸν μὲν τὸν μέχρι τῆς διαλύσεως αὐτῆς, πλεῖστον δὲ τὸν μέχρι τῆς ἑτέρου τινὸς τῶν ἐπιφερομένων ἀστέρων καταλήψεως. Κρόνος μὲν οὖν καὶ Ζεὺς ἐπελθόντες τοῖς ἀλλήλων τόποις ποιοῦσι φιλίας διὰ συστάσεως ἢ γεωργίας ἢ κληρονομίας, Κρόνος δὲ καὶ Ἄρης μάχας καὶ ἐπιβουλάς, Κρόνος καὶ Ἀφροδίτη συνεπιπλοκὰς διὰ συγγενικῶν προσώπων ταχὺ μέντοι καταψυχούσας, Κρόνος καὶ Ἑρμῆς συμβιώσεις καὶ κοινωνίας καὶ ἐμπορίας, Ζεὺς 〈καὶ Ἄρης ἑταιρίας δι’ ἀξιωματικῶν ἢ οἰκονομιῶν, Ζεὺσ〉 καὶ Ἀφροδίτη διὰ θηλυκῶν προσώπων καὶ τῶν ἐν ἱεροῖς θρησκειῶν, Ζεὺς καὶ Ἑρμῆς διὰ λόγους καὶ ἐπιστήμας καὶ προαίρεσιν φιλόσοφον, Ἄρης καὶ Ἀφροδίτη δι’ ἔρωτας ἢ μοιχίας, Ἄρης καὶ Ἑρμῆς ἔχθρας καὶ περιβοησίας καὶ δίκας διὰ φαρμακίας, Ἀφροδίτη καὶ Ἑρμῆς διὰ τέχνην μουσικὴν καὶ ἀπὸ γραμμάτων. τὴν μὲν οὖν ἐπὶ τὸ μᾶλλον καὶ ἧττον ἐπίτασιν καὶ ἄνεσιν τῶν συναστριῶν ἢ τῶν ἐναντιώσεων διακριτέον ἐκ τῆς τῶν ἐπιλαμβανομένων τόπων πρὸς τοὺς πρώτους καὶ κυριωτάτους δ τόπους διαθέσεως, ἐπειδήπερ κατὰ κέντρων μὲν ἢ κλήρων ἢ τῶν φώτων τυχόντες ἐπιφανεστέρας ποιοῦσι τὰς σημασίας, ἀλλοτριωθέντες δὲ αὐτῶν ἀνεπιφάντους, τὴν δὲ ἐπὶ τὸ βλαβερώτερον ἢ ὠφελιμώτερον τοῖς ἑτέροις ἐκ 〈τῆσ〉 τῶν ἐπιθεωρούντων ἀστέρων τοὺς προειρημένους τόπους ἐπὶ τὸ ἀγαθὸν ἢ τὸ κακὸν ἰδιοτροπίας.

183 Ἰδίως δὲ ὁ περὶ δούλων λόγος καὶ τῆς τῶν δεσποτῶν πρὸς αὐτοὺς συμπαθείας ἐκ τοῦ κακοδαιμονοῦντος ζῳδίου λαμβάνεται καὶ τῆς τῶν ἐπιθεωρούντων ἀστέρων τὸν τόπον κατά τε τὴν γένεσιν αὐτὴν καὶ κατὰ τὰς ἐπεμβάσεις ἢ διαμετρήσεις φυσικῆς ἐπιτηδειότητος, καὶ μάλιστα ὅταν οἱ τοῦ δωδεκατημορίου κυριεύοντες ἤτοι συμφώνως τοῖς αὐθεντικοῖς τῆς γενέσεως τόποις ἢ ἐναντίως ποιῶνται τοὺς σχηματισμούς. Ἐκκείσθω δὲ πάλιν καὶ τὰ παρὰ Δωροθέῳ σφόδρα καλῶς εἰρημένα. ἄλλοι δέ, φησίν, ἐπιβλέπουσι τὸν κλῆρον τοῦ ἔρωτος, δηλονότι πῶς κεῖται, ὑπὸ ποίων ἀστέρων θεωρεῖται, καὶ 〈πρὸσ〉 αὐτὸν τὰ περὶ φιλίας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκοποῦσιν. Ἄρης δ’ εὖτέ κεν 〈ᾖ〉 καθυπέρτερος Ἑρμείαο, ὁμῶς ἐὰν ᾖ ἐν τοῖς ἀκούουσι ζῳδίοις ἤτοι ἐν τοῖς βλέπουσιν, συμπαθεῖς ἔσονται αἱ γενέσεις. ἀκούει δὲ ἀλλήλων τὰ ἴσον ἀπέχοντα τοῦ ἰσημερινοῦ ζῳδίου, οἷον Ταῦρος καὶ Ἰχθύες, Δίδυμοι καὶ Ὑδροχόος, καὶ ἐφεξῆς τὰ ἄλλα ζῴδια· Κριὸς δὲ καὶ Ζυγός, φησὶν ἀκολουθῶν Θρασύλλῳ, οὐκ ἀκούει ἀλλήλων. βλέποντα δὲ ζῴδια τὰ ἴσον ἀπέχοντα τῶν τροπικῶν ζῳδίων. Κριὸς δὲ ἐπιτάττει τῷ Ζυγῷ διὰ τὸ ἐν μὲν Κριῷ αὔξειν τὴν ἡμέραν, ἐν δὲ Ζυγῷ μειοῦν· ὁμοίως καὶ Ταῦρος Παρθένῳ ἐπιτάττει τῷ αὐτῷ τρόπῳ, καὶ τὰ ἄλλα.

184 καὶ τὰ ἰσανάφορα δὲ ζῴδια συμπαθῆ ἐστιν ἀλλήλοις, μάλιστα ἐὰν τῶν δύο γενέσεων οἱ κλῆροι τοῦ ἔρωτος ἐμπέσωσιν εἰς αὐτά. ἔστι δὲ καὶ ἐν τούτοις πλείων ἰσχὺς καὶ ἐλάττων, πλείων μὲν ἐν τοῖς ἀπὸ Κριοῦ ἕως Παρθένου καὶ αὐτῆς, ἐλάττων δὲ ἐν τῷ ἄλλῳ ἡμισφαιρίῳ. οὐ μόνον δὲ χρὴ ἐπὶ τῶν φίλων τὰ περὶ φιλίας σκοπεῖν ἐν τοῖς προεκτεθειμένοις σχήμασιν, ἀλλὰ καὶ ἐπὶ γυναικὸς καὶ ἀνδρός, καὶ πατρὸς καὶ μητρὸς καὶ τέκνων. 〈κδʹ〉 Περὶ ξενιτείας Τὰ δὲ περὶ ξενιτείας σκοποῦσιν ἀπὸ τῆς τῶν φώτων πρὸς τὰ κέντρα στάσεως, ἀμφοτέρων μέν, μάλιστα δὲ τῆς Σελήνης· δύνοντα γὰρ ἢ ἀποκεκλικότα τῶν κέντρων ξενιτείας ποιεῖ. καὶ ὁ τοῦ Ἄρεως δὲ ἐν τῷ θʹ ὤν, τουτέστιν ἀποκεκλικὼς τοῦ κατὰ κορυφὴν τόπου, ἢ δύνων ποιεῖ, ὅταν μάλιστα τοῖς φωσὶ διάμετρον στάσιν ἔχῃ ἢ τετράγωνον. καὶ ἐὰν ὁ κλῆρος τῆς τύχης ἐν τοῖς ποιήσασι ζῳδίοις τὴν ἀποδημίαν ἐκπέσῃ καὶ τοὺς βίους ὅλους καὶ τὰς ἀναστροφὰς ἐπὶ ξένης ποιοῦσιν. ἀγαθοποιῶν μὲν οὖν ἐπιθεωρούντων τοὺς τόπους τοὺς προειρημένους ἢ ἐπαναφερομένων αὐτοῖς ἐνδόξους ἕξουσι καὶ ἐπικερδεῖς τὰς ἐπὶ ξένης πράξεις καὶ τὰς ἐπανόδους ταχείας καὶ ἀνεμποδίστους, κακοποιῶν δὲ ἐπιπόνους καὶ ἐπιβλαβεῖς καὶ δυσανακομίστους, μεμιγμένων δὲ δηλονότι μεμιγμένας. ὡς ἐπίπαν δὲ ἐν μὲν τοῖς τῶν ἑῴων τεταρτημορίων ἀποκλίμασιν ἐκπεσόντων τῶν φώτων πρὸς ἀνατολὰς καὶ μεσημβρίας συμβαίνει γίνεσθαι τὰς ἐκδημίας, ἐν δὲ τοῖς τῶν λιβυκῶν ἢ ἐν αὐτῷ τῷ δύνοντι εἰς τὰ πρὸς ἄρκτους καὶ δυσμάς.

185 καὶ ἂν μὲν μονοειδῆ τύχῃ τὰ τὴν ξενιτείαν ποιήσαντα ζῴδια ἤτοι αὐτὰ ἢ καὶ οἱ οἰκοδεσποτήσαντες αὐτῶν ἀστέρες, διὰ μακροῦ καὶ κατὰ καιροὺς ποιοῦσι τὰς ξενιτείας, ἐὰν δὲ δίσωμα καὶ δίμορφα συνεχῶς καὶ ἐπὶ τὸ πλεῖστον. Ζεὺς μὲν οὖν καὶ Ἀφροδίτη κυριεύσαντες τῶν τὴν ξενιτείαν ποιούντων τόπων καὶ φώτων οὐ μόνον ἀκινδύνους, ἀλλὰ καὶ θυμήρεις τὰς ξενιτείας ποιοῦσιν, προσγενομένου δὲ αὐτοῖς τοῦ τοῦ Ἑρμοῦ βελτίονας διὰ δωρεῶν καὶ τιμῶν. Κρόνος δὲ καὶ Ἄρης ἐπιβλέψαντες τὰ φῶτα, μάλιστα ἐὰν διαμηκίσωσιν, κινδυνώδεις καὶ ἀχρήστους, ἐν μὲν τοῖς καθύγροις ζῳδίοις τυχόντες διὰ δυσπλοιῶν καὶ ναυαγιῶν ἢ ἐρημιῶν, ἐν δὲ τοῖς στερεοῖς διὰ κρημνισμῶν καὶ πνευμάτων, ἐν δὲ τοῖς τροπικοῖς καὶ ἰσημερινοῖς δι’ ἔνδειαν τῶν ἐπιτηδείων μετὰ τοῦ νοσεῖν, ἐν δὲ τοῖς ἀνθρωποειδέσι διὰ ληστηρίων καὶ ἐπιβουλῶν, ἐν δὲ τοῖς χερσαίοις διὰ θηρίων ἢ σεισμῶν, Ἑρμοῦ δὲ προσγινομένου καὶ διὰ κατηγοριῶν, ἔτι δὲ ἑρπετῶν καὶ ἰοβόλων. τὰς δὲ ἐπισημασίας τοῦ 〈τοῦ〉 ξενιτεύειν καιροῦ καταστοχαστέον ἐκ τῆς τῶν κατὰ χρόνους ἐπεμβάσεων ποιότητος. Πάλιν δὲ τὰ ἔπη ταύτην ἑρμηνεύοντα προσγράφομεν τοῦ εὐχεροῦς καὶ μνήμης χάριν. τὴν τριταίαν ἡμέραν τῆς γενέσεως σκέπτου, φησίν, ἐν ᾗ τὸ βρέφος ἄρχεται τρέφεσθαι εἰ ὁ Ἄρης τότε συνέστη τῇ Σελήνῃ ἢ τετραγωνίζει ἢ διαμετρεῖ ἢ ἐν αὐτῇ ἡ Σελήνη τότε γίνοιτο 〈.

186 ..〉. Φαίνων καὶ Πυρόεις, νυκτὸς 〈Κρόνοσ〉, ἤματι δ’ Ἄρης 〈...〉. σκόπει δὲ πάλιν καὶ τοὺς τριγωνοκράτορας τοῦ τῆς αἱρέσεως φωτός· εἰ μὲν εἶεν ἐν οἰκείοις τόποις οὐ ποιοῦσι ξενιτείας, εἰ δὲ ἐν ἀλλοτρίοις ποιοῦσιν. 〈κεʹ〉 Περὶ θανάτου ποιότητος Φυσικῶς καὶ ἐντέχνως καὶ ἐνταῦθα ὁ Πτολεμαῖος σκέπτεται τὰ περὶ θανάτου. φησὶ μὲν γάρ· εἰ μὲν κατὰ ἄφεσιν καὶ ὑπάντησιν (ὡς ἐδίδαξε ἐν τῷ περὶ χρόνων ζωῆς) ἡ ἀναίρεσις γίνεται τὸν τῆς ὑπαντήσεως τόπον εἰς τὴν τοῦ θανάτου ποιότητα προσήκει τηρεῖν, εἰ δὲ κατὰ τὴν ἐπὶ τὸ δῦνον καταφορὰν αὐτὸν τὸν δυτικὸν τόπον. ὁποῖοι γάρ εἰσι οἵ τε ἐπόντες τοῖς εἰρημένοις τόποις ἢ ἐὰν μὴ ἐπῶσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ πρῶτοι τῶν ἄλλων αὐτοῖς ἐπιφερόμενοι τοιούτους καὶ θανάτους ἔσεσθαι διαληπτέον συλλαμβανομένων ταῖς πτώσεσι αὐτῶν πρὸς τὸ ποικίλον τῶν συμπτωμάτων τῶν τε συσχηματιζομένων ἀστέρων καὶ τῆς αὐτῶν τῶν προειρημένων ἀναιρετικῶν τόπων ἰδιοτροπίας ζῳδιακῶς τε καὶ κατὰ τὴν τῶν ὁρίων φύσιν. Ὁ μὲν οὖν τοῦ Κρόνου τὴν κυρίαν τοῦ θανάτου λαβὼν ποιεῖ διὰ νόσων πολυχρονίων ἢ φθίσεων καὶ ῥευματισμῶν καὶ ῥιγοπυρέτων καὶ ὑδρωπικῶν καὶ κοιλιακῶν καὶ ὑστερικῶν διαθέσεων καὶ ὅσα κατὰ πλεονασμὸν ὑγροῦ συνίστανται. ὁ δὲ τοῦ Διὸς ποιεῖ τοὺς θανάτους ἀπὸ συνάγχης καὶ περιπνευμονίας καὶ κεφαλαλγίας καὶ καρδιακῶν διαθέσεων καὶ ἀποπληξίας καὶ ὅσα κατὰ πνεύματος ἀμετρίαν.

187 ὁ δὲ τοῦ Ἄρεως διὰ πυρετῶν συνεχῶν καὶ ἡμιτριταϊκῶν καὶ αἰφνιδίων πληγῶν καὶ νεφριτικῶν καὶ αἱμοπτυϊκῶν καὶ αἱμορραγίας καὶ ἐκτρωσμῶν καὶ ἐρυσιπελάτων, ὀλέθρων καὶ ὅσα τῶν νοσημάτων κατ᾽ ἐκπύρωσιν καὶ ἀμετρίαν τοῦ θερμοῦ. ὁ δὲ τῆς Ἀφροδίτης διὰ στομαχικῶν καὶ ἡπατικῶν καὶ λειχήνων καὶ δυσεντερικῶν διαθέσεων καὶ συρίγγων καὶ ὅσα τοῦ ὑγροῦ φθαρέντος ἢ πλεονάσαντος ἀποτελεῖται συμπτώματα. ὁ δὲ τοῦ Ἑρμοῦ διὰ μανιῶν καὶ ἐκστάσεων καὶ μελαγχολιῶν καὶ πτωματισμῶν καὶ ἀναφορικῶν νοσημάτων καὶ ὁπόσα τοῦ ξηροῦ πλεονάσαντος ἢ φθαρέντος συνίσταται. Ἰδίοις μὲν οὖν τελευτῶσι θανάτοις οἱ κατὰ τὸν εἰρημένον τρόπον μεταστάντες τοῦ ζῆν ὅταν οἱ τὴν κυρίαν τοῦ θανάτου λαχόντες ἐπὶ τῆς ἰδίας ἢ οἰκείας φυσικῆς ἰδιοτροπίας τύχωσιν ὄντες ὑπὸ μηδενὸς καθυπερτερηθέντες τῶν κακῶσαι καὶ ἐπιφανέστερον τὸ τέλος ποιῆσαι δυναμένων, ἐπισήμοις δὲ καὶ βιαίοις ὅταν ἀμφότεροι κυριεύσωσιν οἱ κακοποιοὶ τῶν ἀναιρετικῶν τόπων ἤτοι συνόντες ἢ τετραγωνίζοντες ἢ διαμηκίζοντες, ἢ ὁπότερος αὐτῶν ἢ ἀμφότεροι Ἥλιον καὶ Σελήνην ἢ καὶ ἀμφότερα τὰ φῶτα καταλάβωσιν, τῆς μὲν τοῦ θανάτου κακώσεως ἀπὸ τῆς αὐτῶν συνελεύσεως συνισταμένης, τοῦ δὲ μεγέθους ἀπὸ τῆς τῶν φώτων μαρτυρήσεως, τῆς δὲ ποιότητος πάλιν ἀπὸ τῆς τῶν λοιπῶν ἀστέρων ἐπιθεωρήσεως καὶ τῶν τοὺς κακοποιοὺς περιεχόντων ζῳδίων. ὁ μὲν γὰρ τοῦ Κρόνου τὸν Ἥλιον παρὰ τὴν αἵρεσιν τετραγωνίσας ἢ διαμηκίσας ἐν μὲν τοῖς στερεοῖς ποιεῖ αὐτοὺς καταθλίψει ὄχλων ἢ ἀγχόναις ἢ στραγγουρίαις ἀπολλυμένους, ὁμοίως δὲ κἂν δύνῃ τῆς Σελήνης ἐπιφερομένης, ἐν δὲ τοῖς θηριώδεσι ὑπὸ θηρίων διαφθειρομένους, κἂν ὁ τοῦ Διὸς μαρτυρήσῃ κεκακωμένος καὶ αὐτὸς ἐν δημοσίοις τόποις ἢ ἡμέραις ἐπισήμοις θηριομαχοῦντας, ἀνθωροσκοπήσας δὲ ὁποτέρου τῶν φώτων ἐν εἱρκταῖς ἀπολλυμένους, ὁ δὲ τοῦ Ἑρμοῦ συσχηματισθείς, καὶ μάλιστα περὶ τοὺς ἐν τῇ σφαίρᾳ ὄφεις ἢ τὰ χερσαῖα, ὑπὸ δακετῶν ἰοβόλων ἀποθνῄσκοντας, Ἀφροδίτης δὲ αὐτοῖς προσγενομένης ὑπὸ φαρμακειῶν ἢ γυναικείων ἐπιβουλῶν, ἐν Παρθένῳ δὲ καὶ Ἰχθύσιν ἢ τοῖς καθύγροις ζῳδίοις τῆς Σελήνης συσχηματισθείσης ὑποβρυχίους καὶ ἐν ὕδασιν ἀπολλυμένους, περὶ δὲ τὴν Ἀργὼ καὶ ναυαγίοις περιπίπτοντας, ἐν δὲ τοῖς τροπικοῖς Ἡλίῳ συνὼν ἢ διαμηκίσας 〈ἢ〉 ἀντὶ τοῦ Ἡλίου τῷ τοῦ Ἄρεως ὑπὸ συμπτώσεως καταλαμβανομένους, ἐὰν δὲ καὶ μεσουρανήσωσιν ἢ καὶ ἀντιμεσουρανήσωσιν ἀπὸ ὕψους κατακρημνιζομένους.

188 ὁ δὲ τοῦ Ἄρεως τῷ Ἡλίῳ ἢ τῇ Σελήνῃ παρ᾽ αἵρεσιν τετράγωνος ἢ καὶ διάμετρος σταθεὶς ἐν μὲν τοῖς ἀνθρωποειδέσι ζῳδίοις ἐν στάσεσιν ἐμφυλίοις ἢ ὑπὸ πολεμίων σφαζομένους, διὰ γυναικὸς δὲ ἢ καὶ γυναικῶν φονέας ὅταν καὶ ὁ τῆς Ἀφροδίτης καὶ αὐτῷ ἐπιμαρτυρήσῃ, ἐὰν δὲ καὶ ὁ τοῦ Ἑρμοῦ συσχηματισθῇ ὑπὸ πειρατῶν ἢ λῃστηρίων ἢ κακούργων ἀπολλυμένους, ἐπὶ δὲ τῶν μελεοκοπουμένων καὶ ἀτελῶν ζῳδίων ἢ κατὰ τὸ Γοργόνιον τοῦ Περσέως ἀποκεφαλιζομένους ἢ μελεοκοπουμένους, ἐν δὲ Σκορπίῳ ἢ Ταύρῳ καύσεσιν ἢ τομαῖς ἢ ἀποτομαῖς τῶν ἰατρῶν καὶ σπασμοῖς ἀποθνῄσκοντας, ἐπὶ δὲ τοῦ μεσουρανήματος σταυροῖς ἀνορθουμένους, καὶ μάλιστα περὶ τὸν Κηφέα καὶ τὴν Ἀνδρομέδαν, ἐπὶ δὲ τοῦ δύνοντος ἢ ἀνθωροσκοποῦντος ζῶντας καιομένους, ἐν δὲ τοῖς τετράποσιν ἀπὸ συμπτώσεων καὶ θραυσμῶν καὶ συρμάτων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποθνήσκοντας, τοῦ δὲ Διὸς τούτῳ συμμαρτυρήσαντος καὶ συγκακωθέντος ἐπισήμοις πάλιν ἀπόλλυνται κατακρίσεσι καὶ χόλοις ἡγεμόνων ἢ βασιλέων.

189 συγγενόμενοι δὲ ἀλλήλοις οἱ κακοποιοὶ καὶ οὕτω διαμηκίσαντες ἐπί τινος τῶν εἰρημένων αἰτιατικῶν διαθέσεων ἐνεργοῦσι μᾶλλον πρὸς τὴν τοῦ θανάτου κάκωσιν τῆς κατὰ τὸ ποῖον κυρίας περὶ τὸν ἐπ' αὐτοῦ τοῦ ἀναιρετικοῦ τόπου τυγχάνοντα γιγνομένης ἢ καὶ διπλῶν τῶν θανατικῶν συμπτωμάτων ἢ κατὰ τὸ ποῖον ἢ τὸ πόσον ἀποτελουμένων ὅταν ἀμφότεροι λόγον ἔχωσι πρὸς τοὺς ἀναιρετικοὺς τόπους. οἱ τοιοῦτοι δὲ καὶ ταφῆς ἄμοιροι καταλείπονται, δαπανῶνται δὲ ὑπὸ θηρίων ἢ οἰωνῶν ὅταν εἰς τὰ θηριώδη τῶν ζῳδίων οἱ κακοποιοὶ τυγχάνωσι μηδενὸς τῶν ἀγαθοποιῶν τῷ ὑπὸ γῆν ἢ τοῖς ἀναιρετικοῖς τόποις μαρτυρήσαντος. ἐπὶ ξένης δὲ οἱ θάνατοι γίνονται τῶν τοὺς ἀναιρετικοὺς τόπους κατασχόντων ἀστέρων ἐν ἀποκλίμασιν ἐμπεσόντων, καὶ μάλιστα ὅταν καὶ ἡ Σελήνη παροῦσα ἢ τετραγωνίζουσα ἢ διαμηκίζουσα τύχῃ τοὺς εἰρημένους τόπους. Ἄλλοι δὲ περισκοποῦσι τὰ περὶ θανάτου 〈ποιότητοσ〉 ἐκ τοῦ η' τόπου, τὸ εἶδος καὶ τὴν φύσιν αὐτοῦ ὁρῶντες καὶ τὸν τούτου δεσπότην, ἔτι δὲ καὶ τοὺς συσχηματιζομένους ἀστέρας, καὶ ἐκ τούτων ἀποφαίνονται καὶ τὰ εἴδη τοῦ θανάτου ὁμοίως ταῖς προλελεγμέναις φύσεσιν ἀστέρων τε καὶ ζῳδίων.

190 Ἄλλοι δ' ἐκ Μήνης εἰς ὄγδοον ὡρονόμοιο ζῷον ἀριθμήσαντες, ἀπὸ Κρόνου αὖθις ἔδωκαν· εἰς ὃν δὴ λήξειε τόπον καὶ ἄνακτα τόποιο σκέπτονται τούτων ἐπιμάρτυρας οἵτινές εἰσιν· τῶν ἄπο δὴ φράσσαντο τέλος αἰσχρόν τε καὶ ἐσθλόν. 〈κς'〉 Περὶ χρόνων διαιρέσεως Καὶ ἐνταῦθα πρῶτον θεωρήσωμεν κατὰ Πτολεμαῖον φυσικῶς τε 〈καὶ〉 καθολικῶς πάλιν ἐφοδευκότα τὴν παροῦσαν σκέψιν. φησὶν ὁ ἀνὴρ ὅτι ὥσπερ ἐπὶ τῶν ἁπλῶς γενεθλιαλογικῶν τόπων προϋφέστηκέ τις τῶν ἐπὶ μέρους εἱμαρμένη μείζων, ἡ τῆς τῶν χωρῶν αὐτῶν, ᾗ τὰ καθ' ἕκαστον ὁλοσχερῶς θεωρούμενα περὶ τὰς γενέσεις ὑποπίπτειν πέφυκεν ὡς αἱ τῶν σωμάτων μορφαὶ καὶ 〈αἱ〉 τῶν ψυχῶν ἰδιοτροπίαι καὶ 〈αἱ τῶν〉 νομίμων ἐναλλαγαί, καὶ δεῖ τὸν φυσικῶς σκεπτόμενον τῆς πρώτης καὶ κυριωτέρας αἰτίας κρατεῖν, εἶτα 〈τὰσ〉 κατὰ μέρος πρὸς τὸ μᾶλλον ἢ ἧττον 〈ἐφαρμόζειν〉. οὕτω καὶ ἐπὶ τῶν χρονικῶν διαιρέσεων τὰς τῶν ἡλικιῶν διαφορὰς καὶ ἐπιτηδειότητας πρὸς ἕκαστα τῶν ἀποτελεσμάτων ἀναγκαῖον προϋποτίθεσθαι καὶ σκοπεῖν δεόντως ὅπως μὴ λάθωμέν ποτε τῷ μὲν βρέφει γάμον παρέχοντες, τῷ δὲ σφόδρα γέροντι τεκνοποιίαν ἤ τι τῶν νεανικωτέρων, ἀλλὰ κατὰ τὸ παρόμοιον καὶ ἐνδεχόμενον ταῖς ἡλικίαις θεωρήσωμεν καὶ ἐφαρμόσωμεν.

191 ἔστι δέ, φησίν, μία ἐπιβολὴ φυσικὴ καθόλου τῶν χρονικῶν διαφορῶν ἡ αὐτὴ ἐπὶ πάντων ἀνθρώπων καθ' ὁμοιότητα καὶ παραβολὴν τῆς τάξεως τῶν ἑπτὰ πλανωμένων ἀρχομένη μὲν ἀπὸ τῆς πρώτης ἡλικίας καὶ τῆς πρώτης ἀφ' ἡμῶν σφαίρας τῆς Σελήνης, λήγουσα δὲ ἐπὶ τὴν ἐσχάτην τῶν ἡλικιῶν καὶ τῶν πλανωμένων σφαιρῶν τὴν ὑστάτην, Κρόνου δὲ προσαγορευομένην, καὶ συμβέβηκεν ὡς ἀληθῶς ἑκάστῃ τῶν ἡλικιῶν τὰ οἰκεῖα τῇ φύσει τοῦ παραβεβλημένου τῶν πλανωμένων ἃ δεήσει παρατηρεῖν ὅπως τὰ μὲν καθόλου τῶν χρονικῶν ἐντεῦθεν σκοπῶμεν, τὰς δὲ τῶν κατὰ μέρος διαφορὰς ἀπὸ τῶν ἐν ταῖς γενέσεσιν εὑρισκομένων ἰδιωμάτων. Μέχρι μὲν γὰρ σχεδὸν τεσσάρων ἐτῶν κατὰ τὸν οἰκεῖον ἀριθμὸν τῆς τετραετηρίδος τὴν τοῦ βρέφους ἡλικίαν ἡ Σελήνη λαχοῦσα τήν τε ὑγρότητα καὶ ἀπηξίαν τοῦ σώματος καὶ τὸ τῆς αὐξήσεως ὀξὺ καὶ 〈τὸ〉 τῶν τροφῶν ὑδατῶδες καὶ τὸ τῆς ἕξεως εὐμετάβλητον καὶ τὸ τῆς ψυχῆς ἀτελὲς καὶ διόρθωτον ἀπεργάζεται τοῖς περὶ τὸ ποιητικὸν ἑαυτῆς συμβεβηκόσιν οἰκείως. Ἐπὶ δὲ τὴν ἑξῆς δεκαετίαν τὴν παιδικὴν ἡλικίαν δεύτερος καὶ δευτέραν λαχὼν ὁ τοῦ Ἑρμοῦ ἀστὴρ κατὰ τὸ ἥμισυ μέρος τοῦ τῆς εἰκοσαετηρίδος ἀριθμοῦ τό τε διανοητικὸν καὶ τὸ λογικὸν τῆς ψυχῆς ἄρχεται διαρθροῦν ὥσπερ καὶ διαπλάττειν καὶ μαθημάτων ἐντιθέναι σπέρματα, τῶν τε ἠθῶν καὶ τῶν ἐπιτηδειοτήτων ἐμφᾶναι τὰς ἰδιοτροπίας, διδασκαλίαις ἤδη καὶ παιδαγωγίαις καὶ τοῖς πρώτοις γυμνασίοις ἐγείρων τὰς ψυχάς. Ὁ δὲ τῆς Ἀφροδίτης τὴν μειρακιώδη καὶ

τρίτην ἡλικίαν παραλαβὼν ἐπὶ τὴν ἑξῆς ὀκταετίαν κατὰ τὸν ἴσον ἀριθμὸν τῆς ἰδίας περιόδου εἰκότως κίνησιν τῶν σπερματικῶν πόρων ἄρχεται ποιεῖν καὶ ὁρμὴν ἐπὶ 〈τὴν〉 τῶν ἀφροδισίων συνέλευσιν, ὅταν λύσσα τις ἐγγίνηται ταῖς ψυχαῖς καὶ ἀκρασία καὶ πρὸς τὰ τυχόντα τῶν ἀφροδισίων ἔρως καὶ φλογμὸς καὶ ἀπάτη καὶ τοῦ προπετοῦς ἀβλεψία.

192 Τὴν δὲ τετάρτην καὶ τάξει μέσην ἡλικίαν λαβὼν ὁ Ἥλιος ἐπὶ 〈τὰ〉 τῆς ἐννεακαιδεκαετηρίδος αὐτοῦ ἔτη τὸ οἰκοδεσποτικὸν ἤδη καὶ τὸ αὐθεντικὸν τῶν πράξεων ἐμποιεῖ τῇ ψυχῇ, βίου τε καὶ δόξης καὶ καταστάσεως ἐπιθυμίαν τε καὶ μετάβασιν ἀπὸ τῶν παιγνιωδῶν 〈καὶ〉 ἀνεπιστάτων ἁμαρτημάτων 〈ἐπὶ τὸ προσεκτικὸν〉 καὶ αἰδημονικὸν καὶ φιλότιμον. Μετὰ δὲ τὸν Ἥλιον πέμπτος 〈ὁ τοῦ〉 Ἄρεως ἐπιλαβὼν τὸ τῆς ἡλικίας ἀνδρῶδες ἐπὶ τὰ ἴσα ἔτη τῆς ἰδίας περιόδου δεκαπέντε τὸ αὐστηρὸν καὶ κακοπαθὲς εἰσάγει τοῦ βίου, μερίμνας τε καὶ σκυλμοὺς ἐμποιεῖ τῇ ψυχῇ καὶ τῷ σώματι καθάπερ αἴσθησίν τινα ἤδη καὶ ἔννοιαν ἐνδιδοὺς τῆς παρακμῆς καὶ ἐπιστρέφων πρὸς τὸ πρὶν ἐγγὺς ἐλθεῖν τοῦ τέλους ἀνύσαι τι λόγου ἄξιον μετὰ πόνου τῶν χειριζομένων. Ἕκτος δὲ ὁ τοῦ Διὸς τὴν πρεσβυτικὴν λαβὼν ἡλικίαν ἐπὶ τὴν τῆς οἰκείας πάλιν περιόδου δωδεκαετίαν τὸ μὲν αὐτουργὸν καὶ ἐπίπονον καὶ ταραχῶδες καὶ παρακεκινδυνευμένον τῶν πράξεων ἀποστρέφεσθαι ποιεῖ, τὸ δὲ εὔσχημον καὶ προνοητικὸν καὶ ἀνακεχωρηκός, ἔτι δὲ ἐπιλογιστικὸν πάντων καὶ νουθετικὸν ἀντεισάγει τιμῆς τε μάλιστα καὶ ἐπαίνου καὶ ἐλευθεριότητος ἀντιποιεῖσθαι κελεύων μετ’ αἰδοῦς καὶ σεμνοπρεπείας. Τελευταῖος δὲ ὁ τοῦ Κρόνου τὴν ἐσχάτην καὶ γεροντικὴν ἡλικίαν ἀπεκληρώθη μέχρι τῶν ἐπιλοίπων τῆς ζωῆς χρόνων κατεψυγμένων ἤδη καὶ ἐμποδιζομένων τῶν τε σωματικῶν καὶ τῶν ψυχικῶν κινήσεων ἐν ταῖς ὁρμαῖς καὶ ἀπολαύσεσι καὶ ἐπιθυμίαις, καὶ ταχείας τῆς ἐπὶ τὴν φύσιν παρακμῆς ἐπιγινομένης ἐν βίῳ κατεσκληκότι καὶ ῥαθύμῳ καὶ ἀσθενικῷ καὶ εὐπροσκόπῳ καὶ πρὸς ἅπαντα 〈δυσαρέστῳ κατὰ〉 τὸ οἰκεῖον τῆς τῶν κινήσεων νωχελίας.

193 Αἱ μὲν οὖν κατὰ τὸ κοινὸν καὶ καθόλου τῆς φύσεως θεωρούμεναι τῶν χρόνων ἰδιοτροπίαι τοῦτον τὸν τρόπον προϋποτετυπώσθωσαν, τῶν δὲ ἐπὶ μέρους κατὰ τὸ τῶν γενέσεων ἴδιον ὀφειλουσῶν λαμβάνεσθαι τὰς μὲν κατὰ τὸ προϋποτεθειμένον πάλιν καὶ ὁλοσχερέστερον ἀπὸ τῶν κυριωτάτων ἀφέσεων ποιησώμεθα, πασῶν μέντοι καὶ οὐκ ἀπὸ μιᾶς ὥσπερ ἐπὶ τῶν τῆς ζωῆς χρόνων, ἀλλὰ τὴν μὲν ἀπὸ τοῦ ὡροσκόπου πρὸς τὰ σωματικὰ τῶν συμπτωμάτων καὶ τὰς ξενιτείας, τὴν δὲ ἀπὸ τοῦ κλήρου τῆς τύχης πρὸς τὰ τῆς κτήσεως, τὴν δὲ ἀπὸ τῆς Σελήνης πρὸς τὰ τῆς ψυχῆς πάθη καὶ τὰς συμβιώσεις, τὴν δὲ ἀπὸ τοῦ Ἡλίου πρὸς τὰ κατ’ ἀξίαν καὶ δόξαν, τὴν δὲ ἀπὸ τοῦ μεσουρανήματος πρὸς τὰς λοιπὰς καὶ κατὰ μέρος τοῦ βίου διαγωγὰς οἷον πράξεις, φιλίας τε καὶ τεκνοποιίας. οὕτω γάρ, φησίν, ἐν ταῖς τοσαύταις ἀφέσεσιν οὐχ εὑρίσκεται εἷς κύριος ἀγαθοποιὸς ἤτοι κακοποιὸς ἐν τοῖς αὐτοῖς καιροῖς πολλῶν ὡς ἐπὶ τὸ πολὺ συμβαινόντων τῶν ἐναντίων συμπτωμάτων, ὡς ἐάν τις ἀποβαλὼν πρόσωπον οἰκεῖον λάβῃ κληρονομίαν ἢ νόσῳ καταληφθεὶς καὶ κατὰ τὸ αὐτὸ τύχῃ ἀξίας καὶ προκοπῆς ἢ ἐν ἀπραγίᾳ τυγχάνων τέκνων πατὴρ γένηται καὶ ὅσα τοιαῦτα συμβαίνειν εἴωθεν. οὐ γὰρ τὸ αὐτὸ διὰ πόνων σώματος καὶ ψυχῆς καὶ κτήσεως καὶ ἀξιώματος καὶ τῶν συμβαινόντων ἀγαθῶν ἢ κακῶν ὡς ἐξ ἀνάγκης ἐν τούτοις πᾶσιν εὐτυχεῖν τινας ἢ πάλιν ἀτυχεῖν, ἀλλὰ συμβαίνει μὲν ἴσως καὶ τὸ τοιοῦτον ἐπὶ τῶν τέλεον εὐδαιμονιζομένων καιρῶν ὅταν ἐν πάσαις ἢ ταῖς πλείσταις ἀφέσεσι συνδράμωσιν ὑπαντήσεις ἀγαθοποιῶν πάντων ἢ πάλιν πάντων κακοποιῶν, σπανίως δὲ καὶ διὰ τῆς ἀνθρωπίνης φύσεως, ἀτελὲς μὲν πρὸς ἑκατέραν τῶν ἀκροτήτων, εὐκατάφορον δὲ πρὸς τὴν ἐκ τῆς ἑκάστης ἐναλλαγῆς τῶν ἀγαθῶν καὶ κακῶν συμμετρίαν.

194 Τοὺς 〈μὲν〉 ἀφετικοὺς τόπους κατὰ τὸν προειρημένον τρόπον διακρινοῦμεν, τοὺς δὲ 〈ἐν〉 ταῖς ἀφέσεσιν ὑπαντῶντας οὐ μόνον τοὺς ἀναιρέτας ὥσπερ ἐπὶ τῶν τῆς ζωῆς χρόνων ἀλλὰ καὶ πάντας ἁπλῶς παραληπτέον, καὶ ὁμοίως οὐ τοὺς σωματικῶς μόνον ἢ κατὰ διάμετρον ἢ

τετράγωνον στάσιν συναντῶντας ἀλλὰ καὶ τοὺς κατὰ τρίγωνον ἢ ἑξάγωνον σχηματισμόν. καὶ πρῶτον μὲν δοτέον τοὺς χρόνους καθ' ἑκάστην ἄφεσιν τῷ κατ' αὐτῆς τῆς ἀφετικῆς μοίρας τυχόντι ἢ συσχηματισθέντι, ἐὰν δὲ μὴ οὕτως τύχῃ τῷ τὴν ἔγγιστα προήγησιν ἐπιλαβόντι μέχρι τοῦ τὴν ἑξῆς εἰς τὰ ἑπόμενα μοῖραν ἐπιθεωρήσαντος, εἶτα τούτῳ μέχρι τοῦ ἑξῆς, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως παραλαμβανομένων εἰς οἰκοδεσποτείαν καὶ τῶν τὰ ὅρια ἐπεχόντων ἀστέρων. δοτέον δὲ καὶ ταῖς τῶν διαστάσεων μοίραις ἔτη κατὰ μὲν τὴν τοῦ ὡροσκόπου ἄφεσιν ἰσάριθμα τοῖς τοῦ οἰκείου κλίματος χρόνοις ἀναφορικοῖς, κατὰ δὲ 〈τὴν〉 τοῦ μεσουρανήματος ἰσάριθμον τοῖς χρόνοις τῶν μεσουρανημάτων, κατὰ δὲ τὰς ἀπὸ τῶν λοιπῶν ἀνάλογον τῷ πρὸς τὰ κέντρα συνεγγισμῷ τῶν ἀναφορῶν ἢ καταφορῶν ἢ μεσουρανήσεων καθάπερ καὶ ἐπὶ τῶν τῆς ζωῆς χρόνων διωρισάμεθα. Τοὺς μὲν οὖν καθολικοὺς χρονοκράτορας ληψόμεθα τὸν εἰρημένον τρόπον, τοὺς δὲ ἐνιαυσιαίους ἐκβάλλοντες τὸ πλῆθος τῶν ἀπὸ τῆς γενέσεως ἐτῶν ἀφ' ἑκάστου 〈τῶν〉 ἀφετικῶν τόπων εἰς τὰ ἑπόμενα κατὰ ζῴδιον ἓν καὶ τοῦ συντελειουμένου ζῳδίου τὸν οἰκοδεσπότην συμπαραλαβόντες, τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν μηνῶν ποιήσομεν ἐκβάλλοντες πάλιν καὶ τούτων τὸ ἀπὸ 〈τοῦ〉 γενεθλιακοῦ μηνὸς πλῆθος 〈ἀπὸ〉 τῶν τὴν κυρίαν τοῦ ἔτους λαβόντων τόπων κατὰ ζῴδιον ἡμέρας κη , ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἡμερῶν· τὰς γὰρ ἀπὸ τῆς γενεθλιακῆς ἡμέρας ἐκβαλοῦμεν ἀπὸ τῶν μηνιαίων τόπων κατὰ ζῴδιον ἡμέρας δύο τρίτον.

195 προσεκτέον δὲ καὶ ταῖς ἐπεμβάσεσι ταῖς πρὸς τοὺς τῶν χρόνων τόπους γιγνομέναις ὡς οὐ τὸ τυχὸν καὶ αὐταῖς συμβαλλομέναις πρὸς τὰ τῶν καιρῶν ἀποτελέσματα, ταῖς μὲν τοῦ Κρόνου πρὸς τοὺς καθολικοὺς τῶν χρόνων τόπους, ταῖς δὲ τοῦ Διὸς πρὸς τοὺς τῶν ἐνιαυσιαίων, ταῖς δὲ τοῦ Ἡλίου καὶ Ἄρεως καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ πρὸς τοὺς τῶν μηνιαίων, ταῖς δὲ τῆς Σελήνης παρόδοις πρὸς τοὺς τῶν ἡμερησίων ὡς τῶν μὲν καθολικῶν χρονοκρατόρων κυριωτέρων ὄντων πρὸς τὴν τοῦ ἀποτελέσματος τελείωσιν, τῶν δὲ ἐπὶ μέρους συνεργούντων ἢ ἀποσυνεργούντων κατὰ τὸ οἰκεῖον ἢ ἀνοίκειον τῶν φύσεων, τῶν δὲ ἐπεμβάσεων τὰς ἐπιτάσεις καὶ τὰς ἀνέσεις τῶν συμπτωμάτων ἀπεργαζομένων. Τὸ μὲν γὰρ καθόλου τῆς ποιότητος ἴδιον καὶ τὴν τοῦ χρόνου παράτασιν ὅ τε τῆς ἀφέσεως τόπος καὶ 〈ὁ〉 τῶν καθολικῶν χρόνων κύριος μετὰ τοῦ τῶν ὁρίων διασημαίνει διὰ τὸ συνοικειοῦσθαι τῶν ἀστέρων ἕκαστον ἐπ' αὐτοῖς τοῖς τῆς γενέσεως τόποις ὧν ἀπ' ἀρχῆς ἔτυχον λαβόντες τὴν οἰκοδεσποτείαν, τὸ δὲ πότερον ἀγαθὸν ἢ τοὐναντίον ἔσται τὸ σύμπτωμα καταλαμβάνεται διὰ τῆς τῶν χρονοκρατόρων φυσικῆς τε καὶ συγκρατικῆς ἰδιοτροπίας εὐποιητικῆς ἢ κακωτικῆς ὡς τῆς ἀπ' ἀρχῆς πρὸς τὸν ἐπικρατούμενον τόπον συνοικειώσεως ἢ ἀντιπαθείας, τὸ δὲ ἐν ποίοις χρόνοις μᾶλλον ἐπισημανθήσεται τὸ ἀποτέλεσμα δείκνυται διὰ τῆς τῶν ἐνιαυσιαίων καὶ μηνιαίων ζῳδίων οἰκειώσεώς τε καὶ ἐπεμβάσεως καὶ σχηματισμῶν Ἡλίου τε καὶ Σελήνης καὶ τῶν ἀστέρων· οἱ μὲν γὰρ συμφώνως ἔχοντες πρὸς τοὺς διατεθειμένους ἀπὸ τῆς ἐν τῇ γενέσει καταρχῆς καὶ κατὰ τὰς ἐπεμβάσεις συμφώνως αὐτοῖς σχηματισθέντες ἀγαθῶν εἰσι πρὸς τὸ ὑποκείμενον εἶδος ἀπεργαστικοὶ καθάπερ ἐὰν ἐναντιωθῶσι φαύλων, οἱ δὲ ἀσυμφώνως καὶ παρ' αἵρεσιν διαμηκίσαντες μὲν ἢ τετραγωνίσαντες ταῖς παρόδοις κακῶν εἰσι παραίτιοι, κατὰ δὲ τοὺς ἄλλους σχηματισμοὺς οὐκέτι.

196 κἂν μὲν οἱ αὐτοὶ καὶ τῶν χρόνων καὶ τῶν ἐπεμβάσεων κυριεύσωσιν ἀστέρες, ὑπερβάλλουσα καὶ ἄκρατος γίνεται τοῦ ἀποτελέσματος ἡ φύσις ἐάν τε ἐπὶ τὸ ἀγαθὸν ἐάν τε ἐπὶ τὸ φαῦλον 〈ῥέπῃ〉 , πολὺ δὲ πλέον ἐὰν μὴ μόνον διὰ τὸ χρονοκράτορας εἶναι κυριεύσωσι τοῦ τῆς αἰτίας εἴδους, ἀλλὰ καὶ διὰ τὸ 〈κατ' αὐτὴν〉 τὴν ἀρχὴν τῆς γενέσεως τὴν οἰκοδεσποτείαν κεκυριευκέναι. κατὰ πάντα δὲ ὁμοῦ δυστυχοῦσιν ἢ εὐτυχοῦσιν ὅταν ἤτοι τόπος εἷς καὶ 〈ὁ〉 αὐτὸς ὑπὸ πασῶν ἢ τῶν πλείστων ἀφέσεων τύχῃ καταληφθεὶς ἢ τούτων διαφόρων οὐσῶν οἱ αὐτοὶ χρόνοι πάσας ἢ τὰς πλείστας ὑπαντήσεις ὁμοίως ἢ ἀγαθοποιοὺς ἢ κακοποιοὺς τύχωσιν

ἐσχηκότες. Ταῦτα μὲν οὖν ὁ Πτολεμαῖος φυσικῶς καὶ καθολικῶς ἐπεκτίθεται περὶ τῆς τῶν καιρῶν ἐπισκέψεως, τῶν δὲ κατὰ μέρος ἐπιβολῶν τῆς ποιότητος τοῦ ἀποτελέσματος ἑκάστου ἀφῆκεν ἡμᾶς καταστοχάζεσθαι ἐκ τῶν καθολικῶν.

197 ἐφεξῆς δὲ τὰ παρὰ τοῖς ἄλλοις ἐκτιθέμεθα περὶ τῶν αὐτῶν καὶ ἃ ἡμεῖς σκεπτόμενοι τῇ πείρᾳ εὑρίσκομεν ἀληθῆ. Ὁ δὲ Δωρόθεος διαιρῶν τοὺς χρόνους κέχρηται πρώτῳ ἀφέτῃ εἰ μὲν εἴη ἡμερινὴ ἡ γένεσις καὶ ὁ Ἥλιος ἐπὶ τοῦ ὡροσκόπου ἢ ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ ἑνδεκάτῳ 〈τῷ〉 κυρίῳ τῶν ὁρίων αὐτοῦ· οὐχ ἁπλῶς κέχρηται, ἀλλὰ χρή, φησίν, αὐτὸν ὁρᾶν τὰ ἴδια ὅρια. εἰ δὲ μὴ εἴη οὕτως, ἕτερος δέ τις ἀστὴρ ὁρᾷ τὸν Ἥλιον ἔχοντα τὸν ἴδιον οἶκον, οὗτος λαμβάνεται, εἰ δὲ καὶ οὗτος ἀπόστροφος εἴη τοῦ Ἡλίου, ἄλλος δέ τις ἴδοι αὐτὸν ἐπέχοντα 〈τὸ ἴδιον ὕψωμα〉, καὶ οὗτος λαμβάνεται, 〈εἰ δὲ καὶ οὗτος ἀπόστροφος εἴη τοῦ Ἡλίου ἄλλος λαμβάνεται〉 ὁ ὁρῶν τὸν Ἥλιον ἐπέχοντα τὸ ἴδιον τρίγωνον. ταῦτα μὲν ἐπὶ ἡμερινῆς γενέσεως ἐὰν ᾖ ὁ Ἥλιος ἐν ἐπικαίροις τόποις καὶ ὁρώμενος παρὰ τοῦ κυρίου τῶν ὁρίων αὐτοῦ ἢ τοῦ οἴκου ἢ τοῦ ὑψώματος ἢ τοῦ τριγώνου. εἰ δὲ μὴ αὐτὸς εἴη, τύχῃ δὲ ἡ Σελήνη, αὐτῆς τὸν κύριον προκρίνομεν τῷ αὐτῷ τρόπῳ, εἰ δὲ μὴ αὐτῆς τὸν κύριον τοῦ κλήρου τῆς τύχης, εἰ δὲ πάλιν ὁ κλῆρος μὴ εὑρεθῇ εἰ μὲν εἴη ἡ προγενομένη συζυγία συνοδικὴ ἐν ἐπικαίρῳ τόπῳ τὸν κύριον αὐτῆς, εἰ δὲ πανσεληνιακὴ ὁμοίως τὸν κύριον αὐτῆς. εἰ δὲ τούτων ὁ κύριος μὴ εὑρεθῇ τελευταῖον πάντων τὸν τοῦ ὡροσκόπου λαμβάνομεν τῷ αὐτῷ τρόπῳ ὥς φησιν· πάντως δ’ οὖν ἀφέτην χρῆν μάρτυρα τῶνδε τετύχθαι. ἐπὶ δὲ νυκτερινῆς γενέσεως τὴν Σελήνην προκρίνομεν ἐν ἐπικαίρῳ οὖσαν τόπῳ. ἐὰν δὲ αὐτὴν μὴ εὑρίσκωμεν, τύχῃ δὲ ὁ Ἥλιος ἐν ταῖς παρὰ τὸν ὡροσκόπον ἐγγὺς ὑπὸ γῆν μοίραις, τῷ κυρίῳ πάλιν αὐτοῦ χρησώμεθα. Πρὸς τούτοις δὲ χρὴ σκοπεῖν τοὺς ἀφετικοὺς τόπους καὶ προκρίνειν τὸν ἀπηλλαγμένον καὶ ἐλεύθερον κακοποιοῦ συστάσεως.

198 δίδοται παρ’ ἑκάστου τῶν ἀστέρων τῇ τάξει τῶν ὁρίων ἐφεξῆς ὁ χρόνος κατὰ τὰς ἀναφοράς, φησίν, τοῦ οἰκείου κλίματος. ἔστω δὲ καὶ τὸ ὑπόδειγμα αὐτοῦ περὶ τούτων· 〈...〉. 〈κζʹ〉 Περὶ ἐνιαυτοῦ Ἀπὸ τοῦ ὡροσκόπου τὸ πλῆθος τῶν ἐτῶν ἔκβαλλε, καὶ εἰς ὃ ἂν καταλήξῃ ζῴδιον τὸν κύριον ἐκείνου σκόπει εἰ ὁρᾷ αὐτὸν καὶ εἰ ἀνατολικός ἐστι καὶ εἰ προσθετικὸς καὶ εἰ ἐν ἰδίοις τόποις, τουτέστιν ὁρίοις ἢ οἴκῳ ἢ τριγώνῳ ἢ ὑψώματι. ὅτι δεῖ καὶ τὸν ὡροσκόπον τοῦ ἐνιαυτοῦ στῆσαι ἐν τῇ ἀντιγενέσει καὶ τοὺς θεωροῦντας αὐτόν τε καὶ τὸν κύριον αὐτοῦ κατὰ πῆξιν καὶ κατὰ πάροδον. ὅτι οἱ ἀστέρες ἰδιοθρονοῦντες χαίρουσι κἂν ὕπαυγοι εἶεν· οἱ μὲν ἀγαθοὶ ἐπαύξουσι τὰ ἀγαθά, οἱ δὲ φθοροποιοὶ μεταβάλλονται εἰς ἀγαθοποιίαν. ὅτι οἱ ἀστέρες ἐναντιώμενοι τοῖς ἰδίοις οἴκοις κακύνονται. ὅτι ἐν ταῖς τῶν χρόνων διαιρέσεσι ἡνίκα ποιοῦμεν τοὺς τῶν ἀστέρων περιπάτους δεῖ γινώσκειν ὅτι αἱ κολλήσεις τῶν πλανωμένων καὶ τοῦ ὡροσκόπου καὶ τοῦ μεσουρανήματος καὶ τοῦ κλήρου τῆς τύχης αἱ πρὸς τοὺς ἀπλανεῖς μεγίστην ἰσχὺν καὶ ἐνέργειαν ἔχουσι κατὰ τὰς κράσεις αὐτῶν, καὶ μάλιστα εἰ καὶ τὸν αὐτὸν ἄνεμον ἔχοιεν. ὅτι πρὸ πάντων δεῖ ζητεῖν τὸν ἐνιαυτοκράτορα καὶ τὴν κρᾶσιν αὐτοῦ καὶ τὴν θέσιν καὶ φάσιν, καὶ τοὺς ὁρῶντας αὐτὸν κατά τε πῆξιν καὶ πάροδον, καὶ πῶς ἔκειτο ἐπὶ τῆς γενέσεως, καὶ πῶς εὑρέθη ἐπὶ τῆς παρόδου. ὅτι οἱ συνοδικοὶ ἀστέρες δυναμοῦνται διὰ τὴν μετουσίαν τοῦ ἡλιακοῦ φωτός, τὰς δὲ ἐνεργείας ἐν τοῖς ὕστερον χρόνοις ἀποδιδόασιν.

199 εἰ δὲ καὶ εἴη ὑπὸ ἀγαθοποιῶν καλῶς ἐσχηματισμένος ἀποφαίνου τὸν ἐνιαυτὸν κάλλιστον εἶναι, εἰ δὲ εὑρέθη ἢ ἐν τοῖς ἐναντίοις τῶν προειρημένων ἐναντίον δηλονότι ὑπονοητέον, εἰ δὲ καὶ ἐν ἀλλοτρίῳ οἴκῳ τύχῃ χαλεπώτερος ἔσται, καὶ εἰ μὲν εἶεν οἱ κακοποιοὶ οὕτως ἔχοντες ἐν ἀλλοτρίῳ ἔτι χαλεπώτερος (ἢ γὰρ νόσους ἢ κρίσεις ἢ ξενιτείας ποιοῦσιν), εἰ δὲ ἀγαθοποιοὶ κουφότερος καὶ μετριώτερος (καὶ μετεωρισμοὺς ποιοῦσιν· ἐπὶ μὲν Διὸς δαπάνας ἑκουσίᾳ γνώμῃ, ἐπὶ δὲ Ἀφροδίτης γυναικείους τινὰς μώμους ἐπιφέρει, ἐπὶ δὲ Ἑρμοῦ ζημίας καὶ ἀξυνθήκας). καλῶς οὖν κείμενοι καὶ οἱ κακοποιοὶ ἐν τῇ ἀντιγενέσει καλὰ ποιοῦσιν, ὁ μὲν

Ἄρης πράξεις μετὰ θερμότητος, ὁ δὲ Κρόνος ὁμοίως ἐνεργῶς περὶ γεωπονίας ἢ οἰκοδομίας. οἱ δὲ ἀγαθοποιοὶ βελτίονα παρέχουσιν, ὁ μὲν Ζεὺς σύστασιν καὶ εὐγαμίαν καὶ φιλίαν καὶ εὔκλειαν, ἔσθ’ ὅτε καὶ τέκνωσιν, ἡ δὲ Ἀφροδίτη ὁμοίως τὰ αὐτὰ καὶ χάριν παρὰ θηλείας, ὁ δὲ Ἑρμῆς ἐκ λόγων κέρδη. ἢν δὲ μόλῃ λυκάβαντος ἀφ’ ὡρονόμοιο δοθέντος 〈...〉. 〈κηʹ〉 Περὶ μηνῶν καὶ ἡμερῶν Καὶ περὶ τῶν μηνῶν δὲ καὶ ἡμερῶν ὡσαύτως σκέπτου τοὺς ἐπιόντας ἢ καὶ ὁρῶντας τῶν ἀστέρων τὸ ζῴδιον εἰς ὃ ἐμπίπτει ὁ μὴν ἢ καὶ ἡμέρα, καὶ οὕτως στοχάζου. γινώσκεται δὲ τὸ ζῴδιον εἰς ὃ ἐμπίπτει ἀπὸ τοῦ πλήθους τῶν μηνῶν ἐκβαλλομένου ἀπὸ τοῦ γενεθλιακοῦ μηνὸς κατὰ τὸ ἓν ζῴδιον ἑνὸς μηνὸς ἐφεξῆς ἀπὸ τοῦ τὸν ἐνιαυτὸν λαχόντος ζῳδίου. ἐπιτήρει δέ, φησίν, καθ’ ἕκαστον ἔτος τὰ τετράγωνα καὶ τὰ διάμετρα σχήματα τῶν κακοποιῶν πρὸς τὸ λαχὸν ζῴδιον τὸν ἐνιαυτόν, καὶ τὰς συνόδους δὲ καὶ πανσελήνους ὁμοίως εἰ πρὸς ἀγαθοποιοὺς ἐγένοντο ἢ ἐναντίους ἐν τοῖς τέσσαρσι τούτοις τόποις ἐπισκεπτέον.

200 Περὶ δὲ ἡμέρας ἔκβαλλε τὸ πλῆθος τῶν ἡμερῶν τῶν ἀπὸ τῆς γενεθλίας ἡμέρας τοῦ μηνιαίου ζῳδίου κατὰ ζῴδιον ἓν ἡμέρας δύο ἥμισυ, καὶ εἰς ὃ ἂν λήξῃ ἐκεῖνο ἕξει τὰς ἡμέρας. ὁ δὲ Δωρόθεος περὶ μηνὸς καὶ ἡμέρας ταῦτα λέγει· ἔστω σοι καὶ μῆνα δοκευέμεν ὧδ’ ἐρέοντι 〈...〉. 〈κθʹ〉 Διαίρεσις ι ἐτῶν καὶ μηνῶν θ Ἤδη δέ τινες τῶν ἀρχαίων Αἰγυπτίων συνθέντες τὰς περιόδους ὁμοῦ τῶν ζ ἀστέρων συντεινούσας εἰς ἔτη δέκα καὶ μῆνας θ , ἀρξάμενοι ἀπὸ πρώτου καὶ αἱρετικοῦ φωτὸς ἐμέρισαν τοῖς ἐφεξῆς ἀστράσι κατὰ τὰ ἐφεξῆς ζῴδια ἑκάστῳ διδόντες τὴν ἰδίαν περίοδον, ἔτι δὲ καὶ ἐπιμερισμὸν κατὰ ἀναλογίαν ἑκάστης περιόδου εἰς βραχυτέρους χρόνους ποιησάμενοι ἀπὸ τοῦ χρονοκράτορος τοῖς ἐφεξῆς ὁμοίως δεδώκασιν. οἷον ἔστω Κρόνος ὁ τοὺς καθολικοὺς χρόνους ἔχων, τουτέστι τὰ ἔτη ι καὶ μῆναςθ · ἐκ τούτων μερίζει ἑαυτῷ μὲν μῆνας λ , Διὶ δὲ (ἐὰν ᾖ ἐφεξῆς) μῆνας 〈 ιβ , καὶ Ἄρει πάλιν (εἰ ἐφεξῆς εἴη) μῆνας ιε , καὶ τοῖς ἐφεξῆσ〉 ὁμοίως ἀστράσιν, Ἡλίῳ μὲν μῆνας ιθ , Ἀφροδίτῃ δὲ η , Ἑρμῇ δὲ κ , Σελήνῃ δὲ κε . καὶ αὕτη μὲν ἡ πρώτη καὶ ἀκροτάτη διαίρεσις. ἐν δὲ τῇ ὑποδιαιρέσει Κρόνος ἀφ’ ὧν λαμβάνει μηνῶν λ κατὰ ἀναλογίαν μερίζει ἑαυτῷ ἡμέρας σι , Διὶ ἡμέρας πδ , Ἄρει ἡμέρας ρε , Ἡλίῳ ἡμέρας ρλγ , Ἀφροδίτῃ ἡμέρας νς , Ἑρμῇ ἡμέρας ρν , Σελήνῃ ἡμέρας ροε · πάλιν Ζεὺς ἐκ τῶν αὐτοῦ μηνῶν ιβ ἐπιμερίζει ἑαυτῷ ἡμέρας λδ , Κρόνῳ ἡμέρας πε , Ἄρει ἡμέρας μβ , Ἡλίῳ ἡμέρας νδ , Ἀφροδίτῃ ἡμέρας κβ , Ἑρμῇ ἡμέρας νζ , Σελήνῃ ἡμέρας οα · Ἄρης ἐκ τῶν ἑαυτοῦ μηνῶν ιε ἑαυτῷ ἐπιμερίζει ἡμέρας νβ , Ἡλίῳ ἡμέρας ξς , Ἀφροδίτῃ ἡμέρας κη , Ἑρμῇ ἡμέρας ο , Σελήνῃ ἡμέρας πζ , Κρόνῳ ἡμέρας ρε , Διὶ ἡμέρας μβ · Ἥλιος ἐκ τῶν αὐτοῦ μηνῶν ιθ ἑαυτῷ ἐπιμερίζει ἡμέρας πγ , Σελήνῃ ριη , Κρόνῳ ρλ , Διὶ νβ , Ἄρει ξδ , Ἀφροδίτῃ λε , Ἑρμῇ πζ · Ἀφροδίτη ἐκ τῶν ἑαυτῆς μηνῶν η ἑαυτῇ ἐπιμερίζει ἡμέρας ιε , Ἡλίῳ λς , Σελήνῃ μζ , Κρόνῳ νζ , Διὶ κβ , Ἄρει κη , Ἑρμῇ λη · Ἑρμῆς ἐκ τῶν ἑαυτοῦ μηνῶν κ ἑαυτῷ ἐπιμερίζει ἡμέρας ϙς , Ἡλίῳ ϙ , Σελήνῃ ριζ , Κρόνῳ ἡμέρας ρμα , Διὶ νς , Ἄρει ο , Ἀφροδίτῃ λς · Σελήνη ἐκ τῶν ἑαυτῆς μηνῶν κε ἑαυτῇ μερίζει ἡμέρας ρμη , Ἡλίῳ ριε , Κρόνῳ ροζ , Διὶ οα , Ἄρει πζ , Ἀφροδίτῃ μζ , Ἑρμῇ ριθ .

201 Ἐξ εὐχεροῦς δὲ καὶ διὰ μνήμης ἔχων ποιήσεις τὴν ἀναλογίαν τοῦ ἐπιμερισμοῦ οὕτως. ἐπὶ μὲν Κρόνου τοὺς λ μῆνας ἀναλύσας εἰς ἡμέρας ϡ μέριζε εἰς τοὺς ρκθ μῆνας τὰς κοινῇ αὐτῶν περιόδους· γίνονται ζ ἔγγιστα. ἑπτάκις οὖν ἑκάστου ἀστέρος τὴν περίοδον ποίει, καὶ εὑρήσεις τὸν λεπτότερον ἐπιμερισμὸν ἐπὶ τῆς αὐτοῦ δεκαετηρίδος· ὅσον γὰρ μέρος εἰσὶν οἱ λ μῆνες τῶν ρκθ μηνῶν τοσοῦτον μέρος γίγνονται οἱ ζ μῆνες (τουτέστιν ἡμέρας σι ) τῶνδε λ μηνῶν (τουτέστιν ἡμέρας ϡ ), καὶ ἐπὶ μὲν Κρόνου οὕτως· ἐπὶ δὲ Διὸς ἑπτάκις πάλιν τοὺς δώδεκα αὐτοῦ μῆνας ποιήσεις, καὶ εὑρήσεις ἡμέρας πδ · καὶ ἐπὶ τῶν λοιπῶν ἀστέρων ἐφεξῆς. ἐπὶ δὲ τοῦ λεπτοτέρου μέρους τοῦ Διὸς ἐν τῇ ἰδίᾳ δωδεκαετηρίδι πάλιν μέρισον αὐτὴν τὴν περίοδον (τουτέστι τὸν ἐνιαυτόν) ἐπὶ τὰ ρκθ · γίγνονται δύο ∠ ʹ γʹ ἔγγιστα ἅτινα ὁμοίως πολλαπλασίασον ἐπὶ τὴν ἑκάστου περίοδον. τοῖς ιβ μησὶ ἐφ’ ἑκάστου ἐνιαυτοῦ συλλαμβάνουσι καὶ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πενθήμερον. Ἰστέον μέντοι ὅτι εὑρίσκομεν τὰ ἀποτελέσματα μᾶλλον συμφωνοῦντα ἐπὶ τῶν χρονοκρατόρων τῆς δεκαετηρίδος ὅταν ἀπὸ τοῦ αἱρετικοῦ φωτὸς ἐπικέντρου ὄντος τὴν ἄφεσιν τῶν χρόνων μερίσωμεν· ἀποκλίνοντος γὰρ καὶ ἀσυνδέτου ὄντος τῷ ὡροσκόπῳ οὐχ ὁμοίως εὑρίσκομεν συμφώνως τὰ ἀποτελέσματα.

202 ὅταν οὖν μὴ εὕρωμεν καλῶς κείμενον τὸ τῆς αἱρέσεως φῶς, ἄλλον δέ τινα τῶν ἀστέρων ἐπίκεντρον καὶ δυναμικώτερον, ἐκείνῳ διδόναι τὴν προτερίαν ὀφείλομεν τῆς τῶν τοιούτων χρόνων ἀφέσεως. 〈λ′〉 Περὶ χρονοκρατορίας Κρόνου Ὁ τοῦ Κρόνου λαμβάνων τοὺς καθολικοὺς χρόνους ἢ καὶ 〈τοὺσ〉 μερικοὺς ἐπὶ μὲν ἡμερινῆς γενέσεως χωρὶς τῆς πρὸς Ἄρεα διαμετρήσεως ἢ τετραγώνου στάσεως καὶ ἐπὶ ἀνατολῆς ἑῴας οὐ κακὸς ἀνεγράφη ἀλλ' ὠφέλιμος, καὶ ἀπὸ παλαιῶν πραγμάτων ἢ μυστηρίων ἢ κληρονομιῶν ποιεῖ κέρδος, ἀπό τε συγγενικῶν προσώπων καὶ μάλιστα πρεσβυτέρων, ἔτι δὲ καὶ γεωπονεῖν παρασκευάζει, καὶ εἰς πάντα οἱ χρόνοι ἀγαθοὶ καὶ ἐπιτευκτικοὶ γενήσονται. ἐπὶ δὲ νυκτερινῆς γενέσεως χαλεπὸς ἐν πᾶσι τοῖς ἐγχειριζομένοις γενήσεται (οὐ γὰρ διαλείπουσι κίνδυνοι τὸν χρόνον καὶ ἀπραγίαι καὶ σωματικαὶ ἀσθένειαι), ποιεῖ 〈δὲ〉 καὶ ἀποβολὰς καὶ ζημίας καὶ λύπας καὶ κρίσεις καὶ θανάτους οἰκείων καὶ παλαιῶν ἀνασκευὰς καὶ φίλων ἐπιθέσεις καὶ συκοφαντίας, παρά τε ἐγγαίων καὶ θεμελίων ποιεῖ γενέσθαι λύπας. Ἂν μὲν ἐν ἡλιακῷ ζῳδίῳ τύχῃ ἐξ ὑπερεχόντων βιασθήσεται ἐν ζημίαις καὶ κινδύνοις, ἀλγήσει δὲ καὶ νεῦρα καὶ νόσους πολυχρονίους ἕξει καὶ πατρικῶν βλάβας.

203 ἐπὶ δὲ νυκτερινῆς γενέσεως ἐν σεληνιακῷ τυχὼν ζῳδίῳ ποιεῖ στομαχικοὺς κινδύνους καὶ ἀπραγίας. ἐὰν δὲ Σελήνη τύχῃ λήγουσα ἐπὶ νυκτερινῆς γενέσεως ποιεῖ λύπας καὶ μερίμνας καὶ θλίψεις βιωτικὰς καὶ ἐξ ὑγρῶν ὀχλήσεις καὶ νόσους μητρὶ ἢ ἀδελφοῖς πως· ἔχουσι καὶ θηλυκῶν προσώπων κινδύνους, ἡμέρας δὲ καὶ τῆς Σελήνης αὐξιφωτούσης ἀγαθὸς καὶ πρακτικὸς ἐν πᾶσι γενήσεται ὁ χρόνος. Ἐν δὲ ἰδίοις τόποις τυχὼν ἡμέρας ἀγαθός (περίκτησιν γὰρ σημαίνει), νυκτὸς δὲ κακῶν πλείστων αἴτιος γενήσεται ὁ χρόνος, ὁ δὲ ἐν ἰδίοις τόποις λαχὼν στομαχικαῖς καὶ ἔχθραις αἰφνιδίοις περιπεσών. ἐν δὲ Διὸς τόποις ἡμέρας ἐν πᾶσιν ἔσται ἀγαθός (καὶ γὰρ κληρονομίας καὶ δόξας περιποιεῖ καὶ κέρδη καὶ προκοπὰς καὶ πράξεις), νυκτερινῆς δὲ ἐν τῇ ἀρχῇ ἀπραγήσει καὶ ἀνωμαλήσει, ὕστερον δὲ εὖ πράξει καὶ ἐχθρῶν περιγενήσεται. ἐν δὲ Ἄρεως τόποις ἐπὶ νυκτερινῆς γενέσεως ψῦξιν πράξεως καὶ πραγμάτων ἐκκοπὰς καὶ ἐχθρῶν ἐπαναστάσεις καὶ θλίψεις βιωτικὰς καὶ ψυχοπονίας καὶ ἀπραγίας ἀποτελεῖ καὶ σωματικὰς ἀσθενείας. ἐν δὲ τῆς Ἀφροδίτης ψόγον οἴσει διὰ γυναικὸς καὶ βλαβήσεται καὶ θορύβους ἕξει, τισὶ δὲ καὶ νόσους γυναικὸς ἢ πένθος κατεργάζεται, καὶ ἐν πᾶσι λυπηρὸς καὶ ἀηδὴς ὁ χρόνος ἔσται. ἐν δὲ τόποις Ἑρμοῦ συκοφαντίας ποιήσει καὶ πένθος συγγενικῶν, τέκνων φθορὰς καὶ κρίσεις καὶ φόβους καὶ διαβολάς, τισὶ δὲ ἐπὶ θρεπτῶν τέκνων λύπας φέρει καὶ ἔχθρας καὶ δόλους καὶ ψευδοκατηγορίας καὶ μετάβασιν ἕνεκα ἐχθρῶν καὶ παλαιῶν πραγμάτων ἀνασκευὰς καὶ ἐπιθέσεις. Τῷ δὲ τοῦ Διὸς ἐπιμερίζων μῆνας καὶ ἡμέρας ὁ Κρόνος ἐπὶ ἡμερινῆς γενέσεως ἀγαθὰ σημαίνει καὶ πράξεις· ποιεῖ περίκτησιν γὰρ καὶ κέρδη καὶ σώματος εὐρωστίαν, ἤτοι γὰρ κληρονομοῦσιν ἢ προκόπτουσιν, καὶ ἐν ταῖς πράξεσιν εὐημεροῦσιν καὶ φιλίας ἐπισήμους ἕξουσιν.

204 ἐπὶ δὲ νυκτερινῆς οὐ καλῶς ἀνεγράφη· ἐναντιώματα γὰρ καὶ ἀπραγίας παρέχει καὶ βιωτικὰς θλίψεις καὶ ψύξεις καὶ ταραχὰς καὶ οἰκειακὰς μέμψεις καὶ σωματικὰς ἀσθενείας. Κρόνος τῷ Ἄρει ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως κακὸς καὶ βλαπτικὸς πέφυκεν (ἐπιφέρει γὰρ νόσους καὶ ταραχὰς καὶ ἀνασκευὰς πραγμάτων καὶ λύπας καὶ πένθη καὶ ἀποβολὰς πατρικὰς καὶ ἐναντιώσεις καὶ ἀνεπιτευξίας πραγμάτων), καὶ ἐπίμοχθος ὁ πᾶς διανύεται χρόνος, ἢ ξενιτείας ἀθέτους καὶ ἐπικινδύνους παρέχεται ἢ οἰκειακὰς λύπας καὶ συγγενικὰ πένθη ἀνωφελῆ. ἐπὶ δὲ νυκτερινῆς μέτρια τὰ φαῦλα γενήσεται καὶ μετὰ βραδύτητος, καὶ δυσπραξίας περιγενήσεται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν χρόνων καὶ πράξεις ἕξει καὶ σώματος εὐρωστίαν καὶ τῶν φαύλων κατόρθωσιν, καὶ ἐπιτευκτικὸς ὁ χρόνος ἔσται πλὴν μετὰ μόχθων καὶ θορύβων. Κρόνος Ἀφροδίτῃ ἐπιμερίζων μῆνας καὶ ἡμέρας ἐπὶ ἡμερινῆς γενέσεως προκοπὰς καὶ συστάσεις ἐκ φίλων ποιεῖ, συκοφαντίας ἐπιπλοκὴν καὶ βίου κατόρθωσιν, μάλιστα καὶ τῆς Ἀφροδίτης ἀθεωρήτου οὔσης ὑπὸ κακοποιῶν. ἐπὶ δὲ νυκτερινῶν εἰς μὲν τὰς πράξεις ἔσται ἀγαθή, ἐπιφέρει δὲ κωλυσμοὺς καὶ λύπας καὶ βλάβας διὰ γυναῖκας, εἰ δὲ καὶ ὕπαυγος ᾖ ἡ Ἀφροδίτη ὑπὸ κακοποιῶν θεωρουμένη ποιεῖ στομαχικοὺς καὶ οἰκειακὰς λύπας καὶ μερίμνας καὶ δαρμοὺς καὶ κλοπάς, καὶ ὁ χρόνος νοσώδης καὶ ἀηδὴς ἔσται. Κρόνος Ἑρμῇ ἐπιμερίζων μῆνας καὶ ἡμέρας ἐπὶ ἡμερινῆς γενέσεως ὡς ⟨ἐπ'⟩ ἀνατολικῆς τυχόντι μετρίας μὲν τὰς πράξεις καὶ κέρδη ποιεῖ καὶ ἀπὸ λόγων καὶ πραγμάτων κρυπτῶν, καὶ φίλων εὐεργεσίας, πάντα δὲ μετὰ βραδύτητος καὶ ἀγωνίας διανύεται τὰ πράγματα. ἐπὶ δὲ νυκτὸς καὶ τοῦ Ἑρμοῦ ἐπὶ δύσεως ἑσπερίας ὄντος ἢ ὑπὸ κακοποιοῦ θεωρουμένου κακὸς καὶ ἀηδὴς γενήσεται ὁ χρόνος (ἀπραγίας γὰρ σημαίνει καὶ ἔχθρας καὶ δίκας καὶ ζημίας ἀρχαίων πραγμάτων, ἀργυρικῶν δανείων ἢ ἐγγυητικῶν προσώπων), καὶ ἐν θορύβοις ἔσται καὶ δίκαις, καὶ ὅρκους ποιήσεται καὶ ὁδοὺς καὶ βλάβας καὶ ἀσθενείας καὶ βρόχους, καὶ αὐτὸς ποιήσει πόνον καὶ οἰκειακὰς λύπας χάριν θρεπτῶν, καὶ εἰς μεσιτείας καὶ κοινωνίας καὶ συναλλαγὰς βλαπτικὸς καὶ ἄπρακτος γενήσεται ὁ χρόνος.

205 Κρόνος Σελήνῃ ἐπιμερίζων μῆνας καὶ ἡμέρας ἐπὶ ἡμερινῆς γενέσεως ἐπὶ ἀνατολῆς φερομένῃ κατόρθωσιν τῶν πραγμάτων καὶ ἀποφυγὴν τῶν κακῶν ἀπεργάζεται καὶ πρᾶξιν καὶ φιλίαν, τῆς Σελήνης μειουμένης μετὰ ἀνωμαλίας καὶ σκυλμῶν καὶ θορύβων καὶ ἀπιστιῶν καὶ μόχθων περιγενήσεται τῶν πραγμάτων, καὶ σύστασιν καὶ κέρδη παρὰ προσδοκίαν ἕξει. νυκτὸς δὲ μειουμένης τῆς Σελήνης νόσους σωματικὰς καὶ πόνους ἐν κρυπτοῖς ποιήσει καὶ βῆχα, στομάχων πόνον καὶ μοχθηρὸν ποιήσει καιρόν, ζημίας καὶ κινδύνους, καὶ θορυβώδης ὁ χρόνος ἔσται, καὶ θάνατος τοῖς ἔχουσι γυναικὸς ἢ θηλυκοῦ προσώπου ἀποβολήν. Κρόνος Ἡλίῳ ἐπιμερίζων ἐπὶ νυκτερινῆς γενέσεως κινδύνους παρέχει καὶ ἀπραγίας καὶ θανάτους οἰκείων προσώπων καὶ φόβους καὶ σωματικὰς ἀσθενείας καὶ ἐπανάστασιν ἐχθρῶν καὶ ἐπιπλοκὰς ἐξ ὑπερεχόντων προσώπων καὶ φόβους καὶ σωματικὰς ἀσθενείας, καὶ ἀσχοληθήσονται ἀπραγοῦντες καὶ πράξεις ἀπράκτους καὶ μοχθηροὺς ἕξουσιν καὶ ἐξ ἰδίων ἐπιβουλὰς καὶ τῷ σώματι πυρετόν, τισὶ δὲ καὶ ῥίγους ἕνεκεν ἀπραγίας ἐκ δημοσίων, καὶ ὁ χρόνος μετέωρος καὶ κινδυνώδης γενήσεται. ἐπὶ δὲ ἡμερινῆς γενέσεως μετὰ ἀνωμαλίας καὶ μόχθου καὶ ἀπιστιῶν καὶ ἀντιζηλιῶν φίλων ποιεῖ περιγενέσθαι τῶν κακῶν, καὶ ἐχθρῶν καθαίρεσιν καὶ πρᾶξιν σημαίνει, καὶ σύστασιν ἐκ φιλίας ὑπερεχόντων καὶ τῶν ἀπραγιῶν μεταβολήν, ἔπειτα κέρδος ὄψεται.

206 ⟨λα'⟩ Περὶ Διὸς χρονοκρατορίας Ὁ δὲ τοῦ Διὸς λαβὼν τὴν χρονοκράτησιν ἐπὶ ἡμερινῆς γενέσεως ἐπί τινος κέντρου ἢ ἐπαναφορᾶς τυχὼν χωρὶς τῆς πρὸς Ἄρεα διαμετρήσεως ἢ τετραγώνου στάσεως, ἀγαθὸς καὶ ὠφέλιμος γενήσεται ὁ χρόνος (καὶ γὰρ περίκτησιν βιωτικὴν ποιήσει) καὶ δοξαστικὸς ἐν παντὶ γενήσεται σύστασιν ποιῶν καὶ φιλίαν ἀφ' ὧν περίκτησιν λαμβάνουσι καὶ ἀπόλυσιν τῶν κακῶν, καὶ μακαρισθήσεται, καὶ κακῶν ἐχθρῶν περιγενήσεται, καὶ ἐπιτευκτικὸς ἔσται ὁ χρόνος. ἐπὶ δὲ νυκτὸς καλῶς κείμενος ἀγαθὰ ἀποτελεῖ, ἀλλὰ καὶ μετὰ μόχθου καὶ ἀπιστίας, κακῶς δὲ κείμενος ποιήσει λύπας καὶ μόχθους, ἀμφισβητήσεις πρὸς ὑπερέχοντας καὶ ζημίας καὶ ξενιτείας καὶ ἀπραγίας καὶ διαβολὰς ποιήσει, καὶ κρίσεις καὶ φθόνους καὶ μερίμνας ἕνεκεν δημοσίων καὶ οἰκειακὰς ἐπηρείας μεγάλων προσώπων καὶ στενοχωρίας βιωτικὰς ἀπεργάζεται. Καὶ ἐὰν μὲν ἐν ἡλιακῷ ζῳδίῳ τύχῃ καλῶς κείμενος προκοπὰς παρέχει καὶ πράξεις ἀφ' ὧν δοξασθήσεται καὶ ὠφεληθήσεται, καί τι μὲν πρὸς ὑπερέχοντα πρόσωπα ἕξει. ἐν δὲ Σελήνης τόποις μείζονας τὰς πράξεις ποιεῖ καὶ ἐπικερδεῖς, καὶ μάλιστα τῆς Σελήνης αὐξιφωτούσης, καὶ προκοπὰς καὶ κέρδη παρέχεται καὶ ἐκ θηλυκῶν προσώπων ὠφελείας. Ἐν δὲ ἰδίοις τόποις τυχὼν καὶ ὠφέλιμος γενήσεται, καὶ γὰρ κληρονομίας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δίδωσι καὶ προκοπὰς ἐπισήμους καὶ πράξεις καὶ ἐχθρῶν ἐπικράτησιν. ἐν δὲ Ἄρεως τόποις συμφώνως πρὸς αὐτὸν τυχὼν παρέχει ἐκ δημίων καὶ στρατιωτικῶν, ἀνδρῶν ἐπισήμων εὐεργεσίας, ἐὰν δὲ τετράγωνος τύχῃ ἢ διάμετρος ἀνωμαλίας καὶ βλάβας καὶ θορύβους καὶ ἔχθρας ποιήσει, καὶ εἰς ὃ ἂν ἐπιβάληται οὐκ ἐπιτευκτικὸν ἕξει τὸν καιρόν.

207 ἐν δὲ τῆς Ἀφροδίτης τόποις τυχών, ἐπιχαρὴς ἔσται ὁ χρόνος καὶ προσχαρὴς ἔσται ταῖς πράξεσι καὶ προκοπαῖς καὶ φιλίαις ἐπισήμοις καὶ συνήθειαν καὶ ἐπιπλοκὰς γυναικῶν παρέχει· ἐπικερδῆ καὶ ἱλαρὸν ἕξει καιρόν· ἀγάμοις γάμον, τοῖς δὲ ἔχουσι γάμον σπορὰν τέκνων. ἐν δὲ Ἑρμοῦ τόποις πρακτικούς τε σημαίνει τοὺς χρόνους καὶ ἐπικερδεῖς καὶ σύστασιν καὶ πίστιν ἐκ μεγάλων προσώπων, καὶ ἐν πᾶσιν ὁ χρόνος ἱλαρὸς καὶ ἐπικερδὴς ἔσται, μάλιστα δὲ τοῦ Ἑρμοῦ καλῶς κειμένου ταῦτα ποιεῖ, κακῶς δὲ τυχόντος ἀπραγίας καὶ στενοχωρίας, ἀνασκευὰς καὶ ἔχθρας ἀπεργάζεται. Ζεὺς Κρόνῳ ἐπιμερίζων μῆνας καὶ ἡμέρας ἐπὶ ἡμερινῆς γενέσεως δόξαν καὶ σύστασιν καὶ εὐρωστίαν σώματος ἀποτελεῖ καὶ κέρδη καὶ φιλίας ἐπισήμους καὶ προκοπὰς καὶ ἐχθρῶν ἐπικράτησιν καὶ ἀπόλυσιν κακῶν, καὶ τόπους μεταβάλλει ἐπὶ τὸ εὔκρατον, καὶ βίου πρόσθεσιν καὶ κέρδη ἀπεργάζεται. ἐπὶ δὲ νυκτὸς ἀποβολὰς βιωτικὰς σημαίνει καὶ ἀηδίας καὶ λύπας καὶ σκυλμοὺς καὶ ταραχώδεις χρόνους καὶ διαβολὰς ἐκ φίλων καὶ ἐξ ἰδίων προδοσίας καὶ ἐγκλήματα καὶ στενοχωρίας καὶ συνοχὰς ἐξ ὑπερεχόντων προσώπων ἀπεργάζεται, καὶ εἰς πάντα ψυκτικὸς ὁ χρόνος καὶ ἀηδὴς ἔσται ἔν τε ἀσθενείαις κρυπταῖς καὶ νόσοις μακραῖς καὶ μετεωρισμοῖς ψυχικοῖς. Ζεὺς Ἄρει ἐπιμερίζων μῆνας καὶ ἡμέρας ἐπὶ ἡμερινῆς γενέσεως οὐκ ἀγαθός (λύπας γὰρ παρέχει καὶ ἐπιβουλὰς ἐξ ἰδίων ἢ καὶ ἔχθρας), καὶ εἰκαίας φήμας ἀκούσεται, καὶ μετεωρισμοὺς ἕξει καὶ φόβον καὶ ἀπραγίας, ζημίας, κινδύνους ἐξαίφνης, συκοφαντίας, κατηγορίας καὶ δημοσίων πραγμάτων ταραχὰς καὶ χόλων ἀρχοντικῶν ἐναντιώσεις, ἕξει δὲ τιμὴν καὶ οἰκειακὰς λύπας. ἐπὶ δὲ νυκτερινῆς γενέσεως μετὰ σκυλμῶν καὶ μόχθων πράξεις καὶ στρατείας, ἀγαθούς τε καὶ ἐπικερδεῖς καὶ ἐπιτευκτικοὺς τοὺς χρόνους σημαίνει.

208 Ζεὺς Ἀφροδίτῃ ἐπιμερίζων μῆνας καὶ ἡμέρας ἐπὶ ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως ἀπὸ ξένης ἐπὶ τὰ ἴδια φέρει, καὶ κέρδη παρέχει καὶ πράξεις, καὶ ἐχθρῶν ἐπικράτησιν ποιεῖ, καὶ γυναιξὶ δὲ συνελεύσονται καὶ φιλίας ἕξουσιν, καὶ ἀγάμοις γάμον, γεγαμηκόσι τέκνα ποιήσει, καὶ ἱλαρὸς ὁ χρόνος ἔσται καὶ ἐν τέχναις καὶ ἐπιτηδεύμασι καὶ πίστεσι πρὸς φίλους, τῆς δὲ Ἀφροδίτης ὑπὸ κακοποιοῦ θεωρουμένης καὶ οὔσης ἑσπερίας ἐξ ὄχλων λύπας καὶ θορύβους καὶ ζημίας καὶ κρίσεις καὶ μερίμνας καὶ ἀπραγίας, καὶ καθόλου οἱ χρόνοι ἄπρακτοι καὶ ἐνδεεῖς γενήσονται. Ζεὺς Ἑρμῇ ἐπιμερίζων νυκτὸς καὶ ἡμέρας ποιεῖ προκοπὴν καὶ πίστιν καὶ διὰ λόγων εὐφημίας καὶ ἐκ θηλυκῶν προσώπων ὠφελείας καὶ φιλίας ἀγαθάς, τοῦ δὲ Ἑρμοῦ ὑπὸ κακοποιῶν θεωρουμένου, ὑπαύγου ὄντος, βλαπτικὸς ὁ χρόνος ἔσται· ἔχθρας γὰρ καὶ ζημίας καὶ ἀπραγίας καὶ θορύβους ποιήσει. Ζεὺς Ἡλίῳ ἐπιμερίζων μῆνας καὶ ἡμέρας ἐπὶ ἡμερινῆς γενέσεως μετεωρισμοὺς καὶ στενοχωρίας καὶ κρίσεις καὶ πρὸς ἰδίους φίλους αἰφνιδίους ἔχθρας ἀπεργάζεται περὶ ἀρχαίων πραγμάτων, μάλιστα ἐν ἀρχῇ τῶν χρόνων, καὶ σκυλμὸν σωματικὸν καὶ κεφαλῆς καὶ στομάχου πόνον ποιεῖ, ὕστερον δὲ περιγίνονται πάντων μετὰ μόχθου ὀλίγου καὶ χαιρήσουσι καὶ ἐπισήμων ἀνδρῶν δόξας ἔχουσιν. ἐπὶ δὲ νυκτερινῆς γενέσεως οὐ καλὸς ὁ χρόνος ὑπάρχει (ἀπωλείας γὰρ καὶ διαβολὰς καὶ ζημίας ὁ χρόνος καὶ πένθη καὶ κινδύνους πρὸς τοῖς ἔχουσι σημαίνει), καὶ δυσφημίας καὶ κρίσεις καὶ ἐπιβουλὰς ἀπό τε φίλων καὶ ἔχθρας συγγενικῶν προσώπων πρὸς ὑπερέχοντας καὶ ἐξ ἰδίων προδοσίας καὶ δαπάνας καὶ ἐχθρῶν ἐπαναστάσεις ποιήσει, εἰ δὲ Ἄρης ἐπέλθοι Ἡλίῳ ἔχοντι τοὺς χρόνους νόσους σωματικάς, αἱμαγμοὺς καὶ φρενοβλαβίας ποιεῖ.

209 Ζεὺς Σελήνῃ μερίζων ἐπὶ νυκτὸς καὶ ἡμέρας τῆς Σελήνης ἐξ ἀνατολῆς φερομένης ὠφέλειαν καὶ προκοπὴν καὶ περίκτησιν καὶ νίκην κατ’ ἐχθρῶν σημαίνει καὶ χαρὰν ἐπί τε οἴκῳ καὶ ἀναστροφῇ (καὶ γὰρ ξενιτείας καὶ ἀλλαγὰς τόπων ποιεῖ ἐπὶ συμφέροντι), τῆς δὲ Σελήνης ἐξ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποκρούσεως φερομένης ἄχρηστον ποιήσει καιρόν, καὶ ζημίας καὶ ἔχθρας δικαίας ἕξει καὶ κρίσεις. 〈λβʹ〉 Ἄρεως χρονοκρατορία Ὁ δὲ τοῦ Ἄρεως λαμβάνων τοὺς χρόνους ἐπὶ νυκτερινῆς γενέσεως ἐπί τινος κέντρου ἢ ἐπαναφορᾶς χωρὶς τῆς πρὸς Κρόνον διαμετρήσεως ἢ τετραγώνου στάσεως ἔμπρακτος εἰς πάντα καὶ ἐπικερδὴς καὶ δοξαστικὸς καθέστηκεν (ποιεῖ γὰρ προκοπὰς καὶ περίκτησιν καὶ σύστασιν πρὸς ὑπερέχοντα πρόσωπα καὶ εὐφημίας ὀχλικάς), καὶ μυστικὸς ὁ χρόνος ἔσται. ἐπὶ δὲ ἡμερινῆς γενέσεως, μάλιστα ὕπαυγος, ποιεῖ ἀσθενείας καὶ κινδύνους καὶ διαβολὰς καὶ ἐπηρείας καὶ σκυλμοὺς εἰ μή πως αὐτὸν ἀγαθοποιὸς ἰδὼν τοὺς μόχθους ἀναλύσει. Καὶ ἐν Ἡλίου οἴκῳ οὐκ ἔστιν ἀγαθός (ξενιτείας γὰρ ἔχει καὶ χειμασίας πραγμάτων καὶ νόσους καὶ κινδύνους, τομάς τε σιδήρου), εἰ δὲ Κρόνος ἐπιβῇ καὶ οἰκείων θανάτους ὄψεται πρεσβυτικῶν, ἐὰν δὲ ὁ Κρόνος ἐπ' Ἄρεα ὢν θεωρήσῃ τὸν Ἥλιον ἐκ κοιλιακῆς διαθέσεως κινδυνεύσει καὶ πατρικὸν κίνδυνον ποιεῖ τοῖς ἔχουσι καὶ ὀφθαλμῶν πόνους. ἐν δὲ Σελήνης τόποις στομαχικοὺς καὶ ζημίας καὶ ἀπραγίας καὶ νωθρείας σώματος, λειχῆνας καὶ ψώρας καὶ ἐπιβουλὰς καὶ κρίσεις καὶ λύπας χάριν θηλυκῶν προσώπων, τισὶ δὲ καὶ μητρὸς λύπας ἤ τινος τῶν ἀπὸ γένους θάνατον καὶ ἀκαταστασίαν καὶ ἀμφισβήτησιν πρὸς ἰδίους ποιεῖ καὶ ἐκ δημοσίων βλάβας καὶ κινδύνους ἐκ κοιλιακῆς νόσου καὶ ὀφθαλμῶν πόνον, μάλιστα ἐὰν αὔξῃ ἡ Σελήνη.

210 Ἐν ἰδίοις οἴκοις Ἄρης τυχὼν ἐπὶ νυκτερινῆς γενέσεως καλὸς ἐν πᾶσι τοῖς ἐγχειριζομένοις (εὔπρακτος γὰρ καὶ ἐπικερδὴς ὁ χρόνος), 〈ἐφ'〉 ἡμερινῆς δὲ φαῦλος καὶ ζημίας καὶ ταραχὰς παρέχων. ἐν δὲ Διὸς τόποις ἡμέρας μετεωρισμοὺς χάριν ὀχλικῶν ἢ δημοσίων πραγμάτων καὶ ἀνεπιτεύκτους ἐν ταῖς πράξεσι καὶ ἔχθρας καὶ διαβολὰς πρὸς ὑπερέχοντα πρόσωπα καὶ κρίσεις καὶ ζημίας παρέχων αἰφνιδίους, νυκτὸς δὲ τυχὼν καλὸς ἐν πᾶσι τοῖς ἐγχειριζομένοις, σύστασιν καὶ προκοπὴν καὶ κέρδη καὶ νίκην κατὰ τῶν ἐχθρῶν. ἐν δὲ Κρόνου τόποις καλὸς ἐν πᾶσιν ὁμοίως, καὶ θερμοτέρας πράξεις παρέχει ἀπό τε παλαιῶν καὶ ἀπροσδοκήτων πραγμάτων, καὶ θάνατον ὄψεταί τινων πρεσβυτέρων ἀφ' ὧν μόχθους καὶ μάχας μετὰ ὠφελείας ἕξει. ἐν δὲ τοῖς τῆς Ἀφροδίτης ψόγους ποιήσει καὶ ἐπηρείας καὶ ἔχθρας καὶ στομάχους καὶ οἰκειακὰς μέμψεις διὰ θηλυκὰ πρόσωπα καὶ χωρισμοὺς ἢ καὶ κινδύνους γυναικῶν τοῖς ἔχουσιν, εἰς δὲ τὰς πράξεις ἀγαθός ἐστιν. ἐν δὲ Ἑρμοῦ τόποις κρίσεις καὶ ἀνωμαλίας καὶ διαβολὰς καὶ ἐχθρῶν ἐπαναστάσεις καὶ ζημίας καὶ ψευδοκατηγορίας πρὸς ἰδίους καὶ φίλους, ἔτι δὲ ἐξ ἰδίων θρεπτῶν ἢ δούλων λύπας· εἰς γὰρ κλοπὰς καὶ ἁρπαγμοὺς ὁ χρόνος πᾶς ἔσται. Ἄρης Κρόνῳ ἐπιμερίζων μῆνας καὶ ἡμέρας ἐπιταραχώδεις τοὺς χρόνους σημαίνει καὶ ἀκαταστάτους εἰς γάμον καὶ βίον καὶ τέκνα, καὶ ἀπραγίας καὶ κρίσεις καὶ βίας καὶ ἔχθρας καὶ ἐπιβουλὰς καὶ λύπας καὶ ἀπροκοπίας καὶ πένθος σημαίνει, ἀνωφελῶν γονέων λύπας, μερίμνας βιωτικάς, καὶ καθόλου βλαπτικοὶ καὶ ἄπρακτοι γενήσονται.

211 ἐπὶ δὲ ἡμερινῆς παγκάκιστος· σημαίνει γὰρ δήμου ἐπηρείας καὶ κατακρίσεις, καταπλοκάς, νόσους τε μακρὰς καὶ πένθη καὶ βλάβας εἰ μή πως ἢ Διὸς ἢ Ἀφροδίτης ἐπιμαρτυρίαν ἕξουσι καὶ λύσιν τῶν κακῶν. Ἄρης Διὶ ἐπιμερίζων μῆνας καὶ ἡμέρας ἐπὶ ἡμερινῆς γενέσεως ἐν πᾶσιν ἀγαθοὺς τοὺς χρόνους σημαίνει, καὶ συστάσεις καὶ φιλίας πρὸς ὑπερέχοντας παρέχει ἀφ' ὧν δόξας καὶ προκοπὰς καὶ εὐφημίας καὶ ἀρχὰς λαμβάνουσιν, καὶ ἐχθρῶν ταπείνωσιν καὶ λύσιν κακῶν καὶ κατόρθωσιν πάντων τῶν πραγμάτων (καὶ εἰς πάντα πρακτικὸς ὁ χρόνος ἔσται) καὶ εὐρωστίαν σώματος. ἐπὶ δὲ νυκτερινῆς γενέσεως ἐν ἀρχῇ ἔχθρας καὶ θορύβους καὶ ἀπραγίας καὶ ψύξεις, ὕστερον δὲ περιγενήσεται τῶν φαύλων καὶ συστάσεις καὶ κέρδη καὶ φιλίας ἕξουσιν, καὶ ὀλίγα βλαβέντες πολλῶν περιγενήσονται. Ἄρης Ἀφροδίτῃ ἐπιμερίζων ἐπὶ μὲν νυκτὸς ἀγαθοὺς καὶ πρακτικοὺς τοὺς χρόνους ἀποτελεῖ, καὶ ἐχθρῶν ταπείνωσιν καὶ συναρμογὰς γυναικῶν ἀλλὰ σὺν ψόγῳ, καὶ περίκτησιν ἕξει καὶ κέρδη, μάλιστα τῆς Ἀφροδίτης ἑῴας ἀνατολικῆς οὔσης, εἰ δὲ Κρόνος θεωρήσῃ ἐκ θηλυκῶν προσώπων λύπας καὶ μερίμνας ποιεῖ, εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ τὰ λοιπὰ ἀγαθή ἐστιν. ἐπὶ δὲ ἡμερινῆς γενέσεως εἰς μὲν τὰς πράξεις ἀγαθή, πλὴν ἐπιφέρει θορύβους καὶ ἔχθρας γυναικῶν καὶ ἐκτρωσμοὺς καὶ φίλων ἀχαριστίας καὶ ψόγον διὰ γυναῖκα καὶ διαθέσεις ἐρωτικὰς ἢ μοιχείας καὶ χωρισμοὺς γυναικῶν καὶ συγκρούσεις ἢ καὶ διαβολὰς καὶ κατάγνωσιν. Ἄρης Ἑρμῇ ἐπιμερίζων ἐπὶ νυκτερινῆς καὶ ἡμερινῆς γενέσεως, ὑπὸ δὲ τούτου διαμετρούμενος ἢ καὶ τετραγωνιζόμενος, κακουργίας πραγμάτων καὶ λῃστρικὰς ἐπιθέσεις καὶ κρίσεις καὶ συνοχὰς ἔκ τε φίλων καὶ δούλων ἐπιβουλὰς καὶ πλοκὰς καὶ ἐπηρείας καὶ συκοφαντίας πραγμάτων καὶ χάριν δανείων ἢ ἐγγυητικῶν προσώπων θορύβους καὶ ἐγκλήματα καὶ ἐναντιώσεις φίλων καὶ δούλων καὶ σώματος κίνδυνον ποιεῖ εἰ μή πως Ζεὺς ἐπιθεωρήσας ποιήσει πράξεις ἀγαθὰς καὶ ἀναστροφὰς καὶ ἐχθρῶν ἐπικράτησιν.

212 Ἄρης Ἡλίῳ ἐπιμερίζων ἐπὶ ἡμέρας τοῦ Ἡλίου κεκακωμένου ποιεῖ κινδύνους, ταραχάς, δικολογίας ἕνεκεν δημοσίων πραγμάτων καὶ ζημίας καὶ ξενιτείας καὶ πατρικῶν ἀποστέρησιν ἢ πατρὸς κίνδυνον τοῖς ἔχουσι καὶ ἐχθρῶν ἐπανάστασιν καὶ ἐπηρείας καὶ νόσους καὶ ἀπὸ κρημνοῦ πτῶσιν ἢ ἀπόπληξιν ἢ ἀγχόνην καὶ μετεωρισμὸν παρέχεται εἰ μή πως Ζεὺς ἢ Ἀφροδίτη θεωρήσαντες θεραπεύσωσι καὶ ποιήσωσι πρᾶξίν τινα καὶ ἀναστροφὰς μετὰ μόχθων καὶ ἀπιστιῶν, πλὴν ἐπιφέρει νόσους χάριν οἰκείων δούλων ἢ καὶ τέκνων, ἐπαναστάσεις ὄχλων, καταβολὰς καὶ κεφαλῆς καὶ ὀφθαλμῶν πόνον ἕξουσιν. ἐπὶ νυκτὸς ἀγαθὸς καὶ πρακτικὸς ἐν πᾶσι καθέστηκε, καὶ πράξεις καὶ φιλίας καὶ ἀπόλυσιν κακῶν παρέχεται μετὰ μόχθου καὶ ἀπιστίας. Ἄρης Σελήνῃ ἐπιμερίζων ἐπὶ νυκτερινῆς γενέσεως τῆς Σελήνης ἐξ ἀνατολῆς φερομένης χαλεποὺς χρόνους σημαίνει καὶ ἐπικινδύνους· ἐπιφέρει γὰρ φόβους καὶ αἰφνιδίων πραγμάτων ταραχὰς καὶ ζημίας καὶ πένθη θηλυκοῦ προσώπου (μητρὸς 〈ἢ〉 καὶ συγγενικῆς κεφαλῆς), ἀκαταστατήσει δὲ καὶ ἀσθενήσει καὶ αἱμαγμοὺς καὶ ἐκτρωσμοὺς ἕξει καὶ τόπων ἀλλαγὰς εἰ μή πως ἀγαθοποιὸς ἰδὼν ἀποφυγὴν δώσει τῶν κακῶν. ἐξ ἀποκρούσεως δὲ φερομένης τῆς Σελήνης 〈ἐπὶ〉 νυκτερινῆς εἰς πάντα ἀγαθὸς καὶ ὠφέλιμος ἔσται, καὶ προκοπὴν καὶ σύστασιν εὐεργεσίας χάριν καὶ κέρδη καὶ βίου κατόρθωσιν, ἡμέρας δὲ ταράττει καὶ βλάπτει, ἀλλὰ μεταβάλλει τὸ κακὸν καὶ ἐπὶ τὸ κρεῖσσον μετὰ μόχθων καὶ θορύβων διαλύσει. 〈λγʹ〉 Ἡλίου χρονοκρατορία Ἥλιος ἑαυτῷ ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως ἐπὶ τοῦ ὡροσκόπου τυχὼν ἐμπράκτους τοὺς χρόνους ποιεῖ πρὸς ὑπερέχοντα πρόσωπα καὶ σύστασιν, ἀποδημίας ἐμπράκτους καὶ πίστιν καὶ φιλίας παρέχεται καὶ ἀπὸ παλαιῶν πραγμάτων ὠφελείας, καὶ ἐν πᾶσιν ὁ χρόνος ἀγαθὸς καὶ ἐπικερδής.

213 (1t) νυκτὸς δὲ ἀκτινοβολούμενος ὑπὸ κακοποιοῦ μετεωρισμοὺς καὶ περὶ μεγάλων προσώπων ἀμφισβήτησιν ποιεῖ, καὶ ἐὰν τύχῃ πράσσων ἀπραγήσει καὶ ταραχθήσεται καὶ ἀθυμήσει καὶ νοσήσει, καὶ κρίσεις ποιεῖ καὶ βίας καὶ στενοχωρίας καὶ ὀφθαλμῶν ἄλγησιν, καὶ πληγὴν σιδήρου ἐπιφέρει καὶ πατρὸς κίνδυνον καὶ πατρικῶν ἐλάττωσιν, καὶ πράγματα κεφαλικὰ ἐπάγει καὶ καρδίας ἄλγησιν, καὶ εἰς ὃ ἂν ἐπιβάλληται ἀνωφελὴς ὁ χρόνος. Ἐν δὲ Ἄρεως οἴκῳ τυχὼν νόσους κοιλιῶν ποιεῖ καὶ πλευρῶν πόνους καὶ τραύματα, καὶ αἷμα δείξει, καὶ ἕνεκεν ἐχθρῶν πολλὰ κακὰ ποιήσει χάριν ἐπιβουλῆς καὶ βλάβας καὶ ζημίας καὶ ἐξ ὄχλων καὶ ἰδίων προδοσίας, νυκτὸς δὲ μετριώτερα τὰ φαῦλα ἔσται. ἐν δὲ Κρόνου οἴκοις δυσεντερίας καὶ στραγγουρίας καὶ ἀποστήματα, ἐὰν δὲ καὶ πατέρα ἔχῃ κινδυνεύσει, καὶ ἀπραγίας καὶ νόσους παρέχει, μάλιστα νυκτός, ἡμέρας δὲ μετὰ ἀπιστίας καὶ βραδύτητος ἀνύει τὰ πράγματα. ἐν δὲ Ἑρμοῦ τόποις δίκας αἱρεῖ πρὸς ὑπερέχοντας καὶ ἔχθρας ἐπεγείρει καὶ ψῦξιν πραγμάτων καὶ ζημίας καὶ ἐπιθέσεις, μάλιστα νυκτός, ἡμέρας δὲ περιγενέσθαι τῶν φαύλων ποιεῖ. ἐν δὲ τοῖς τῆς Ἀφροδίτης τόποις διὰ θηλυκὰ πρόσωπα μετεωρισμοὺς ποιεῖ, καὶ ψόγον καὶ λύπας καὶ μερίμνας παρέχει. ἐν δὲ τοῖς ἰδίοις ἡμέρας μὲν καλῶς κείμενος πρὸς ὑπερέχοντας σύστασιν καὶ δόξαν περιποιεῖ, νυκτὸς δὲ μέτριος. ἐν δὲ Διὸς τόποις νυκτὸς τὰ φαῦλα μέτρια γενήσεται, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπικράτησιν τῶν ἐχθρῶν ποιεῖ, πλὴν λύπην ἐπάγει τινῶν ἰδίων, ἡμέρας δὲ ἀγαθός, καὶ δόξαν ποιεῖ ἐν πᾶσι τοῖς ἔργοις.

214 ἐν δὲ Σελήνης τόποις χαλεπὸς καὶ ἄπρακτος ἔσται, τόπους ἐκ τόπων μεταλαμβάνων, καὶ θορύβους καὶ ἀσθενείας καὶ ὀφθαλμῶν πόνον ποιεῖ καὶ στομάχου, μάλιστα νυκτός, ἡμέρας δὲ ἀγαθὸς καὶ ἔμπρακτος ἐὰν αὐξίφως ᾖ Σελήνη. Ἥλιος Σελήνῃ ἐπιμερίζων μῆνας καὶ ἡμέρας ἐπὶ ἡμερινῆς γενέσεως οὐκ ἀγαθός (φθόνους γὰρ φέρει καὶ ζημίας πρὸς χρόνον ὀλίγον καὶ δαπάνας καὶ ξενιτείας καὶ πρὸς θηλυκὰ πρόσωπα ἀηδίας καὶ ἔχθρας πρὸς ἰδίους), εἰ δὲ αὐξίφως ᾖ Σελήνη βλάπτει, καὶ μετὰ μόχθων ἀποφυγὴ ἔσται τῶν κακῶν ἡμέρας. νυκτὸς δὲ τῆς Σελήνης ἐξ ἀνατολῆς φερομένης καλλίστου καιροῦ γενομένου συμφωνία καὶ κέρδη εὐημερίαν ἔχοντα. Ἥλιος Κρόνῳ ἐπιμερίζων ἐπὶ νυκτὸς κινδύνους καὶ ἀπραγίας καὶ ψῦξιν πράξεων καὶ κρίσεις καὶ ἀνασκευὰς ἐπιφέρει καὶ νευρικῶν ἀλγηδόνας καὶ λύπας καὶ δάκρυα σὺν θορύβοις καὶ ἔχθρας πρὸς πρεσβυτέρους, καὶ θανάτους οἰκείων προσώπων ὄψεται καὶ φόβους καὶ μερίμνας, καὶ εἰς πάντα βλαβερὸς ὁ χρόνος ἔσται. ἐπὶ ἡμερινῆς μέτρια τὰ φαῦλα, καὶ πρᾶξιν καὶ σύστασιν παρέχει καὶ ἄνυσιν πραγμάτων πλὴν μετὰ βραδύτητος. Ἥλιος Διὶ ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως μεγάλας πράξεις καὶ περίκτησιν καὶ ἐξ ὄχλου δόξας πολιτικὰς παρέξει, καὶ ἐν ἅπασι καλὸς ὁ χρόνος ἔσται, καὶ νίκην κατ’ ἐχθρῶν δώσει καὶ κληρονομίας καὶ μεγάλας ἀνδρῶν φιλίας. νυκτὸς δὲ κακῶν πλείστων αἴτιος ἔσται (μετρίως γὰρ τοὺς χρόνους καὶ ἀπράκτους καὶ ζημιώδεις ἀπεργάζεται καὶ σκυλτικούς), καὶ προκοπῶν ἐγκοπὰς καὶ ἔχθρας καὶ θορύβους ποιήσει καὶ σωματικὰς ὀχλήσεις, μάλιστα ἐὰν ὑπὸ κακοῦ θεωρηθῇ. Ἥλιος Ἄρει ἐπιμερίζων ἐπὶ ἡμερινῆς γενέσεως οὐκ ἀγαθός (κακῶν γὰρ πλείστων αἴτιος γενήσεται), καὶ ἐμπτώσεις καὶ ἐπιθέσεις καὶ διαβολὰς καὶ κινδύνους καὶ νόσους καὶ αἱμαγμοὺς καὶ πτώσεις ἐξ ὕψους ἢ ἀπὸ τετραπόδων καὶ ὀφθαλμῶν πόνον καὶ ἐξ ἰδίων προδοσίας καὶ ἐξ οἰκείων θορύβους καὶ φίλων ἔχθρας καὶ αἰφνιδίους συμφορὰς καὶ πατρικὰς ἐπιφέρει λύπας τοῖς ἔχουσιν, καὶ ἔχθρας ἐγείρει.

215 νυκτὸς δὲ μέτρια τὰ φαῦλα καὶ ἀποφυγὴ ἔσται τῶν κακῶν φιλανθρώπως. Ἥλιος Ἀφροδίτῃ ἐπιμερίζων ἐπὶ ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως ἀμαρτυρήτου οὔσης ὑπὸ τῶν κακοποιῶν πρᾶξιν καὶ ἐπίκτησιν σημαίνει, μάλιστα ἀνατολικῆς οὔσης· καλοὶ οἱ χρόνοι ἐν πᾶσιν ἀνεγράφησαν (ἤτοι γὰρ διὰ θηλυκοῦ προσώπου ἢ φίλου ἢ ἐπιτηδεύματός τινος εὐημερίας παρέχει καὶ ὠφελείας), καὶ ἐν πᾶσιν ἐπιχαρὴς ὁ χρόνος ἔσται, καὶ εἰς ὃ ἂν ἐπιβάληται ἐπιτυγχάνει. τῆς δὲ Ἀφροδίτης θεωρουμένης ὑπὸ κακοποιῶν ἢ δυτικῆς οὔσης ἑσπερίας μέτριοι χρόνοι καὶ ἄπρακτοι καὶ ἐπιτάραχοι καὶ ἐπιβλαβεῖς, καὶ ἐπιθέσεις ἐξ ἰδίων καὶ θηλυκῶν ἐπηρείας καὶ βλάβας ποιεῖ. Ἥλιος Ἑρμῇ ἐπιμερίζων ἐπὶ ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως καλοὺς τοὺς χρόνους καὶ ἐπιτευκτικοὺς καὶ ἐμπράκτους ποιεῖ καὶ εὐημερίας ἔκ τε πραγμάτων ἢ πίστεως ἢ συναλλαγῶν, κοινωνίας καὶ ἀγορασμοὺς καὶ οἰκονομίας ἀποτελεῖ, καὶ εἰς πάντα ὁ χρόνος ἱλαρὸς ἔσται. τοῦ δὲ Ἑρμοῦ ἐπὶ δύσει ὄντος ἑσπερίου καὶ ὑπὸ κακοῦ θεωρουμένου πραγμάτων ἐγκοπὰς καὶ θορύβους καὶ ἐπιβουλὰς καὶ ζημίας καὶ φίλων ἀχαριστίας καὶ ἀπροσωπίας καὶ θλίψεις βιωτικὰς καὶ ἐκ δούλων ἐπιθέσεις ἢ δρασμοὺς ἢ κλοπὰς ἢ νόσους θρεπτῶν καὶ στομάχου καὶ ἔχθρας αἰφνιδίους εἰ μή πως ἀστὴρ ἀνατολικὸς ὢν φανεῖ καὶ ἀποφυγὴν τῶν κακῶν ποιήσει. 〈λδʹ〉 Ἀφροδίτης χρονοκρατορία Ἀφροδίτη λαμβάνουσα τοὺς χρόνους ἐπὶ ἑῴας ἀνατολῆς ἐπίκεντρος χωρὶς τῆς πρὸς Κρόνον θεωρίας ἀγαθοὺς τοὺς χρόνους σημαίνει, ἐπιτευκτικοὺς καὶ πρακτικοὺς καὶ δοξαστικοὺς καὶ σύστασιν ἔχοντας πρὸς ὑπερέχοντας, καὶ πράξεις ἐπικερδεῖς καὶ χαρὰν ἐπὶ οἰκείοις καὶ προκοπάς, ἔτι δὲ καὶ πρὸς θηλυκὰ πρόσωπα φιλίας καὶ ἐρεθισμοὺς ἀφ’ ὧν ὠφελοῦνται, καὶ ἐν τέχναις ἢ ἐπιτηδεύμασιν εὐημεροῦσι καὶ καλωνυμοῦνται καὶ ἐχθρῶν περιγίγνονται, θεωρουμένη δὲ ὑπὸ κακοποιῶν θορύβους καὶ κρίσεις καὶ ἀπραγίας καὶ μερίμνας ἐπάγει, καὶ ἐν πᾶσιν ὁ χρόνος βλαπτικός.

216 (1t)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμοίως καὶ ἐπὶ ἡμερινῆς ἔσται ἀγαθὴ ἀθεώρητος οὖσα ὑπὸ τῶν κακοποιῶν, ὕπαυγος δὲ οὖσα καὶ ὑπὸ τῶν κακοποιῶν θεωρουμένη ταραχὰς καὶ μάχας καὶ ἐκ θηλυκῶν προσώπων καὶ φίλων παραβάσεις καὶ ἔχθρας ἐπιφέρει, καὶ ἀπραγίας καὶ ψύξεις πράξεων καὶ κινδύνους καὶ ἐκτρωσμοὺς καὶ αἱμαγμοὺς γυναικῶν ἀπεργάζεται καὶ νόσους. Καὶ ἐὰν ἐν Ἡλίου οἴκῳ ἡ Ἀφροδίτη τύχῃ αἰσχρὰ πράγματα διαπράσσεται, μοιχείας καὶ χωρισμοὺς προπετεῖς, ἐν δὲ Σελήνης τόποις ζηλοτυπίας καὶ ἔχθρας διὰ γυναῖκα, εἰς δὲ τὰ λοιπὰ ἐν πᾶσιν εὔπρακτος καὶ ἐπικερδής ἐστιν. Ἐν δὲ ἰδίοις τόποις ἀγαθὸς καὶ ἐπικερδὴς ὁ χρόνος, εἰς δὲ τὰ θηλυκὰ πρόσωπα καὶ πρᾶξιν καὶ βίου συναλλαγὴν παρέχει καὶ φίλων σύστασιν. ἐν δὲ Κρόνου τόποις φθόνους καὶ μετεωρισμοὺς ἀπεργάζεται καὶ νόσους μακρὰς καὶ μερίμνας διὰ γυναῖκα, καὶ θορυβώδης καὶ μετέωρος καὶ ἄπρακτος ὁ χρόνος, καὶ ὀνείρων φαντασίαν. ἐν δὲ Διὸς τόποις μεγάλας προκοπὰς σημαίνει, ἀγάμοις γάμον, γεγαμηκόσι τέκνα, καὶ ἐν πᾶσιν ἱλαρὸς ἔσται ὁ χρόνος. 〈ἐν δὲ Ἄρεως τόποις ...〉. ἐν δὲ Ἑρμοῦ τόποις ἐπιχαρῆ τὸν χρόνον σημαίνει, καὶ πράξεις καὶ ὠνὰς παίδων μεμουσωμένων, καὶ αὐτοὶ δὲ Μούσης τινὸς ἐρασταὶ γενήσονται καὶ σύστασιν φιλίας ἕξουσιν.

217 Ἀφροδίτη Κρόνῳ ἐπιμερίζουσα μῆνας καὶ ἡμέρας ἐπὶ νυκτερινῆς γενέσεως κινδύνους θανατηφόρους γυναικῶν ποιεῖ καὶ σύγχυσιν, ἐπηρείας καὶ διὰ θηλυκοῦ προσώπου λύπας, καὶ εἰς πάντα ὁ χρόνος ἀηδὴς καὶ νοσώδης καὶ ἄπρακτος ἔσται (ἢ γὰρ φαρμάκων ὑπονοίας ἢ ἐπιβουλὰς παρέχεται), καὶ πᾶν ὅ τι ἂν πράξουσι χάριν οὐχ ἕξουσιν, ἀλλὰ μέμψιν ὑπομένουσι καὶ εὐεργετήσαντες ἀχαριστοῦνται, καὶ πράξεων ἐγκοπὰς ἀπό τε περιψυγμῶν ἢ ῥευμάτων ἢ βασάνων ἢ σπληνὸς πόνου ὥστε καὶ ἐπὶ θεοὺς καταφυγεῖν προφάσει μόχθων καὶ νόσων. ἐπὶ δὲ ἡμερινῆς γενέσεως ἀποφυγὴν τῶν κακῶν ἀπεργάζεται καὶ πρᾶξιν καὶ κέρδη καὶ τῶν μὴ ἐλπιζομένων πραγμάτων προκοπὰς ἐπὶ τὸ κρεῖττον, καὶ ὠφέλιμος ἔσται ὁ χρόνος. Ἀφροδίτη Διὶ ἐπιμερίζουσα μῆνας καὶ ἡμέρας ἐπὶ ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως καλὴ ἐν πᾶσιν ἔσται, καὶ προκοπὰς ποιεῖ καὶ κέρδη καὶ ἀγάμοις γάμον καὶ ἀτέκνοις τέκνα καὶ ἐχθρῶν ἐπικράτησιν, καὶ σύστασιν καὶ εὐφημίαν ἔχοντας ἀπό τε φίλων καὶ θηλυκῶν προσώπων, διά τε λόγων καὶ πραγμάτων ἢ καὶ ἐπιτηδευμάτων καὶ πολλὰ κτήσονται καὶ ψευδόμενοι πιστευθήσονται καὶ ἐν ταῖς πράξεσιν ἐπιτυγχάνουσι καὶ ἐξ ἐμπορικῶν ἢ κοινωνικῶν πραγμάτων ὠφελοῦνται, ἐπί τε οἴκῳ καὶ παντὶ πράγματι ἐπιχαρὴς ἔσται ὁ χρόνος, καὶ ἀγορασμοὺς καὶ ἔμμουσα πράγματα. εἰ δὲ ὕπαυγος εἴη ἡ Ἀφροδίτη ψόγον καὶ θορύβους καὶ ζημίας καὶ ἐναντιώσεις ἐπάγει ἕνεκα γυναικὸς καὶ διαβολὰς καὶ φίλων ἀχαριστίας. 〈Ἀφροδίτη Ἄρει ἐπιμερίζουσα ... Ἀφροδίτη Ἑρμῇ ἐπιμερίζουσα ...〉 Ἀφροδίτη Ἡλίῳ ἐπιμερίζουσα ἐπὶ ἡμερινῆς γενέσεως μὴ οὖσα ὕπαυγος μηδὲ ὑπὸ κακοποιῶν θεωρουμένη μεγάλας πράξεις καὶ ἐπίκτησιν καὶ σύστασιν καὶ κέρδη, ἔκ τε θηλυκῶν προσώπων καὶ φίλων εὐεργεσίας ἐπισήμων, καὶ χαιρήσουσιν ἐπί τε οἴκῳ καὶ πράξεσιν ἐν πᾶσιν εὐφημούμενοι.

218 θεωρουμένη δὲ ὑπὸ κακοποιῶν ἢ Διός, μάλιστα νυκτός, χωρισμοὺς γυναικῶν ἀποτελεῖ καὶ ἔχθρας καὶ ψόγον καὶ θορύβους διὰ γυναῖκα, εἰς δὲ τὰς πράξεις ἀγαθὴ καὶ ἐπικερδής. Ἀφροδίτη Σελήνῃ ἐπιμερίζουσα νυκτὸς καὶ ἡμέρας τῆς Σελήνης ἐξ ἀνατολῆς φερομένης ἀντιδικίας, ἐναντιώσεις καὶ ἔχθρας ἀνασκευάζει, ἀπραγίας τε καὶ ἐγκοπὰς πραγμάτων ποιεῖ καὶ ψύξεις καὶ χωρισμοὺς γυναικῶν καὶ ἔχθρας καὶ γυναικῶν δρασμοὺς ἢ νόσους καὶ οἰκετικῶν ἐλάττωσιν, καὶ φαρμακείας ὑπομένουσι καὶ εἰς γυναῖκα ὑποψίαν ἕξουσιν, ζηλοτυπίας καὶ δειγματισμοὺς καὶ οἰκειακὰς ἀηδίας καὶ ἀναστατώσεις ποιεῖ, καὶ πᾶν τὸ εἰσερχόμενον δαπανηθήσεται εὐθέως· δικάζονται πολλάκις πρός τινας. ἐξ ἀποκρούσεως δὲ φερομένη μετρίως ὠφελεῖ καὶ πράξεις καὶ κέρδη ἀπροσδοκήτως παρέξει. 〈λε′〉 Ἑρμοῦ χρονοκρατορία Ἑρμῆς λαβὼν τὴν ἐπικράτησιν τῶν χρόνων ἐπὶ ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως ἐπὶ ἀνατολῆς ἑῴας τυχὼν καὶ ἐπίκεντρος χωρὶς κακοποιοῦ θεωρίας ἀγαθοὺς καὶ πρακτικοὺς καὶ ἐπικερδεῖς καὶ συστατικοὺς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐφήμους ἀποτελεῖ, καὶ προσόδους ἀπό τε λόγων καὶ πραγμάτων ἢ πίστεως ἢ τέχνης ἢ ἐπιτηδευμάτων καὶ ἐχθρῶν καθαίρεσιν, οἰκείων τε χαρὰν καὶ πάντων ἐπίτευξιν. ἐὰν δὲ ὑπὸ κακοποιῶν θεω 〈ρηθῇ, θορύβους, δίκας καὶ ἐγκλήματα〉 ἐπάγει. Καὶ ἐν μὲν ἡλι 〈ακῷ ζῳδίῳ τυχὼν ποιεῖ πράξεισ〉 καὶ κέρδη χαρίζετ 〈αι.

219 ἐν δὲ σεληνιακῷ ζῳδίῳ νυκτὸς μὲν αὐξιφώτου οὔσης τῆς Σελήνης καὶ〉 πρᾶξιν καὶ σύστασιν κα 〈ὶ δόξαν καὶ προκοπὴν ποιεῖ, ληγούσης δὲ τῆσ〉 Σελήνης ἐν ἀρχῇ μὲν ἀπρ 〈αγίαν, ὕστερον δὲ πρᾶξιν καὶ ἐπιτευκτι〉 κὸν ποιήσει καιρὸν κα 〈ὶ ὠφέλιμον ἔν τε προκοπῇ〉 καὶ συστάσει καὶ φ 〈ιλίᾳ. Ἐν δὲ ἰδίοις τόποις καλὸς καὶ πρακτικὸσ〉 καὶ δοξαστικός. ἐν δὲ Κρόνου ψ 〈ύξεις πραγμάτων καὶ ἀποβολάς, ἀ〉 πραγίας καὶ ἀρχ 〈αίων πραγμάτων ἀνασκευὰς καὶ ἔχθρας.〉 ἐν δὲ Ἄρεως ζῳδίοις θο 〈ρύβους καὶ ἐπιβουλὴν πραγμάτων〉 καὶ κατηγορίας κα 〈ὶ θλίψεις καὶ διαβολὰς καὶ ἐχθρῶν ἐπανά〉 στασιν καὶ δούλων καὶ λ 〈ύπας καὶ ἐνέδραν πραγμάτων. ἐν δὲ Διὸς τόποισ〉 ἐπιχαρὴς καὶ ἐπικε 〈ρδὴς καὶ δοξαστικὸσ〉 ἔσται, καὶ ἀγορασμ 〈οὺς ποιήσει, καὶ Μούσης τινὸς προθύμ〉 ως ἐρασθήσονται. Ἑρμῆς Κρόνῳ ἐπι 〈μερίζων καὶ ὑπὸ τοῦ Διὸσ〉 θεωρούμενος ἀπρα 〈γίας καὶ ζημίας καὶ ἀρχαίων〉 πραγμάτων ἀνασκευ 〈ὰς καὶ κρυπτῶν ἔργων ἐλέγξεισ〉 καὶ οἰκετῶν λύπας ἢ 〈τέκνων θρεπτῶν καὶ νόσους καὶ〉 κινδύνους ἐπάγει, περὶ 〈τὰ νεώτερα πράγ〉 ματα αἰτίας κα 〈ὶ σωματικὰς ὀχλήσεις ἕνεκα κρυπτῶν〉 πόνων, καὶ εἰς πάντα ἀ 〈ηδὴς ὁ χρόνος. Ἑρμῆς Διὶ ἐπιμερίζων〉 ἐπὶ νυκτὸς καὶ ἡμέρας πρ 〈ακτικοὺς σημαίνει〉 τοὺς χρόνους καὶ περίκτησιν καὶ κέρδη καὶ ἐχθρῶν καθαίρεσιν καὶ χαρὰν ἐπὶ οἴκῳ καὶ εὐφημίαν καὶ ἀγορὰς ποιήσει καὶ προκοπὰς διά τε λόγων καὶ γραπτῶν καὶ ἐμποριῶν καὶ μισθωτικῶν, εἰ δὲ ὕπαυγοι ὦσι καὶ ὑπὸ κακοποιῶν θεωρηθῶσι (μάλιστα Ἑρμῆς) ἔχθρας καὶ ζημίας καὶ δίκας ἢ διαβολὰς καὶ φθόνον καὶ ἐνέδραν καὶ μετεωρισμοὺς παρέξει ἀπὸ μεγάλων προσώπων. Ἑρμῆς Ἄρει ἐπιμερίζων ὑπό τε τούτου θεωρούμενος ἐπιταράχους τοὺς χρόνους σημαίνει καὶ θλίψεις ἢ συκοφαντίας καὶ ἔχθρας ἢ ῥᾳδιουργίας καὶ ληστρικὰς ἐπιθέσεις καὶ ἀποστερήσεις καὶ ἐπιορκίας ἐκ φίλων, ἐπανάστασίν τε ἐχθρῶν καὶ ζημίας ἀπό τε λόγων ἢ πραγμάτων ἀργυρικῶν, καὶ τὰς ἄλλων ἁμαρτίας οὗτοι λαμβάνουσι καὶ κατηγορίας, καὶ πρὸς ἀποδημίας ἀθετεῖ (καὶ γὰρ ἐπὶ τετραπόδων καθῆσθαι κωλύει διὰ πτῶσιν), καὶ τέκνων ἢ θρεπτῶν λύπας καὶ δούλων δρασμὸν καὶ στομάχου πόνον ἢ καὶ καρδίας, μάλιστα ἡμέρας, νυκτὸς δὲ περιγενέσθαι τῶν φαύλων ποιεῖ.

220 Ἑρμῆς Ἀφροδίτῃ ἐπιμερίζων ἐπὶ ἡμερινῆς καὶ νυκτερινῆς γενέσεως Ἀφροδίτης οὔσης ἑῴας ἀνατολικῆς καὶ ἐπικέντρου ἐπιπλοκὰς καὶ συνήθειαν γυναικῶν ποιεῖ, καὶ ἐπιχαρὴς καὶ ἐπικερδής, καὶ ἐκ φίλων εὐεργεσίας καὶ ἀνάπαυσιν κακῶν, καὶ πᾶν ὅ τι ἂν λέγωσι πιστευθήσονται, καὶ μουσικῶν ἢ ὀρχηστικῶν ἐρασθήσονται· ἐὰν ὑπὸ κακοποιῶν θεωρηθῇ ὕπαυγος μόχθους καὶ λύπας ἐπάγει χάριν γυναικός, καὶ ἀγγελίαν ἐπίλυπον καὶ οἰκείας ἀηδίας ἀπεργάζεται. Ἑρμῆς δὲ Ἡλίῳ ἐπιμερίζων, μάλιστα ἀνατολικὸς ἐπὶ ἡμέρας, ξενιτείας σημαίνει καὶ μεταβολὰς τόπων, καὶ πίστιν καὶ μυστήρια τελοῦσι καὶ πολιτικὰς ἀηδίας διαλύουσι καὶ δημόσια πιστευθήσονται, καὶ καλὸς ὁ χρόνος ἔσται, εἰ δὲ ὕπαυγος τῷ Ἡλίῳ τύχῃ πόνον καὶ πρός τινας ἔχθρας καὶ ταραχθῆναι καὶ ὕστερον περιγενέσθαι. νυκτὸς δὲ ὕπαυγος τυχὼν μετέωρον χρόνον σημαίνει καὶ βλαπτικόν, καὶ ἐκ μεγάλης κεφαλῆς ἀπειλὰς καὶ ἐπανάστασιν ἐχθρῶν καὶ μόχθους καὶ κατηγορίας καὶ δαπάνας ποιήσει· ἐκ δούλων λοιδορίας καὶ βλάβας ἕξει. Ἑρμῆς Σελήνῃ ἐπὶ νυκτὸς καὶ ἡμέρας ἐπιμερίζων καὶ τῆς Σελήνης ἐξ ἀνατολῆς φερομένης πρακτικοὺς τοὺς χρόνους σημαίνει καὶ ἐπικερδεῖς, τῆς δὲ Σελήνης ἐξ ἀποκρούσεως φερομένης μικροψυχίας παρέχει καὶ παρ’ ἐλαχίστων προσώπων καὶ ἀηδίας γυναικὸς καὶ μερίμνας καὶ φιλονεικίας πραγμάτων καὶ λύπας καὶ διαβολάς, καὶ ἐπὶ τοῖς μὴ γεγονόσι πιστεύονται καὶ νοσοῦσι καὶ ζημιωθήσονται ἕνεκα γραπτῶν ἢ λόγων, καὶ τὸ λαμπρὸν τούτοις οὐκ ἔσται λαμπρόν, τὸ χαλεπὸν τούτοις ὀξὺ καὶ μετέωρον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

221 ⟨λς′⟩ Σελήνης χρονοκρατορία Σελήνη λαμβάνουσα τοὺς χρόνους ἐπὶ νυκτερινῆς γενέσεως ἐπίκεντρος οὖσα καὶ αὐξιφαὴς καλὴ καὶ ἔμπρακτος καὶ ξενιτείας ἀγαθὰς παρέχει καὶ σύστασιν καὶ εὐφημίας, τισὶ δὲ ἀπὸ μητρὸς τοῖς ἔχουσιν ἢ θηλυκοῦ προσώπου ὠφελείας παρέξει, λειψιφαὴς δὲ οὖσα ἀτονώτερον ποιεῖ καιρόν. ἐπὶ δὲ ἡμέρας αὐξίφως οὐ καλὴ μὲν ἀνεγράφη εἰς πάντα, μετὰ βραδύτητος δὲ καὶ μόχθου ἐπιτελεῖ τὰς πράξεις, λειψιφαὴς δὲ ἐπὶ ἡμέρας ἐν παντὶ βλαπτική· καὶ γὰρ δυναστευθήσονται καὶ ξενιτείας ἀνωφελεῖς ποιήσουσιν καὶ φόβους καὶ κινδύνους ἕξουσιν καὶ καθαιρηθήσονται. ἐὰν δὲ κακοποιὸς ἐμβῇ εἰς τοὺς Σελήνης τόπους αὐτῆς ἐχούσης τοὺς χρόνους κινδυνεύει εἰς τὸ ζῆν καὶ νόσους ἀθλήσει, ἀγαθοποιοῦ δὲ θεωρήσαντος σκεπασμὸς τῶν κακῶν ἔσται, καὶ ποιήσει στομάχου πόνον καὶ ὀφθαλμίας καὶ ἐντέρων ⟨κακώσεις καὶ θάνατον οἰκείων καὶ μερί⟩ μνας καὶ θορύβους ⟨ἰσχυρούς. Καὶ εἰ ἐν ἰδίῳ ζῳδίῳ⟩ τύχῃ μικροψυχίας καὶ ⟨κενὰς ἀγγελίας ποιήσει,⟩ μάλιστα ἐπὶ ἡμέρας, ⟨νυκτὸς δὲ λυπηρὸς ἔσται ὁ⟩ χρόνος. ἐν δὲ τοῖς τοῦ Κρόνου σω⟨ματικὰς ἀσθενείας καὶ ῥευματισμοὺσ⟩ καὶ παλαιῶν πραγμάτων ⟨ἀνασκευὰς καὶ ζημίας καὶ ἐ⟩ χθρῶν ἔγερσιν, καὶ ⟨ἐν⟩ πᾶσιν ⟨ἀηδὴς ὁ χρόνος, μάλιστα δὲ ἐὰν ᾖ λειψίφως,⟩ ἐὰν δὲ αὐξίφως οὐκ ἔστι ⟨βλαπτική.

222 ἐν δὲ⟩ τοῖς τοῦ Ἡλίου τόποις ταραχ⟨ὰς καὶ σκυλμοὺς καὶ λύπας πρὸσ⟩ ἰδίους ποιεῖ. ἐν δὲ ⟨τοῖς τοῦ⟩ Διὸς ἀπό⟨λυσιν κακῶν ποιεῖ καὶ σύστασιν κ⟩ αὶ δόξαν καὶ ἐχθρῶν ⟨καθαίρεσιν, καὶ μάλιστα ἐπ' ἀνατο⟩ λῆς οὖσα, λειψιφαὴς ⟨δ'⟩ οὖσα ⟨οὐκ ἀγαθή, ἀλλὰ μετρίας τὰς εὐερ⟩ γεσίας ποιεῖ. ἐν δὲ τοῖς τοῦ ⟨Ἄρεως ὀμμάτων ἀσθενείας ποιεῖ, μ⟩ άλιστα ἐπὶ ἡμέρας, καὶ αὐ⟨ξίφως οὖσα πυρετούς, αἱμαγμούς, κ⟩ ινδύνους, στομάχου πόνον ⟨καὶ ἀνασκευὰς ποιεῖ, νυκτὸσ⟩ δὲ ἐν πᾶσιν ἀγαθὴ τοῖς ἐγ⟨χειριζομένοις, καὶ ὀξέως τὰσ⟩ πράξεις διαλύσει, καὶ ⟨δοκοῦντες βλάπτεσθαι ἀπροσδο⟩ κήτως ὠφελοῦνται. ⟨ἐν δὲ τοῖς τῆς Ἀφροδίτης ζηλοτυπίασ⟩ πραγμάτων καὶ ἀντικατά⟨στασιν γυναικῶν ποιεῖ· οὐ μέν⟩ τοι βλαπτική, ἀλλ' ὠ⟨φέλιμος ἐν παντὶ πράγματι, καὶ ἐ⟩ χθρῶν οὗτοι περιγίνονται, ⟨εἰς δὲ τὰ θηλυκὰ πρόσωπα ταραχ⟩ ώδης ἔσται ⟨ὁ⟩ χρόνος. ἐν δὲ τοῖς ⟨τοῦ Ἑρμοῦ ἐξ ἀρχῆς ἀνασκευὰσ⟩ πραγμάτων, ὕστερον δὲ ⟨περιγενέσθαι ποιεῖ καὶ πιστὸν⟩ ἀπεργάζεται. Σελήνη Κρόνῳ ἐπιμερίζουσα ἐπὶ νυκτὸς λειψιφαὴς ἀνενδεὴς καθέστηκεν, ἢ καὶ ἀνωφελείας καὶ δυσπραξίας σημαίνει καὶ παροδικὰς ἀσθενείας καὶ κρίσεις καὶ ζημίας, καὶ εἰς πάντα ἀηδὴς πλὴν μετρίως, αὐξίφως δὲ οὖσα καὶ ὑπὸ ἀγαθοποιοῦ θεωρουμένη σύστασιν καὶ πρᾶξιν καὶ βίου κατόρθωσιν μετὰ μόχθου ποιεῖ. ἐπὶ δὲ ἡμερινῆς αὐξίφως οὖσα αὔξει, καὶ εἰς πάντα ἀγαθὴ καὶ τῶν μὴ προσδοκωμένων πραγμάτων ἀνυστική, εἰ δὲ λειψιφαὴς εἴη ἐπὶ ἡμέρας νόσους ἐπιφέρει καὶ κινδύνους, κρυπτῶν τόπων πόνους καὶ κοιλίας, καὶ μακροχρονίων καὶ παλαιῶν πραγμάτων ἀνάμνησιν καὶ λύπας καὶ διαβολὰς καὶ μερίμνας γυναικῶν, ἔτι δὲ ὀφθαλμίαν καὶ ῥίγη καὶ πυρετοὺς εἰ μή πως Ζεὺς ἐπιδὼν σώσει λήθην τῶν κακῶν παρέχων. Σελήνη Διὶ ἐπιμερίζουσα ἐπὶ ἡμέρας αὐξίφως ἀγαθὰ σημαίνει καὶ νίκην κατ' ἐχθρῶν καὶ δόξας πολιτικὰς καὶ εὐρωστίαν σώματος καὶ ἐκ θηλυκῆς κεφαλῆς σύστασιν καὶ ὠφέλειαν, καὶ εὐφημίας ἀποτελεῖ, λειψιφαὴς δὲ μετὰ μόχθου καὶ ἀπιστιῶν παρέξει τὰ ἀγαθά.

223 ἐπὶ δὲ νυκτὸς αὐξίφως ἀγαθὴ καὶ ὠφέλιμος, λειψιφαὴς δὲ ἀηδὴς καὶ ἄπρακτος ὁ χρόνος, καὶ μετὰ ἀγωνίας καὶ φόβου ἐκφεύξεται τὰ φαῦλα. Σελήνη Ἄρει ἐπιμερίζουσα ἐπὶ νυκτερινῆς γενέσεως αὐξίφωτος οὖσα ἀγαθὴ καὶ ἔμπρακτός ἐστιν ἐν συστάσει, καὶ προκοπὰς ἐξ ὑπερεχόντων προσώπων καὶ κτῆσιν ποιεῖ ἐκ δημοσίων πραγμάτων καὶ ἐξ ὄχλων εὐφημίας καὶ ἐκ στρατιωτικῶν προσώπων, καὶ εἰς πάντα ὁ χρόνος ἐστὶν ἐπιτευκτικός (εἰς πίστιν, εἰς ἀρχάς, εἰς μεταβολὴν ἐπίδοξον), καὶ γάμον καὶ συνήθειαν γυναικὸς σημαίνει ἐπὶ καλῷ, καὶ μάλιστα τῆς Σελήνης ἐχούσης τρίγωνον θέσιν πρὸς αὐτόν, τῆς δὲ Σελήνης ἐξ ἀποκρούσεως φερομένης οὐ κακὸς μὲν ἔσται ὁ χρόνος, ἐπιτάραχος δὲ καὶ σκυλτικὸς ἐν ἀρχῇ, ὕστερον δὲ καὶ κέρδη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιήσει καὶ προκοπὰς καὶ ἐχθρῶν ταπείνωσιν. ἐπὶ δὲ ἡμερινῆς λειψιφαὴς ἀγαθὴ μὲν ἔσται, ἀλλ’ οὐ τοσοῦτον ὠφέλιμος, μετὰ δὲ θορύβων καὶ ἐναντιωμάτων καὶ ἐχθρῶν ἐνστάσεως περιγίνονται τῶν φαύλων, αὐξίφως δὲ ἐπὶ ἡμέρας κακὴ καὶ ἀηδής· κινδύνους γὰρ καὶ ἔχθρας καὶ ζημίας καὶ ἔφοδόν τινων ληστῶν καὶ φόβους ἐκ δημοσίων, δειγματισμοὺς καὶ ἀπειλὰς ἐξ ὑπερεχόντων, ἔτι δὲ καὶ λύπας δούλων ἢ κλοπάς, σωματικάς τε νόσους καὶ ἐκ σιδήρου ἢ πυρὸς καὶ πτώσεων κίνδυνον καὶ ξενιτείας σκυλτικὰς καὶ ὀφθαλμίας καὶ ἐκτρωσμοὺς ποιεῖ, καὶ καθόλου βλαπτικοὶ οἱ χρόνοι. Σελήνη Ἡλίῳ ἐπιμερίζουσα ἐν θηλυκοῖς ὄντι ζῳδίοις ἢ καὶ ἀμφότερα ἄνδρας ὑποταγῆναι ποιεῖ δι’ ἐρωτικήν τινα συμπάθειαν. κἂν δὲ ὁ Ἥλιος ᾖ πάλιν ἐν θηλυκῷ ζῳδίῳ, Σελήνη δὲ ἐν ἀρσενικῷ, μερίμνας διὰ γυναῖκα καὶ ἀντιζηλίας ποιεῖ, καὶ ἐξ ἰδίων ὠφελοῦνται ταραχθέντες πρῶτον.

224 εἰ δὲ ὁ Ἥλιος ἐν ἀρσενικῷ, ἡ δὲ Σελήνη ἐν θηλυκῷ, τῆς Σελήνης αὐξιφωτούσης ἔσται ἐν πᾶσιν ἀγαθὸς καὶ ἐπικερδὴς ὁ χρόνος· καὶ γὰρ σύστασιν καὶ φιλίας ἐπισήμους καὶ γυναικὸς συνήθειαν καὶ γάμον ἢ μοιχείαν ποιεῖ, καὶ ἐπικερδῆ τὸν χρόνον, καὶ δημοσίας πράξεις καὶ ἐχθρῶν ἐπικράτησιν. ἐὰν δὲ Σελήνη λειψιφαὴς τυγχάνῃ οὐκ ἀγαθή (φθόνους γὰρ καὶ ζημίας καὶ μέμψεις καὶ ἔχθρας ποιεῖ καὶ ἐξ ὑγρῶν ὄχλησιν), εἰ δὲ καὶ κακοποιὸς θεωρήσει καὶ κινδύνους περὶ τὴν ζωὴν ποιήσει. Σελήνη Ἀφροδίτῃ ἐπιμερίζουσα λειψιφαὴς ἐπὶ νυκτὸς ἀγαθὴ καὶ ὠφέλιμος καθέστηκεν (ποιεῖ γὰρ γάμου σύστασιν ἢ γυναικὸς καὶ ἐκ γυναικείων προσώπων κέρδη, καὶ δόξας δὲ καὶ ἱλαρίας καὶ πράξεις παρέξει), αὐξίφως δὲ ἡ Σελήνη ποιεῖ θορύβους καὶ οἰκομαχίας διὰ γυναῖκα καὶ ἐναντιώσεις καὶ μετεωρισμοὺς καὶ ζηλοτυπίας καὶ ψόγον καὶ ἔχθρας, ποιεῖ δὲ περιγενέσθαι ὕστερον. ὁμοίως δὲ καὶ ἐπὶ ἡμέρας ἐὰν αὐξίφως τύχῃ ἡ Σελήνη τῆς Σελήνης ὑπὸ ἀγαθοποιῶν θεωρουμένης ἢ ὑπαύγου τῷ Ἡλίῳ ψόγον καὶ ἐπήρειαν γυναικῶν ποιήσει ἢ φίλων ὑποκρίσεις καὶ βλάβας καὶ οἰκειακὰς ἀηδίας καὶ θρεπτῶν ἢ δούλων νόσους, καὶ ἐν πᾶσι στασιώδεις οἱ χρόνοι, καὶ σωματικὰς ὀχλήσεις καὶ ἐξ ἀπεψιῶν τροφῆς ἢ πολυοινίας ἢ ψυγμῶν ἢ βαλανείων ἢ βρωτῶν ἢ ἐξ ἐρωτικῆς τινος ἀφορμῆς ἢ ἀκαιροδαπανίας κακοπραγμονοῦσιν. Σελήνη Ἑρμῇ ἐπιμερίζουσα ἐπὶ ἡμέρας καὶ νυκτὸς αὐξίφως πρακτικοὺς τοὺς χρόνους σημαίνει, καὶ σύστασιν καὶ φιλίαν καὶ δόξαν καὶ κέρδη καὶ ἐπίτευξιν καὶ εὐφημίαν, καὶ δριμεῖς ἔσονται ἐν ταῖς πράξεσιν ὡς δυνάσται πολλὰ ἀνύοντες, καὶ ἐχθρῶν περιγίνονται. λειψίφως δὲ οὖσα ἔλλειψις χρημάτων ποιεῖ καὶ ἐπιβουλὰς καὶ ἀντιλογίας καὶ παραβάσεις καὶ φίλων ἀχαριστίας, πλὴν οὐ πάντῃ ἄπορος ὁ χρόνος, καὶ εἰ μὲν ὑπὸ Κρόνου θεωρηθῇ ζημίας ἐπιφέρει ἐκ δούλων ἢ δρασμοὺς ἢ στομαχικὰς διαθέσεις, εἰ δὲ ὑπὸ Ἄρεως θεωρηθῇ ἕνεκεν γραπτῶν ποιεῖ δίκας, ἐγκλήματα, πλαστογραφίας, ἐπιβουλάς, καὶ κλοπὰς ἐπιφέρει καὶ δόλους, καὶ εἰς πάντα ὁ χρόνος ἀνεπιτήδειος.

225 Ἔστι διὰ μνήμης πως καὶ ταῦτα τὰ ἀποτελέσματα ἔχειν σκοποῦντα ἐκ τῆς φύσεως τοῦ τε μερίζοντος ἀστέρος καὶ τοῦ λαμβάνοντος, καὶ κατὰ τὸν αὐτὸν τρόπον ταῖς ἐπεμβάσεσι σχεδὸν εὑρήσεις τὰ αὐτὰ ἀποτελέσματα. ὅτι τινὲς τοὺς ἐνιαυτοὺς διαιροῦσιν εἰς τοὺς χρόνους, καὶ τὸν ἐνιαυτὸν δέ τινες διαιροῦσιν εἰς τοὺς ζ θεοὺς ἐξ ἀναλογίας τῶν ἐλαχίστων περιόδων αὐτῶν· Κρόνῳ μὲν ἡμέρας πε , Διὶ δὲ λδ , Ἄρει μβ , Ἡλίῳ νδ , Ἀφροδίτῃ κβ , Ἑρμῇ νβ , Σελήνῃ οα . καὶ ἀπὸ τῆς γενεθλιακῆς ἡμέρας ἀπὸ τοῦ κυρίου τοῦ παροδικοῦ ἐνιαυτὸν μερίζουσι τοῖς ἑξῆς ἄστρασι καθὼς ἐπὶ τῆς γενέσεως κεῖνται. πάλιν ὁ λεπτότερος τούτων ἐπιμερισμός ἐστιν οὕτως· Κρόνος ἀπὸ τῶν πε μερίζει ἑαυτῷ πρῶτον ἡμέρας κ , Διὶ η , Ἄρει δὲ ι , Ἡλίῳ ιγ , Ἀφροδίτῃ ε , Ἑρμῇ ιδ , Σελήνῃ ις · Ζεὺς ἀπὸ τῶν λδ ἑαυτῷ πρῶτον ἡμέρας γ , Κρόνῳ η , Ἄρει δ , Ἡλίῳ ε , Ἀφροδίτῃ β , Ἑρμῇ ε , Σελήνῃζ · Ἄρης ἀπὸ τῶν μβ ἑαυτῷ πρῶτον ἡμέρας ε , Κρόνῳ ι , Διὶ δ , Ἀφροδίτῃ γ , Ἡλίῳ ε , Ἑρμῇ ζ , Σελήνῃη · Ἥλιος ἀπὸ τῶν νδ ἑαυτῷ ἡμέρας η , Κρόνῳ ιβ , Διὶ ε , Ἄρει ϛ , Ἀφροδίτῃ δ , Ἑρμῇ η , Σελήνῃ ια · Ἀφροδίτη ἀπὸ τῶν κβ ἑαυτῇ ἡμέρας μίαν, Κρόνῳ ε , Διὶ β , Ἄρει γ , Ἡλίῳ γ , Ἑρμῇ δ , Σελήνῃγ · Ἑρμῆς ἀπὸ τῶν νζ ἑαυτῷ ἡμέρας θ , Κρόνῳ ιγ , Διὶ ε ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄρει θ ἡμέρας, Ἡλίῳ η ἡμέρας, Ἀφροδίτῃ γ ἡμέρας, Σελήνῃι · Σελήνῃ ἀπὸ τῶν οα ἑαυτῇ ἡμέρας ιδ , Κρόνῳ ις ἡμέρας, Διὶ ζ ἡμέρας, Ἄρει η ἡμέρας, Ἡλίῳ ια ἡμέρας, Ἀφροδίτῃ δ ἡμέρας, Ἑρμῇ ια . Ἄλλοι δὲ μερίζουσι τοῖς ζ θεοῖς ἀπὸ τοῦ δεσπότου τοῦ λαχόντος τὸν ἐνιαυτόν, τῷ μὲν ἑαυτοῦ κυρίῳ τὴν ἑαυτοῦ περίοδον ἐν ἡμέραις, καὶ ἑξῆς τῷ τοῦ ἑξῆς κυρίῳ.

226 καὶ συνάγονται ἡμέραι τῶν δώδεκα ζῳδίων ρπδ · τῷ γὰρ Κρόνῳ δίδονται ἡμέραι μόναι λ διὰ τὸ ἑξῆς αὐτῷ εἶναι τοὺς οἴκους. οἷον ἔστω τινὰ τὸν ἐνιαυτὸν ἔχειν 〈ἐν〉 Κριῷ· τῷ Ἄρει πρῶτον ἡμέρας ιε παρέχομεν, Ἀφροδίτῃ η , Ἑρμῇ κ , Σελήνῃ κε , Ἡλίῳ ιθ , Ἑρμῇ κ , Ἀφροδίτῃ η , Ἄρει ιε , Διὶ ιβ , Κρόνῳ λ , Διὶ ιβ · καὶ συνάγονται ρπδ . καὶ πάλιν τῷ κυρίῳ τοῦ Κριοῦ παρέχομεν ἡμέρας ιε καὶ τοῖς ἐφεξῆς ἐκ δευτέρας ἕως οὗ ὁ ἐνιαυτὸς πληρωθῇ. καὶ οὗτοι οἱ μερισμοὶ οὐ πάνυ ἡμῖν συμφωνοῦσιν, ὑπὲρ δὲ τοῦ μὴ λαθεῖν αὐτοὺς ἐξεθέμεθα. ΗΦΑΙΣΤΙΩΝΟΣ ΘΗΒΑΙΟΥ ΠΕΡΙ ΚΑΤΑΡΧΩΝ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ Καὶ πρὸς τοῖς δυσὶ βιβλίοις τοῖς ἐκ συναγωγῆς ἡμῖν τῶν παρὰ τοῖς ἀρχαίοις εἰρημένων συντόμως γραφεῖσιν ἐκτεθείσθω τουτὶ τρίτον χρησιμώτατον ὑπάρχον περὶ καταρχῶν παντοίων, σπουδαιότατε καὶ ὁσιώτατε καὶ φιλομαθέστατε τῶν φίλων Ἀθανάσιε.

227 (1t) ἐξέσται δέ σοι μετὰ πολλῆς ῥᾳστώνης ἐκ τούτου εὐεπιτεύκτως ἐπιθεωρεῖν τὰ ἀνθρώπεια καὶ τὰ τῇδε πάντα πράγματα καὶ τῶν μὲν ἐκ προαιρέσεως τὰς καταρχὰς εὐθέτους καὶ εὐπαρέργους κατὰ τὸ δυνατὸν πηγνύναι, τῶν δὲ ἀπροαιρέτως συμβαινόντων τύχῃ καὶ αὐτομάτῳ, καὶ τούτων τὰς ἀστροθεσίας σκοπήσαντες τῆς καταρχῆς εἰσόμεθα πῶς ἕκαστον ἐκβήσεται καὶ ποῖον ἕξει τέλος. οὕτω δὲ καὶ ἐπὶ πάσης γενέσεως καταρχῆς λόγον τὸ διάθεμα σκοποῦμεν· ἀναγκαῖον τοίνυν ἀκριβῶς σκοπῆσαι τὴν ὥραν τῆς καταρχῆς ἐπὶ παντὸς πράγματος διὰ τῶν ὡς ἔνι μάλιστα διηρθρωμένων ὡροσκοπιῶν καὶ οὕτω τὰ κέντρα στῆσαι ὡς ἐπὶ γενέσεως. τῶν τε φώτων καὶ τῶν ε ἀστέρων τὰ μήκη καὶ τὰ πλάτη ἐπιγνόντες καὶ πῶς ἔχουσι σχήματος πρός τε ἀλλήλους καὶ τὸ πᾶν ἐκ τούτων λοιπὸν ἁρμοσώμεθα τῶν γινομένων ἑκάστῃ προγνώσει. 〈α′〉 Περὶ ἐπιτηδείων ζῳδίων καὶ Σελήνης ἐπιτηρήσεων εἰς καταρχήν Τὰ μὲν οὖν ὀρθῶς ἀνατέλλοντα ζῴδια (ἔστι δὲ τὰ ἀπὸ Καρκίνου ἕως Τοξότου) ἐπὶ τῆς ἀνατολῆς ἀκάκωτα τυχόντα ἀνεμποδίστως τὰ πραττόμενα τελέσει, τὰ δὲ λοξά (ἔστι δὲ τὰ ἀπὸ Αἰγοκέρωτος ἕως Διδύμων) ἄνευ μαρτυρίας ἀγαθοποιῶν ἀστέρων δυσκατέργαστα καὶ πολυχρόνια μηνύει, καὶ τὰ τροπικὰ δὲ ἐν τῇ ἀνατολῇ ὄντα μετατρέπει ταχέως τὸ πραττόμενον.

228 (1t) ἐν δὲ ἡμεριναῖς πράξεσιν ἐπιτηρητέον τόν τε Κριὸν καὶ Λέοντα καὶ Τοξότην καὶ Καρκίνον εἰ εἴη τις ἐπὶ τῆς ἀνατολῆς καὶ ἡ Σελήνη τινὰ τούτων παροδεύει, ἐν δὲ νυκτεριναῖς ὁμοίως τὰ διάμετρα τῶν ἡμερινῶν ζῳδίων ἐπισκοπητέον. Βλάπτει δὲ καὶ ἡ Σελήνη ἐκλείπουσα, καὶ μάλιστα ἐν τῷ γενεθλίῳ ζῳδίῳ ἢ τοῖς τούτου τριγώνοις, ἔτι δὲ καὶ ἐν συνόδῳ. ἀτὰρ καὶ τοίη ἐοῦσα ἐς κακοεργείην ἐκλείψιός ἐστιν ἀμείνων, καὶ δὲ συνεργῆσαι δόλια φρεσὶ μητιόωντι καὶ λάθρῃ πρήσσοντι καὶ ὅσσα χρῇζε σιωπῆς. ἐπιτηρητέον δὲ καὶ τὸ δωδεκατημόριον αὐτῆς μὴ ἐμπέσῃ ὅπου Κρόνος ἢ Ἄρης. μηδὲ μὴν αὐτὴ ἔστω ἐν πανσελήνῳ· δεῖ γὰρ ἔριν τε διχοστασίην τε τιτύσκειν. μήτε ἐν τοῖς ἐκλειπτικοῖς μήτε κατὰ μῆκος ἢ πλάτος τοῖς ἀριθμοῖς ἀφαιροῦσα μήτε εἴη ἐν τῷ νοτίῳ πέρατι μήτε ἐν ταῖς τελευταίαις μοίραις τῶν ζῳδίων ἐπειδὴ κακοποιοί εἰσιν. 〈β′〉 Ὅπως χρὴ πῆξαι καθολικὰς καταρχάς Ἐν πάσῃ καταρχῇ ἐπιτηρητέον τὸν τοῦ ὡροσκόπου κύριον μὴ ἐμπεσεῖν εἰς τὸν ὄγδοον θανατικὸν καλούμενον τόπον μήτε εἰς τὸ τούτου διάμετρον, τὸν β′ καλούμενον βίον, μήτε συνεῖναι τῷ τοῦ ὀγδόου τόπου δεσπότῃ μήτε τὴν Σελήνην καθυπερτερεῖν τετραγώνῳ ἢ διαμέτρῳ σχήματι, τόν τε τῆς ἐπαναφορᾶς τοῦ ὡροσκόπου (τουτέστι τοῦ δευτέρου τόπου) δεσπότην ἔν τε τῷ δευτέρῳ καὶ ὀγδόῳ μὴ ἐπεῖναι μήτε ἐναντιοῦσθαι ἀλλήλοις μήτε ἐπαναφέρεσθαι τῇ Σελήνῃ, ἔτι μὴν καὶ τοὺς οἰκοδεσπότας τοῦ τε σεληνιακοῦ ζῳδίου καὶ τοῦ κλήρου τῆς τύχης μὴ εἶναι ἔν τε τῷ δευτέρῳ καὶ ὀγδόῳ τόπῳ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

229 (1t) βελτίονες δὲ οὗτοι ἂν ἐπίκεντροι πρὸς τὸν ὡροσκόπον γένοιντο· ἐπίδοξα γὰρ ποιεῖ. πρὸ πάντων δὲ ἐν παντὶ πράγματι ἀναγκαῖον ζητῆσαι τόν τε ὡροσκόπον καὶ τὴν Σελήνην ἐν ἀγαθῶν τόποις εἶναι, ἀγαθοῖς δὲ συνάπτειν παροῦσιν ἢ κατὰ σχῆμα, καὶ τὸν τῆς τύχης κλῆρον συμφωνεῖν ἢ τῷ Ἡλίῳ ἢ τῇ Σελήνῃ ἢ τῷ ὡροσκόπῳ, προσέτι δὲ καὶ τὸν κύριον τοῦ κλίματος μὴ ἐναντιοῦσθαι τῷ κλίματι ἐν ᾧ ἡ καταρχὴ μήτε τῇ Σελήνῃ καὶ τοὺς ἀστέρας δὲ μὴ διαμέτρους εἶναι τοῖς ἰδίοις οἴκοις καὶ ὑψώμασι μήτε ἐν ἀδρανείᾳ. τούτων οὕτω σκοπηθέντων ἐπὶ πάσης καταρχῆς ἀνάγκη ἕκαστα δεξιῶς σὺν εὐδαιμονίᾳ προχωρῆσαι. εἰ δ’ ἄρα ἐπείγοι τινὸς κατάρξασθαι, μὴ συντρέχοι δὲ πάντα τὰ προειρημένα, χρηστέον τοῖς πλείοσι καὶ κατὰ καιρὸν δυνατοῖς. Σκέπτου δὲ καὶ οὕτω ποταπὸν ἕξει τέλος ἕκαστον τῶν πραττομένων. ἐπίβλεπε τῆς Σελήνης τὰ φῶτα, τὸν δεσπότην τοῦ οἴκου ἐν ᾧ ἐστιν, ἔτι μὴν καὶ τὸν ὡροσκόπον τῆς καταρχῆς καὶ τὸ μεσουράνημα.

230 ἐὰν οὖν ἡ Σελήνη τύχῃ ἐπί τινος τούτων τῶν κέντρων διοδεύουσα, ὁ δὲ οἰκοδέκτωρ αὐτῆς ἐν τοῖς ἀποκλίμασιν, ἔσται τὰ κατ’ ἀρχὴν τοῦ πράγματος λαμπρά, τὰ δὲ τέλη σκοτεινὰ καὶ ἄχρηστα, ἐὰν δὲ ἔμπαλιν ἡ Σελήνη μὲν ἐν τοῖς ἀποκλίμασιν, ὁ δὲ κύριος τοῦ αὐτῆς οἴκου ἐν τοῖς κέντροις, τὰ κατ’ ἀρχὴν οὐδαμινὰ καὶ ἄχρηστα, τὰ δὲ τελευταῖα λαμπρά· ἀρχαὶ μὲν γὰρ ἔασι πολυτρέπτοιο Σελήνης αὐτῆς, ἐν δ’ οἴκοιο θεῷ κρατέοντι τελευτή. εἰ δ’ ἄμφω εἶεν ἐν τοῖς κέντροις καὶ τὰ πρῶτα καὶ τὰ τελευταῖα καλά, εἰ δὲ ἐν τοῖς ἀποκλίμασιν ὁμοίως ἡ ἀρχὴ καὶ τὸ τέλος ἄχρηστον. Καὶ ἐπὶ τοῦ Ἡλίου δὲ καὶ τοῦ οἰκοδεσπότου αὐτοῦ ὁμοίως τῇ Σελήνῃ σκέπτου, καὶ μάλιστα ἐπὶ τῶν ἡμερινῶν καταρχῶν. παρατηρητέον δὲ καὶ τὸν κλῆρον τῆς τύχης ἐν πάσῃ καταρχῇ καὶ τοὺς ἀγαθοποιοὺς θετέον σὺν αὐτῷ ἢ ἐποπτεύοντας αὐτόν. μὴ λαθέτω δὲ καὶ τοῦτο, ὅτι ἡ Σελήνη ἐν ταῖς καταρχαῖς τὸ πραττόμενον εἴτε ταχέως εἴτε χρονίως ἀποκαθίστησιν ὡς ἐπίπαν εἰς τὸ αὐτὸ ζῴδιον τῆς καταρχῆς παραγενομένη ἢ εἰς τὸ τούτου διάμετρον εἴτε τετράγωνον. 〈γʹ〉 Ὅπως χρὴ εἰδέναι ἀλόγων γενέσεις καὶ καταρχάς Ἐπὶ μὲν οὖν τῆς τῶν ἀλόγων γενέσεως τὸ αὐτὸ νοείσθω ὅπερ ἤδη εἰρήκαμεν ἐν τῷ δευτέρῳ βιβλίῳ περὶ ἀλόγων καὶ τεράτων, ἁπλούστερον δὲ καὶ ἐνταῦθα εἰρήσθω. ἐπὰν γὰρ ὁ τοῦ κλήρου τῆς τύχης κύριος ἀσύνδετος τῇ ὥρᾳ ἢ καὶ τῷ τῆς ὥρας δεσπότῃ καὶ τοῖς φωσὶν εὑρεθῇ, καὶ μάλιστα τῇ Σελήνῃ, ἀλόγου καταρχὴν νομιστέον.

231 ἐπὰν δὲ καὶ τὰ φῶτα ἀλλήλων καὶ τῆς ὥρας ἀλλοτριωθῇ τῷ σχήματι τῶν συναφῶν πρὸς κακοποιοὺς γινομένων καὶ τῶν κέντρων ἢ τῶν ἐπαναφορῶν ὑπὸ τῶν κακοποιῶν κατεχομένων ἄνευ τῆς τῶν ἀγαθοποιῶν ἀστέρων θεωρίας ἀνάγκη γένεσιν ἀλόγου εἶναι ἢ τέρατος ἢ ἀγρίου ἀλόγου πρὸς τὴν τῶν ζῳδίων φύσιν τῶν ποιούντων τὸ σύμπτωμα ἢ καὶ καταρχὴν περὶ ἀλόγων ζῴων, συσχηματιζομένων δὲ τῶν ἀγαθοποιῶν τὰ γινόμενα ποιεῖ χειροήθη καὶ μετὰ ἀνθρώπων διαιτώμενα. 〈δʹ〉 Πῶς ἄν τις προγνοίη τὰς πεύσεις τῶν βουλομένων σκέψασθαι ἐκ καταρχῆς Γνοίη δ’ ἄν τις τῶν προσιόντων καὶ προγνῶναι βουλομένων ἐκ καταρχῆς τὸ προγινόμενον κατὰ καθολικὸν καὶ συνοπτικὸν εἶδος ὁμοιοτρόπως μάλιστα ταῖς γενέσεσι τὴν ἐπίσκεψιν ποιησάμενος. καταστοχάζεσθαι δέ ἐστι καὶ ἀπὸ τούτων· τήν τε γὰρ ὥραν καὶ τὰ κέντρα τῆς καταρχῆς ἀκριβῶς στήσαντες, πρῶτον τὸ μεσουρανοῦν κέντρον ἐπισκοπεῖν χρὴ καὶ τὸν ἐπ’ αὐτοῦ τυγχάνοντα καὶ πρὸς τοῦτον ἀφορίζειν τὸ πρᾶγμα ἢ τὰς πράξεις. καὶ τοὺς παρ’ ἑκάτερα δύο τόπους ἐφορατέον (τουτέστι τό τε ἀπόκλιμα καὶ τὴν ἐπαναφορὰν τοῦ μεσουρανήματος), τούς τε ἐν αὐτοῖς ἀστέρας ἐπισκοπητέον τοὺς μὲν ἐπὶ τοῦ ἀποκλίματος ὡς δηλοῦντας τὰ παρῳχηκότα, τοὺς δὲ ἐπὶ τῆς ἐπαναφορᾶς τὰ μέλλοντα, τὰ δὲ ἐν αὐτῷ τῷ ἐνεστῶτι καιρῷ τοὺς ἐν τῷ μεσουρανήματι. μηδενὸς δὲ τῶν ἀστέρων ἐπιτυχόντος ἐπὶ τῶν προκειμένων τόπων λαμβάνειν δεῖ τοὺς ἐπιθεωροῦντας καὶ ἐνδυναμωμένους πρὸς αὐτούς· ὅπως γὰρ ἂν οὗτοι καταληφθῶσι τοιουτότροπον τὸ τέλος καὶ τὸ ἐνέργημα τοῦ ζητουμένου ἀποτελοῦσιν.

232

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ μὲν γὰρ δύσεως ἐπὶ ἀνατολὰς πορευόμενος σημαίνει λαμπρὰς καὶ ὡραίας καὶ ἐξουσιαστικὰς πράξεις τῶν ἤδη προεγκεχειρισμένων, ὃ δὴ μάλιστα ἐπὶ τοῦ Ἑρμοῦ παραφυλακτέον, ἀπὸ δὲ τῶν ἀνατολῶν ἐπὶ τὰς δύσεις πορευόμενος τῶν προπεπραγμένων ἢ βεβουλευμένων ἄνεσιν καὶ ἀπόσβεσιν καὶ ἀργίαν μηνύουσιν. καὶ ἐν μὲν ταῖς ἀνατολαῖς ἀπὸ μοιρῶν ιβ ἀποστάντες τοῦ Ἡλίου ἄρχονται τῆς ἐνεργείας, ἐντελέστερον δὲ ἀπὸ μοιρῶν ιε , ἐν δὲ ταῖς δύσεσιν ἀπὸ ιε μοιρῶν ἕως ζ ἄρχονται μειοῦν τὴν δύναμιν, ἀπὸ δὲ ἑπτὰ ἕως τῆς τοῦ Ἡλίου μοίρας δυτικοὶ καὶ ἀσθενέστατοι, αἱ δὲ ἑῷοι φάσεις νυκτὸς μέν εἰσι βραδίονες, ἡμέρας δὲ ἑσπέριοι. Προσθετέον δὲ καὶ ταῦτα τῷ μέρει τούτῳ. τῶν κέντρων τὸ μὲν ὡροσκοποῦν ἐπισκοπεῖν δεῖ ὡς σημαῖνον τὴν φύσιν τῆς πεύσεως, τὸ δὲ μεσουρανοῦν τὴν ἐνέργειαν, τὸ δὲ δῦνον τὸ τέλος, τὸ δὲ ὑπόγειον τὰ λαθραῖα, καὶ ὁ μὲν ὡροσκόπος τὴν ἀνατολὴν μηνύει, τὸ δὲ μεσουράνημα τὴν μεσημβρίαν, τὸ δὲ δῦνον τὴν δύσιν, τὸ δὲ ὑπόγειον τὰ πρὸς ἄρκτον. καὶ τὰ μὲν τροπικὰ τῶν ζῳδίων ῥᾳδίας τὰς μεταβολὰς ἤτοι ἐπὶ τὸ ἄμεινον ἢ ἐπὶ τὸ χεῖρον, τὰ δὲ στερεὰ ἀμετάτρεπτον τὸ ζητούμενον πρᾶγμα, τὰ δὲ δίσωμα διμερῆ τὴν τῶν ζητουμένων ἔσεσθαι ἀπόβασιν. τῶν δὲ ζῳδίων τὰ μὲν ἔνυδρα ἐνύδρους τόπους σημαίνουσιν, τάς τε πράξεις δι’ ὑγρῶν ἢ ἐν ὑγροῖς, τὰ δὲ ἀμφίβια ἐπικοινωνοῦντα τῶν τε ἀπὸ γῆς καὶ τῶν ὑγρῶν, τὰ δὲ χερσαῖα ἠπείρους καὶ ὄρη, τὰ δὲ πολύσπερμα καὶ πολύγονα ὄχλους καὶ δήμους, τὰ δὲ ἄγονα ἐρημίας καὶ ἀπραγίας.

233 οἱ δὲ σύνδεσμοι τοῦ τῆς Σελήνης κύκλου ἀτέλεστα καὶ ἐλλειπῆ τὰ πράγματα καὶ εἰς τὸ ἐναντίον τὴν μετατροπὴν ἄγοντες, αἱ δὲ τῆς Σελήνης συναφαὶ καὶ ἀπόρροιαι δηλοῦσι τὰ ἀποβησόμενα κατὰ τὴν τῶν ἀστέρων οἷς κοινωνεῖ φύσιν. Πρόσωπα δὲ ὁ μὲν τοῦ Κρόνου πρεσβυτικά, στιβαρά, βαρύμηνα, πανοῦργα, ἐνδόμυχα καὶ κακοποιὰ μηνύει, ἐργασίας τε τὰς ἐν γῇ καὶ θαλάσσῃ καὶ εἱρκτὰς καὶ συνοχάς, ὁ δὲ τοῦ Διὸς ἀστεῖα καὶ ἀξιωματικά, εὐπάροχα, ἀκμάζοντα, ἱλαρά, ἀγαθοποιά, ὁ δὲ τοῦ Ἄρεως νέους, θρασεῖς, θυμητικούς, ἀηδεῖς, μοιχικούς, πανούργους, ληστρικούς, στραταρχικούς, βασιλικούς, δυνάστας, ἡ δὲ Ἀφροδίτη ἱλαρά, ἀστεῖα, χαρίεντα, μουσικά, ἐμπορικά, ἁβροδίαιτα, θηλύφρονα μηνύει, ὁ δὲ τοῦ Ἑρμοῦ εὐπαίδευτα, νέα καὶ πολύτροπα καὶ ἐμπορικά, ἡ δὲ Σελήνη βασιλικά, προβεβηκότα, θηλυκά, ὁ δὲ Ἥλιος βασιλικά, ἡγεμονικά, ἀκμάζοντα, ἀρρενικά. τὰ μὲν οὖν ἰδιότροπα ἑκάστου αὐτῶν ταῦτα καὶ τοιαῦτά ἐστιν, ἐὰν δὲ μετ’ ἀλλήλων ὦσί τινες ἐφαρμοστέον κατὰ τὸ συγκρατικὸν εἶδος. Καὶ ἄλλως δὲ προγνωσόμεθα πεπηγμένης τῆς καταρχῆς ἐπ’ ἐνίων οὕτως. ἐπὰν ὁ κλῆρος τῆς τύχης εἰς τὸ γ′ ζῴδιον ἀπὸ τοῦ ὡροσκόπου ἐμπέσῃ, ὁ δὲ κύριος τοῦ ζῳδίου ἐναντιωθῇ αὐτῷ, ἰστέον ὅτι πρὸς φίλον ἔχθραν καὶ διαφορὰν σημαίνει, εἰ δὲ δίσωμον τύχῃ τὸ ζῴδιον καὶ ἤδη προγεγενημένην καὶ αὖθις ἐσομένην. ὁ δὲ ἀστὴρ ὁ κύριος τοῦ κλήρου δηλώσει τὰ πρόσωπα καθὼς προδεδήλωται. ὁπόταν δὲ πάλιν ὁ κλῆρος εἰς τὸ περὶ φιλίας, τουτέστι τὸ τρίτον, πέσῃ, ὁ δὲ κύριος αὐτοῦ κακοδαιμονῇ σὺν τοῖς ἀγαθοποιοῖς ἢ τῷ κυρίῳ τῆς ὥρας, ὅ τε τοῦ κακοδαιμονήματος δεσπότης ὡροσκοπήσῃ ἀκακώτου τῆς Σελήνης τυχούσης, εὑρίσκεται περὶ δόξης καὶ ἀρχῆς αὐτεξουσίου καὶ ἐλευθερίου ἡ καταρχή.

234 ἐὰν δὲ πάλιν εὑρεθῇ ὁ κλῆρος ἐν τῷ περὶ θανάτου τόπῳ σὺν τῷ ἰδίῳ κυρίῳ ὑπὸ τῆς Σελήνης κεκακωμένης καθυπερτερούμενος ἀσυντελὴς ἔσται πᾶσα ἡ καταρχή. Ἐπετήρησαν δὲ ἀκριβῶς εἰς πρόγνωσιν οἱ παλαιοὶ καὶ ἐκ τῆς ποσότητος τῶν μοιρῶν τοῦ ὡροσκόπου οὗ ἔσται αὐτοῦ τὸ δωδεκατημόριον. εἰς ὃ γὰρ ἂν ἐμπέσῃ ζῴδιον ἐν τοῖς ἑξῆς ἀνὰ δύο 〈ἥμισυ〉 μοίρας ἐκβαλλομένη ἡ ποσότης τῶν μοιρῶν τοῦ ὡροσκόπου 〈ἐκεῖν〉ο ἔσται αὐτοῦ τὸ δωδεκατημόριον, καὶ κατ’ αὐτό τε 〈καὶ〉 ἐξ αὐτοῦ περὶ παντὸς πράγματος καὶ πρὸ τῆς πεύσεως συνιδεῖν ἔστι τὸ εἶδος. οὐ γὰρ μόνον ὁρᾶν χρὴ αὐτὰ καθ’ ἑαυτὰ τὰ ζῴδια εἰ ἔστι τροπικὰ ἢ στερεὰ ἢ δίσωμα, ἀλλὰ καὶ ἑκάστου ζῳδίου τὸ δωδεκατημόριον 〈εἰ〉 εἰς τροπικὰ ἢ στερεὰ ἢ δίσωμα· ἃ μάλιστα ἁρμόζει εἰς τὴν τῶν καταρχῶν λύσιν τὸ συμβαίνειν ἐν στερεῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τροπικὸν δωδεκατημόριον ἢ δίσωμον κεντροῦσθαι, ἀλλοιοῦσθαί τε τὴν φύσιν τοῦ ζῳδίου τῇ τῆς τοπικῆς δυνάμεως μοιρικῇ διακρίσει. τὴν οὖν ποιότητα τῆς πεύσεως ἤτοι τοῦ πράγματος προειπεῖν δυνησόμεθα ἐπὰν ἀκριβῶς λάβωμεν τὴν ὡροσκοποῦσαν μοῖραν ἐξ ὑδροσκοπίου ἢ ἀστρολάβου ἢ ἄλλου τινὸς ὡροσκοπίου καὶ γνῶμεν τὸ δωδεκατημόριον· πρὸς αὐτὸ ἁρμοσόμεθα οὕτως. Ἐὰν οὖν εὑρεθῇ τὸ α′ δωδεκατημόριον τοῦ Κριοῦ, τουτέστι β ? μοῖραι, ὡροσκοποῦν ἐπὶ τῆς ὥρας τοὺς προσιόντας σημαίνει περὶ ἐλευθερίας ἢ ἀρχῆς, τὸ 〈δὲ〉 δεύτερον περὶ βίου ἢ οἴκου ἢ ζῴων ἢ ἀγροῦ ἢ γυναικὸς ἢ ἀστείων προσώπων ἢ ὁμοίων, τὸ δὲ γ′ 〈περὶ〉 ἐνέδρας ἢ κλέμματος ἢ δραπέτου, τὸ δὲ δ′ 〈περὶ〉 κλοπῆς ἀργυρίου ἢ ἁρπαγῆς, τὸ δὲ ε′ περὶ οὐσίας ἢ ἀρχῆς καὶ τῶν ὁμοίων, τὸ 〈δὲ〉 ς′ περὶ οἰκονομίας, γυναικείου κόσμου, τὸ δὲ ζ′ περὶ ἐχθρῶν καὶ μάχης ἢ ἀπαιτήσεως 〈ἢ〉 κριτηρίου, τὸ δὲ η′ περὶ λαθραίου πράγματος καὶ ἀποκρύφου, τὸ δὲ θ′ περὶ ὁδοιπορίας ἢ μεταβάσεως ἢ πλοῦ, τὸ δὲ ι′ περὶ ἐλπίδων ἢ συζυγίας ἢ ἁρμονίας, τὸ δὲ ια′ περὶ ἀποβολῆς ἢ κλέμματος ἢ ζημίας τινός, τὸ δὲ τελευταῖον τὸ ιβ′ ὅ ἐστιν Ἰχθύων τυγχάνον περὶ γυναικὸς ἢ γυναικὶ διαφερόντων πραγμάτων ἢ τεθηλυμμένων.

235 Ταύρου δὲ τὸ μὲν πρῶτον δωδεκατημόριον ἀπονεμηθὲν σημαίνει περὶ πραγματείας ὅσα περὶ ζωὴν καὶ βρῶσιν, καὶ τὸ δεύτερον (τῶν Διδύμων) πράγματα αἰσχρὰ ἢ περὶ ἀφροδισίων ἢ τῶν ὁμοίων σημαίνει, τὸ δὲ τρίτον 〈περὶ〉 κλοπῆς ἢ ἔργου τινὸς ἢ οἰκονομίας, τὸ δὲ δ′ περὶ ἔχθρας ἢ ἁρπαγῶν, τὸ δὲ ε′ 〈περὶ〉 συμφωνίας καὶ ἀμεριμνίας, φιλίας καὶ καλοκαγαθίας, τὸ δὲ ἕκτον ἐν ἀμφιβολίᾳ καὶ δισταγμῷ περιπεπτωκέναι τὸν σκεπτόμενον, τὸ δὲ ζ′, Σκορπίου τυγχάνον, καμάτου καὶ μερίμνης καὶ στρατείας σημαντικόν, τὸ δὲ η′ περὶ ὁδοιπορίας καὶ πλοῦ καὶ τῶν τοιούτων, τὸ δὲ θ′ περὶ συναλλαγῆς τῆς πρὸς γυναῖκας καὶ εἴ τινα ὅμοια τούτοις, τὸ δὲ ι′ περὶ διαπράσεως καὶ ἀποβολῆς καὶ κόπου, τὸ δὲ ια′ περὶ ἀφροδισίων, τὸ δὲ τελευταῖον, Κριοῦ τυγχάνον, περὶ ξένων ἢ ξενιτείας ἢ γεωργίας σημαίνει. Τῶν δὲ Διδύμων τὸ α′ δωδεκατημόριον σημαίνει περὶ κοινωνίας καὶ πολιτικῶν πραγμάτων καὶ ὁμωνυμίας, τὸ δὲ δεύτερον 〈περὶ〉 ἀποβολῆς χρυσίου ἢ ἀργυρίου ἢ τῶν ὁμοίων κινητῶν, τὸ δὲ γ′ περὶ ἀποβολῆς καὶ ἀτυχίας, τὸ δὲ τέταρτον περὶ δανείσματος καὶ ἀποβολῆς καὶ ζημίας, τὸ δὲ ε′ περὶ πράγματος καὶ πράξεως, τὸ δὲ ς′ περὶ κλοπῆς τῶν ἀπὸ πυρὸς γεγονότων, τὸ δὲ ζ′ περὶ δραπετῶν διωγμοῦ ἢ ὁδοιπορίας ἤ τινα τούτοις ὅμοια, τὸ δὲ η′ περὶ ἐπωφελοῦς τέχνης καὶ ἱλαροῦ τινος πράγματος, τὸ δὲ θ′ περὶ λόγων καὶ πραγμάτων, τὸ δὲ ι′ περὶ μάχης καὶ ἔχθρας καὶ τῶν ὁμοίων σημαντικόν, τὸ δὲ ια′ 〈περὶ〉 ἀποβολῆς τινος ἢ φόβου ἢ μετανοίας ἢ ἀναλύσεως, τὸ δὲ ιβ′, τελευταῖον, Ταύρου τυγχάνον, περὶ γεωργίας ἢ ξενιτείας καὶ ὅσα τούτοις παραπλήσια δηλοῖ.

236 Τὸ δὲ Καρκίνου πρῶτον δωδεκατημόριον σημαίνει περὶ ἀρχῆς ἢ ἀρχιερωσύνης ἢ ἱερουργίας, τὸ δὲ δεύτερον περὶ μεγίστου πράγματος καὶ ἀξίας καὶ ἱερωσύνης, τὸ δὲ τρίτον περὶ φόβου διὰ πρᾶγμά τι μετὰ γυναικὸς πραχθέν, τὸ δὲ τέταρτον περὶ πίστεως ἢ ἀποβολῆς ἢ ἀπαιτήσεως, τὸ δὲ πέμπτον περὶ λαθραίας ἀποθέσεως ἢ θησαυροῦ ἢ παρακαταθηκῶν, τὸ δὲ ς′ περὶ ὁδοιπορίας ἢ πλοῦ ἢ ξένων προσώπων, τὸ δὲ ζ′ περὶ μάχης διὰ θηλυκῶν προσώπων καὶ ζηλοτυπίας, τὸ δὲ η′ περὶ ἀποβολῆς ἢ κλεμμάτων ἢ ζημιῶν ἢ ἀρνήσεων, τὸ δὲ ἔννατον περὶ γάμου κοινωνίας καὶ πραγμάτων ἀγαθῶν ἕνεκα, τὸ δὲ ι′ περὶ ἀρχῆς καὶ ἀξίας καὶ ἱερωσύνης καὶ εἴ τινα τούτοις παραπλήσια, τὸ δὲ ια′ περὶ κλέμματος ἢ ἀποδράντος τινὸς ἢ ἀρνήσεως παρακαταθηκῶν, τὸ δὲ δωδέκατον περὶ κοινωνίας καὶ συμφώνων πραγμάτων καὶ ἐζευγμένων. Τὸ δὲ τοῦ Λέοντος πρῶτον δωδεκατημόριον δηλοῖ περὶ ἀξίας καὶ ἐπιθυμίας ἀλλοτρίων ἢ πλεονεξίας, τὸ δὲ δεύτερον περὶ μεγάλου πράγματος καὶ ζημίας καὶ ἀδικίας, τὸ δὲ τρίτον περὶ μάχης καὶ πλεονεξίας καὶ ἀμφιβολίας, τὸ δὲ δ′ περὶ μεγάλου πράγματος τελεσιουργίας, τὸ δὲ ε′ περὶ πράγματος οὐ μικροῦ, ἀλλὰ βασιλικοῦ, ἢ περὶ κτίσεως, τὸ δὲ ἕκτον περὶ κόπου τινὸς ἢ ἐργασιῶν ξένων ἢ προσόδου, τὸ δὲ ζ′ περὶ ἐχθρῶν καὶ τῶν ὁμοίων, τὸ δὲ η′ περὶ ἀλλοτρίου πράγματος ἢ ἀλλοτρίας μερίμνης, τὸ δὲ θ′ περὶ φόβου καὶ δισταγμοῦ, τὸ δὲ ι′ περὶ λέσχης ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγροικίας ἢ ξενιτείας, τὸ δὲ ἑνδέκατον περὶ μάχης καὶ ἀπροσδοκήτων, τὸ δὲ τελευταῖον ⟨περὶ⟩ πραγμάτων ἱερῶν ἢ τοιουτοτρόπων τινῶν.

237 Παρθένου τὸ α′ δωδεκατημόριον σημαίνει περὶ κόσμου γυναικείου καὶ καρποῦ χάριν, τὸ δὲ δεύτερον ⟨περὶ⟩ προσόδου ἢ κόσμων βαρυτίμων ἢ ἐσθῆτος, τὸ δὲ τρίτον περὶ πράγματος λαθραίου βεβουλευμένου, τὸ δὲ τέταρτον περὶ ἀφορμῶν ἀλλαγῆς ἢ κοινοῦ τινος χάριν, τὸ δὲ ε′ περὶ γεωργίας καὶ οἰκοδομῆς ἢ τοιουτοτρόπου τινός, τὸ δὲ ϛ′ περὶ προσώπου ἢ ἐλπίδων καὶ πράξεων καὶ κόπου, τὸ δὲ τῶν Ἰχθύων, ἕβδομον, περὶ ἔχθρας γυναικείας καὶ ἀψιμαχίας φίλων, τὸ δὲ ὄγδοον περὶ τέχνης ἢ ἱερῶν ἐνεργείας ἢ χρηματισμῶν, τὸ δὲ θ′ περὶ φορτίου πράσεως ἢ καματηρᾶς ξενιτείας, τὸ δὲ δέκατον, Διδύμων, περὶ ἐπηρείας τινὸς ἢ ξένης ἢ ἀγροικικῆς αἰτίας, τὸ δὲ ια′ περὶ κλοπῆς ἢ πράγματος λαθραίου ἢ θησαυροῦ, τὸ δὲ τελευταῖον, Λέοντος, περὶ τραυμάτων ἢ ἀσθενείας ἢ τῶν ὁμοίων. Τὸ δὲ τοῦ Ζυγοῦ πρῶτον δωδεκατημόριον ὑποσημαίνει περὶ προσόδου ἢ κριτηρίου ἢ δόσεως ἢ λήψεως, τὸ δὲ δεύτερον περὶ κλέμματος ἢ νοσφισμοῦ, τὸ δὲ τρίτον, Τοξότου ὄν, περὶ ἐμπορίας ἢ γεωργιῶν τῶν ἐπὶ ξένης, τὸ δὲ δ′ περὶ πραγμάτων λαθραίων ἢ σκολιῶν, τὸ δὲ πέμπτον περὶ πραγματείας ἢ κακοπραγίας ἢ ἐλπίδων προσδοκίας, τὸ δὲ ϛ′ περὶ ἀλλοτρίου πράγματος ἢ ἐντολῆς γυναικός, τὸ δὲ ζ′ περὶ ἀηδίας ἀκαίρου καὶ ὀργῆς καὶ μάχης ἢ ἡσυχίας τινός, τὸ δὲ ὄγδοον, Ταύρου ὄν, περὶ ἀσθενείας ἢ τραυμάτων ἢ μερίμνης βασιλικῆς, τὸ δὲ θ′ περὶ κοινωνίας ἢ λόγων ἢ συνθηκῶν, τὸ δὲ ι′ περὶ προσόδου ἢ ἀξίας ἢ τιμῆς ἢ εὐημερίας, τὸ δὲ ια′ περὶ ἀγνοίας τινὸς ἢ ὕβρεως αἰφνιδίου, τὸ δὲ δωδέκατον περὶ σωμάτων ἢ φορτίου πολιτικοῦ.

238 Τὸ δὲ τοῦ Σκορπίου α′ δωδεκατημόριον σημαίνει περὶ στρατείας ἢ ἐπὶ ξένης πράγματος ἢ μίξεως αἰφνιδίου γεγονυίας, τὸ δὲ β′ περὶ πλοῦ ἢ μεταβάσεως καὶ τῶν ὁμοίων, τὸ δὲ γ′ περὶ ὄχλου ἢ μάχης καὶ ἀηδίας ἐπικινδύνου, τὸ δὲ δ′ περὶ κακοπραξίας ἀπολύσεως, τὸ δὲ ε′ περὶ ὁμονοίας ἢ πλοῦ ἢ κοινῶν πραγμάτων, τὸ δὲ ϛ′ περὶ ἐπιταγῆς καὶ κρατήσεως καὶ ἀδοκήτου βίας, τὸ δὲ ζ′ περί τινος ἐπὶ ξένης γεγονότος ἢ διὰ ξένα πρόσωπα, τὸ δὲ η′ περὶ ὁδοιπορίας, τὸ δὲ θ′ περὶ κλεμμάτων ἢ ἐξουσίας ἢ τῶν πρὸς ἰσχυρότερα πρόσωπα διαφερόντων, τὸ δὲ ι′ περὶ ξενιτείας ἢ τέχνης τινὸς ἢ ἀξίας, τὸ δὲ ια′ περὶ κλέμματος γυναικείου χάριν, τὸ δὲ ιβ′ περὶ προσόδου ἢ κινδύνου ἢ κέρδους ἀπλήστου. Τοῦ Τοξότου τὸ α′ δωδεκατημόριον δηλοῖ περὶ φορτίου ἐπὶ ξένης, τὸ δὲ β′ περὶ στρατείας ἢ ξενιτείας ἢ στρατοπέδου, τὸ δὲ γ′ περὶ πραγμάτων καὶ πράξεων καθύγρων, τὸ δὲ δ′ περὶ πλοῦ καὶ τῶν ὁμοίων, τὸ δὲ ε′ περὶ φορτίου, τὸ δὲ ϛ′ περὶ τετραπόδων, τὸ δὲ ζ′ περὶ ἀηδίας ἢ δραπέτου, τὸ δὲ η′ περὶ κλέμματος ἢ ἀποβολῆς, τὸ δὲ θ′ περὶ ὁδοῦ ἢ ἐνέδρας, τὸ δὲ ι′ περὶ ἔρωτος ἢ τῶν ὁμοίων, τὸ δὲ ια′ περὶ προσόδου ἐπὶ ξένης ἢ διὰ ξένους, τὸ δὲ ιβ′ περὶ κλέμματος. Τὸ δὲ τοῦ Αἰγοκέρωτος α′ δωδεκατημόριον περὶ πραγμάτων οὐ καθαρῶν ἢ ἐφυβρίστων, τὸ δὲ β′ περὶ δραπέτου ἢ ἀποβολῆς, τὸ δὲ γ′ περὶ ἔρωτος ἢ πλοῦ, τὸ δὲ δ′ περὶ προβάτων, οἰκοδομίας ἢ ἱματίων, τὸ δὲ ε′ περὶ γεωργίας ἢ οἰκονομίας, τὸ δὲ ϛ′ περὶ πραγμάτων ἄλλοις διαφερόντων, τὸ δὲ ζ′ περὶ κλέμματος ἢ ἀηδίας, τὸ δὲ η′ περὶ φόβου ἢ στρατείας, τὸ δὲ θ′ περὶ τέχνης ἢ κόσμου γυναικείου, τὸ δὲ ι′ περὶ προσόδου ἢ ἀηδίας, τὸ δὲ ἑνδέκατον περὶ πράγματος λαθραίου γεγονότος, τὸ δὲ ιβ′ περὶ πράγματος γεγονότος ἢ πλοῦ.

239 Τοῦ δὲ Ὑδροχόου τὸ α′ δωδεκατημόριον ἀποδείκνυσι περὶ σωμάτων χάριν, τὸ δὲ β′ καθύγρων πραγμάτων ἕνεκα ἢ φορτίου, τὸ δὲ τρίτον περὶ λέσχης τινός, τὸ δὲ δ′ περὶ κόπων ἰδίων, τὸ δὲ ε′ περὶ κοινωνίας ἢ καθύγρων πραγμάτων, τὸ δὲ ϛ′, Καρκίνου ὄν, περὶ κλέμματος ἢ ἀηδίας αἰφνιδίου, τὸ δὲ ζ′ περὶ τέχνης ἢ κοινωνίας, τὸ δὲ η′ περὶ ἀγοραίου ἢ πανηγύρεώς τινος, τὸ δὲ θ′ περὶ προσόδων ἢ περὶ κόσμου καὶ δικαίου τινὸς πράγματος ἢ ἐπὶ ξένης ὄντος, τὸ δὲ ι′, Σκορπίου τυγχάνον, περὶ κλοπῆς ἢ θησαυροῦ, τὸ δὲ ια′ περὶ πλοῦ ἢ καθύγρων πραγμάτων, τὸ δὲ τελευταῖον, Αἰγοκέρωτος τυγχάνον, περὶ ἀλλοτρίων πραγμάτων ἢ πίστεων γυναικείων. Τὸ δὲ τῶν Ἰχθύων πρῶτον δωδεκατημόριον περὶ βεβλαμμένων πραγμάτων δηλοῖ παρύγρων, τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ β′ περὶ κόσμου ἢ συζεύξεως, τὸ δὲ τρίτον περὶ τῶν λάθρᾳ τι πράττειν ἐπιχειρούντων ἢ γυναικείου πράγματος, τὸ δὲ τέταρτον περὶ κόπου ἢ κοινωνίας ἢ ξένου πράγματος, τὸ δὲ πέμπτον περὶ φορτίου ἢ γάμου, τὸ δὲ ϛ′ περὶ φορτίου ἀλλοτρίου, τὸ δὲ ζ′ περὶ γυναικείας τέχνης ἢ τῶν ὁμοίων τῶν εἰς γυναῖκα ἀναφερόντων, τὸ δὲ η′ περὶ ἀλλοτρίων πραγμάτων, τὸ δὲ θ′ περὶ προσόδων καὶ καλοῦ πράγματος, τὸ δὲ ι′ περὶ πλοῦ ἢ ξενιτείας τινὸς ἀγαθῆς, τὸ δὲ ια′ περὶ γυναικείου πράγματος ἢ γυναικὶ διαφέροντος, τὸ δὲ ἐπὶ τέλει δωδεκατημόριον σημαίνει περὶ ἀποβολῆς ἢ δραπέτου καὶ τῶν ὁμοίων. 〈ε′〉 Περὶ καθολικῶν καταρχῶν καὶ παρατηρήσεων Τὴν βασιλικὴν τάξιν καὶ ἡγεμονικὴν δύναμιν Ἥλιος καὶ Σελήνη τοῦ παντὸς ἀνειλήφασιν· διὰ γὰρ τῶν πρὸς ἀλλήλους σχηματισμῶν καὶ τῶν ἐπισήμων φάσεων ἅπαντα ἀπεργάζονται παραλαμβάνοντες καὶ τὸν τῶν πλανωμένων πρὸς αὐτοὺς σχηματισμὸν εἰς αὔξησιν καὶ ἐπίτασιν τῶν ἀποτελουμένων.

240 (1t) ἐκ γὰρ τῆς τῶν φωστήρων κατὰ μῆνα συνόδου ἅπαντα κατά τε γῆν καὶ θάλασσαν ζωογονεῖται καὶ ἀλλοιοῦται. χρὴ οὖν ἐπὶ πάσης καταρχῆς τὴν προγενομένην σύνοδον ἢ καὶ πανσέληνον σκοπῆσαι ὡς ἐπὶ γενέσεως, πρῶτον μὲν εἰ ἐπὶ τῶν κέντρων ἢ ἐπὶ τῆς τούτων ἐπαναφορᾶς εἴη χρηματίζουσα καὶ ἐν ἀγαθοποιοῦ ἀστέρος ζῳδίῳ ἢ μοίραις ἢ παρουσίᾳ ἢ σχήματι ἢ κακοποιοῦ ὁμοίως καὶ εἰ μετὰ τὴν σύνοδον ἢ πανσέληνον συνάπτει ἀγαθοποιῷ ἢ ἐναντίῳ, καὶ οὕτω καταστοχάζεσθαι τοῦ πράγματος καθὼς ἂν ἔχῃ ἡ συζυγία πρός τε τὰ κέντρα καὶ τοὺς πλανωμένους. ἐπικέντρου γὰρ γενομένης τῆς συζυγίας μετὰ τῶν ἀγαθοποιῶν καὶ ἐπειγούσης πρὸς ἀγαθοποιοὺς μεγίστας καὶ εὐδαιμονεστάτας δηλώσει πράξεις ἄχρι τέλους, ἐπὶ δὲ γενέσεως ἀποτελοῦνται βασιλεῖς, εὐδαίμονες, πολυχρήματοι. ἐπὰν δὲ ἀγαθοποιοῖς συνοδεύσασα φέρηται ἐπὶ κακοποιοὺς ποιήσει εὐγενεῖς τοὺς γεννηθέντας καὶ τὰς ἀρχὰς τῶν χρόνων ἔχοντας, ὕστερον δὲ ἐπὶ τὸ χεῖρον σφαλλομένους τῷ βίῳ, ἐὰν δὲ ἐναντίως εὑρεθῇ ἡ Σελήνη δηλώσει καὶ τοὺς τικτομένους τὴν ἀρχὴν δυστυχοῦντας, τὰ δὲ τέλη εὐτυχεῖς. ἐὰν δὲ ἀπὸ κακοποιῶν εἰς κακοποιοὺς φέρηται ταπεινοὺς ἐκ ταπεινῶν ἀποτελεῖ καὶ ἐπιμόχθους καὶ ἐν πᾶσι δυστυχεῖς καὶ κακομόρους.

241 περισχεθεῖσα δὲ ὑπὸ τῶν κακοποιῶν ἡ σύνοδος ταπεινοὺς καὶ ἀβίους καὶ ἐπαίτας καὶ δυστυχεῖς ἐργάζεται. εὐεπιτεύκτους δὲ καὶ ἐμπράκτους ἐν πᾶσιν ἀποτελέσει ὅταν ὁ οἰκοδεσπότης τῆς συνόδου ἀνατολὰς ἔχῃ καὶ ἐπιπαρῇ ἰδιοτοπῶν ἢ τριγωνίζηται πρὸς τὸν τόπον, ἐὰν δὲ ἀπόστροφος εὑρεθῇ ἢ ἐναντιωθῇ οὐ ποιήσει. ἐπὶ δὲ τῶν ἐπαναφορῶν γενομένης τῆς συζυγίας ἢ τοῦ κυρίου αὐτῆς μετὰ χρόνον ἀποτελέσει τὰ πραττόμενα, ἐὰν δὲ ἐν τοῖς ἀποκλίμασιν ἀργὰ καὶ ἀσυντέλεστα. ἐπισκοπητέον οὖν καὶ τὰ ἐν καταρχῇ πραττόμενα πάντα ὡς ἐπὶ γενέσεως προσκεψαμένους τὴν προγενομένην σύνοδον ἢ πανσέληνον. ταῖς δὲ τῆς Σελήνης προσεκτέον φάσεσι σπουδαίως—λέγω δὲ ἐν αἷς τὸν Ἥλιον μετὰ τὰ ἀσύνδετα σχήματα κατὰ διαμέτρους ἢ τριγώνους ἢ τετραγώνους ἀκτινοβολίας καὶ μαρτυρίας ἐφορῶσα καὶ ἐφορᾶται. Εἴτε γὰρ φήμη τις ἢ ἄκουσμα ἢ κίνησις ἁπλῶς παντὸς πράγματος πόλει ἢ χώρᾳ ἢ τοῖς καθ’ ἕκαστον ἀνθρώποις γένηται ἢ περὶ γραμμάτων ἢ ἐντολῶν ἢ μαντειῶν ἢ ὀνείρων πονηρῶν καὶ τὸ ἀληθὲς ἐπιζητοίη τις, φάσιν μὲν ποιουμένης τῆς Σελήνης ἀληθῆ ταῦτα καὶ βέβαια εὑρεθήσεται, καὶ μάλιστα τοῦ τοῦ Ἑρμοῦ συμπαρόντος ἢ μαρτυροῦντος αὐτῇ. καὶ ἐὰν ἀπῶσιν οἱ κακοποιοὶ δηλοῦσιν ἐπ’ ἀγαθῷ τὸ πρᾶγμα, ἐὰν δὲ ἔμπαλιν οὐκ ἀγαθόν, ἐὰν δὲ ἀνακεκραμένοι τύχωσιν ὁμοίως ἀναμεμιγμένως. ἐπὰν δὲ ὁ τοῦ Ἑρμοῦ μετὰ τοῦ τοῦ Ἄρεως ἐπίδωσι τὴν Σελήνην μὴ ποιουμένην φάσιν ἀπατηλὰ καὶ δόλια καὶ πανοῦργα καὶ ἐπίβουλα σημαίνει τὰ πραττόμενα ἢ ἀγγελλόμενα, καὶ μάλιστα ὅταν ᾖ ἐν τοῖς τῶν ἀστέρων τούτων ζῳδίοις ἡ καταρχή.

242 Πρὸς τούτοις δὲ καὶ τῇ φύσει τῶν ζῳδίων προσέχειν χρή. αὐτίκα ὁ Σκορπίος ἐγγὺς ὢν τοῦ Ζυγοῦ πολὺ αὐτῷ διαλλάσσει· ὁ μὲν γὰρ Ζυγὸς πρὸς τὸ δίκαιον καὶ ἀγαθὸν νένευκεν, ὁ δὲ Σκορπίος πρὸς τὰ ἐναντία καὶ βλαπτικά. τῆς οὖν Σελήνης τὴν φάσιν ἐχούσης ἐν τῷ Ζυγῷ ὁ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποδρὰς ῥᾳδίως ἐπανήξει, ὁ δὲ τὴν ἄδικον δίκην εἰσάγων ἡττηθήσεται ὑπὸ τοῦ τὴν δικαίαν ἔχοντος, τὸ δὲ ἀπολωλὸς εὑρεθήσεται· καὶ λήψεις καὶ δόσεις καὶ κοινωνίας ποιεῖσθαι συνοίσει, δανείζειν τε καὶ δανείζεσθαι καὶ εὔχεσθαι καὶ αἰτεῖσθαι ἀμοιβὰς καὶ χάριτας, ἀσύμφορον δὲ καὶ οὐκ ἐπ’ ἀγαθῷ κλέπτειν, ἁρπάζειν, ἐπιορκεῖν, ψεύδεσθαι ἢ ὅλως ἄδικόν τι πράττειν. ἐν δὲ τῷ Σκορπίῳ τῆς Σελήνης γενομένης τοὐναντίον—ἄδικα καὶ βίαια τοῖς ἐγχειροῦσι συνοίσει, ἀσύμφορον δὲ καὶ γάμον συντελεῖν. Καλῶς δὲ κειμένης μεθ’ Ἑρμοῦ ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις καλὸν χρησμοὺς λαβεῖν, ὀνειροπολεῖσθαι, περὶ προγνώσεις ἔχειν, ἐν δὲ τοῖς αἰνιγματώδεσι καὶ ἀφώνοις, καὶ μάλιστα μετὰ Κρόνου, φαντασίας κατοιχομένων καὶ θηρίων ἢ δεσμωτῶν ἀποδείκνυται, τοῦ δὲ τοῦ Διὸς ὁρῶντος αὐτὴν διὰ προφητῶν ἢ βασιλέων ἢ ἱερῶν ζῴων ἢ ἐπισήμων ἀνδρῶν καὶ ἀληθευόντων, τοῦ δὲ τοῦ Ἄρεως διὰ τῶν οἰκείων ὅπλων καὶ στρατιῶν, σφαγῶν, ἁρπαγῶν καὶ δεισιδαιμονιῶν, τοῦ δὲ τῆς Ἀφροδίτης διὰ λίθων πολυτελῶν καὶ γυναικείων κόσμων καὶ προσώπων.

243 Οὔσης δὲ τῆς Σελήνης ἐν τοῖς καθύγροις ὑδραγώγια κατασκευάζειν καὶ φρεάτων ὀρυγὰς ποιεῖσθαι μαρτυροῦντος Κρόνου ἢ καὶ Ἑρμοῦ, τοῦ δὲ τοῦ Ἄρεως μετὰ τῆς Ἀφροδίτης παραληπτέον ἐπὶ τῶν βαλανείων καὶ πλοίων τίθεσθαι τρόπεις ἢ νεολκεῖν ἢ καθέλκειν εἰς θάλασσαν καὶ τὰ πλευστικὰ ἅρματα ὠνεῖσθαι. Τῆς Σελήνης οὔσης ἐν Τοξότῃ, Αἰγοκέρωτι, Ὑδροχόῳ, Ἰχθύσι, Καρκίνῳ, Ἀφροδίτης καὶ Ἑρμοῦ συμπαρόντων [ἢ μεσουρανούντων] ἢ ἐπιθεωρούντων, ἀπόντων τῶν κακοποιῶν, συνοίσει γῆν πρίασθαι, καὶ φυτεύειν ἐν Ταύρῳ καὶ Παρθένῳ, κήπους δὲ καὶ ἀμπελῶνας ἐν Καρκίνῳ καὶ Ἰχθύσι καὶ Ὑδροχόῳ, καὶ μάλιστα ἐν ἀνατολῇ οὔσης τῆς θεοῦ, ἐφορώντων Ἑρμοῦ καὶ Ἀφροδίτης. σώματα δὲ ἀγοράζειν καὶ πωλεῖν ἐν τοῖς ἀνθρωποειδέσιν οὔσης αὐτῆς μετὰ τῶν ἀγαθοποιῶν καὶ Ἑρμοῦ, καὶ ἀπέστωσαν δὲ οἱ κακοποιοί. ἐν δὲ τοῖς κτηνώδεσι καλὸν κτήνη καθιστᾶν (Κριῷ, Ταύρῳ, Λέοντι, Τοξότῃ), ἀγέλας δὲ Κριῷ, Αἰγοκέρωτι. ἐν δὲ Διδύμοις ἱπποτροφεῖν ἄμεινον, βοοτροφεῖν δὲ ἐν Καρκίνῳ καὶ Ταύρῳ. Σύμφορον δὲ γυναικὶ πρώτως ὁμιλεῖν ἐν Ζυγῷ οὔσης τῆς θεοῦ· προσφιλεῖς γὰρ καὶ ἡνωμέναι γίνονται. τοὐναντίον δὲ ἐν Σκορπίῳ, Τοξότῃ, Λέοντι· ταχὺ γὰρ διαλύονται. ξέναις καὶ ἀλλοτρίαις γυναιξὶ μίγνυσθαι ἐν Αἰγοκέρωτι καὶ Ὑδροχόῳ καὶ Ἰχθύσι· παραμένουσι γὰρ ἀβλαβῶς αἱ μίξεις, μάλιστα δὲ καὶ Σκορπίῳ.

244 Ἀσύμφορον δὲ χωρίζεσθαι εἰς ἑτέρους τόπους ἐν Τοξότῃ. ποιεῖσθαι δὲ χρὴ τὰς ἐξόδους τῆς θεοῦ οὔσης ἐν τοῖς χερσαίοις, ἐν δὲ τοῖς ἐνύγροις τὰς ἀναγωγὰς τοῦ πλοῦ, ἐν δὲ τοῖς ἀμφιβίοις, τουτέστι Καρκίνῳ καὶ Αἰγοκέρωτι, πρὸς ἀμφότερα χρηστέον. οὐδὲν δὲ κωλύει καὶ ἐν τοῖς ἀνθρωποειδέσι καὶ χερσαίοις χωρὶς τῶν κακοποιῶν ὁδοῦ ἢ πλοῦ κατάρχεσθαι. Ἐν δὲ τοῖς χερσαίοις καὶ στερεοῖς καθεστώσης αὐτῆς ὀρύσσειν χρὴ ὅσα κατὰ γῆν προσήκει—μέταλλα, θεμελίους, θησαυρούς—, μάλιστα δὲ Σκορπίῳ ἐπεὶ καὶ φωλεύει, οἰκοδομεῖν δὲ ἐν τοῖς αὐτοῖς ζῳδίοις πλὴν τῶν τροπικῶν. μνημεῖα καὶ τάφους κτίζειν χρὴ συσχηματιζομένου Κρόνου καὶ Ἑρμοῦ. Εὐχὰς δὲ θεοῖς ἀποδιδόναι ἐν τοῖς τροπικοῖς οὔσης καὶ ἐπὶ φάσεως ἀγαθῆς τῆς Σελήνης ὡς μᾶλλον ὑπακούειν. Παρακαταθήκας λαμβάνειν οὔσης ἐν τῷ Ὑδροχόῳ ἀσύμφορον καὶ ἀχαριστίας αἴτιον. Καὶ κτηνοτροφεῖν ἐν Ταύρῳ, καὶ ἐν Λέοντι ἵππους, Σκορπίῳ δὲ κύνας καὶ ὄνους. Εἰς διδασκαλίαν καὶ εἰς παλαίστραν συνιστάναι Διδύμοις καὶ Ζυγῷ καὶ Ὑδροχόῳ καὶ Παρθένῳ, καὶ παντὶ δὲ εἴδει μαντικῆς χρηστέον. Θηρεύειν δὲ ἐν τοῖς θηριώδεσι ζῳδίοις τὴν διὰ κυνῶν θήραν, ἐν δὲ τοῖς πτερωτοῖς τὰ πτηνά, ἁλιεύειν δὲ ἐν τοῖς καθύγροις. Κατατίθεσθαι δὲ χρήματα κατὰ γῆν συνοίσει ἐν Σκορπίῳ καὶ Λέοντι καὶ Παρθένῳ, καὶ ἐργαστήρια δὲ ἀνοίγειν καὶ βίον συλλέγειν καὶ ὅσα σταθμοῖς καὶ μέτροις χρῆται· ἄμεινον ἐν Ζυγῷ οὔσης τῆς θεοῦ κατὰ τάξιν δευτέραν, ἐν Καρκίνῳ κατὰ τρίτην. Ἐν Αἰγοκέρωτι ὀθόνια καὶ ἔρια εἰς μετάπρασιν ὠνεῖσθαι· ἄμεινον ἐν Κριῷ.

245

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγοράζειν δὲ Ἰχθύσι καὶ Ὑδροχόῳ πᾶν ἔνυδρον. Μετοικίζεσθαι δὲ καὶ μεταβαίνειν ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις, καὶ ἐν Καρκίνῳ δὲ ἄμεινον διὰ τὸ οἶκον αὐτῆς εἶναι. κοινωνίας δὲ πρὸς φίλους ποιεῖν ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις. Σώματα δὲ ἀγοράζειν ἐν μὲν τοῖς στερεοῖς παράμονα μὲν σημαίνει, αὐθάδη δέ, ἐν δὲ τοῖς ἀνθρωποειδέσιν ἐπιεικῆ καὶ ὑποτακτικά, ἐν δὲ τοῖς τροπικοῖς εἰς μετάπρασιν. Ὠνεῖσθαι δὲ σύγκοιτον ἤτοι παλλακὴν ἐν Παρθένῳ, Ζυγῷ, Τοξότῃ. τὰς δὲ τῶν γάμων συγγραφὰς ποιεῖσθαι Λέοντι, Παρθένῳ, Ζυγῷ, Ὑδροχόῳ, Ταύρῳ· παράμονοι γὰρ οὕτως ἔσονται αἱ συμβιώσεις, τοὐναντίον δὲ Τοξότῃ, Ἰχθύσι, Κριῷ. θᾶττον δὲ ὁ χωρισμὸς γίνεται ἐν Σκορπίῳ, καὶ μάλιστα ὅταν ἡ Σελήνη τὸ κέντρον αὐτοῦ διαπορεύηται, ἐὰν δὲ τῶν κακοποιῶν τις ἐπίδῃ ἀνυπερθέτως τὸ τοιοῦτον συμβήσεται. Ἀμπελῶνας δὲ καὶ κήπους ἐν Ἰχθύσι καὶ Καρκίνῳ καὶ Ὑδροχόῳ καὶ ἐν ταῖς ἐσχάταις τοῦ Αἰγοκέρωτος, σπείρειν δὲ ἐν Ταύρῳ καὶ Παρθένῳ, τρυγᾶν δὲ ἐν τοῖς καθύγροις Ἀφροδίτης καὶ Ἄρεως καὶ Ἑρμοῦ ὁρώντων. Παρατηρεῖν δὲ χρὴ ἐν ταῖς κτίσεσι κενοδρομοῦσαν τὴν Σελήνην, καὶ ἐν ταῖς ἄλλαις καταρχαῖς καὶ λειψίφωτα. Ἐν ταῖς μασθοδοσίαις τῶν βρεφῶν τὸν Κριὸν φυλάττεσθαι χρή· νόσων γὰρ καὶ λειπογαλαξίας αἴτιος ἔσται. ἐὰν δὲ ἐπὶ τῆς ἀποκυήσεως εὑρεθῇ ἡ Σελήνη φερομένη πρὸς τοὺς κακοποιοὺς χωρὶς τῶν ἀγαθοποιῶν κακῶς τὸ τικτόμενον ἀπόλλυται εἴσω ἡμερῶν ζ .

246 Ἐν δὲ ταῖς κρισίμοις τῶν νόσων ἐὰν εὑρεθῇ συνοῦσα τῷ Κρόνῳ λειψίφως θάνατον ὑπονοητέον, ἡ δὲ τοῦ θανάτου ποιότης προεγνωσμένη κατὰ τὴν γένεσιν. καὶ εἰ ἐπιταθῇ αὐτὴ τοῖς νοσοῦσι καταστοχαστέον τούτου. ὅταν δέ τις δοκῶν εὐημερεῖν καὶ ἐν ἀγαθῇ ἡμέρᾳ ἄρξηται νοσεῖν, ἐν δὲ τῇ κρισίμῳ ἡμέρᾳ μὴ ἀπαλλαγῇ ἀλλὰ παρολκὴν ἔχῃ, κινδυνῶδες καὶ τέλους ἐπακτικὸν τὸ τοιοῦτον νοείσθω, καὶ μάλιστα ὅταν οἰκοδεσπότου ἢ τοῦ ζῳδίου ἀναφορὰ συμπληρῶται, ὁμοίως δὲ ἐπὰν ᾖ ἡ Σελήνη καὶ πρὸς τοὺς ἀγαθοποιοὺς ἢ μοίρας αὐτῶν ἐν τῷ η′ ἢ ἐν τῷ ς′ τόπῳ (ἅπερ ἐστὶ τὸ μὲν θανατικόν, τὸ δὲ τοῦ σίνους) οὐ καλή. παρετηρήθη δὲ πολλάκις ἐπὶ τῶν πολυχρονίως καμνόντων ἢ καὶ αἱρουμένων τὸ ἀποθανεῖν τοῦ ζῆν διά τινας ὑπερβαλλούσας κακίας τῶν νόσων καὶ παθῶν ἢ καὶ ἑτέρας συμφορὰς πρὸς τοὺς ἀγαθοποιοὺς συνάπτουσα, ἢ καὶ τῶν ἀγαθοποιῶν καλῶς σχηματισθέντων ἐν τῇ παρόδῳ πρὸς τὴν γένεσιν τὰ τοιαῦτα τὴν ἀπαλλαγὴν τοῦ βίου ποιοῦνται. ὅταν δὲ ὁ τὸ σίνος σημαίνων ἀστὴρ εὑρεθῇ ἐν τῷ δυτικῷ κέντρῳ ἢ ἐν τῷ ὀγδόῳ (τουτέστι τῷ θανατικῷ τόπῳ) ἐξ ἐκείνου τοῦ πάθους τὴν τελευτὴν ἔσεσθαι ὁριστέον, ἐπὰν δὲ καὶ ὑπὸ ἀγαθοποιῶν μὴ θεωρῆται ὁ τοῦ σίνους καὶ τοῦ πάθους σημαντικὸς ἀστὴρ ἐξ ἐκείνου τοῦ πάθους ἡ τελευτὴ ἔσται. παρεφυλάχθη δὲ καὶ τοῦτο, ταῖς μὲν εὐτυχέσι καὶ ἐν ὑπεροχαῖς γενέσεσι τὰ κακὰ μέτρια γίνεσθαι ὥσπερ ἐπὶ πολὺ τὰ ἀγαθὰ ταῖς δυστυχέσιν.

247 Παρατηρητέον δὲ ἐπὶ τῶν καταρχῶν ὡς ἐπὶ γενέσεως καὶ τὰς ἐπεμβάσεις τῶν ἀστέρων. ἑνὸς δὲ ἑκάστου εἴδους καὶ πράγματος κατὰ τὴν καταρχὴν τοὺς δοτῆρας καὶ κυρίους ἐφορατέον συσχηματιζομένους τῇ Σελήνῃ ὅπως συμφώνως καὶ τελείως ἕκαστον τῶν πραττομένων ἀποβῇ. ὅταν γὰρ ζητῶμεν περὶ ἐγγαίων ἢ ἐπιτροπῆς ἢ κληρονομιῶν Κρόνον καλῶς κείμενον παραλαμβάνομεν, περὶ βασιλειῶν δὲ καὶ ἡγεμονιῶν δηλονότι Δία, καὶ πολεμικῶν Ἄρεα, ἐρωτικῶν δὲ Ἀφροδίτην, φιλιῶν καὶ πραγματειῶν Ἑρμῆν ἀκάκωτον. ἰστέον δὲ ὅτι ὅταν συνῇ τῷ Ἡλίῳ ὁ τοῦ Ἑρμοῦ ἐμφανῆ τὰ λαθραίως πραττόμενα καθίστησιν. Λεπτομερέστερον δὲ καὶ οἱ ἀρχαῖοι ἀνέγραψαν περὶ τῶν τῆς Σελήνης μόνης ἐπεμβάσεων ἃ καὶ αὐτὰ παρατιθέμεθα. ἐν Κριῷ αὐτῆς οὔσης ὑπὲρ γῆν μετὰ μοίρας θ ἐπιτήδειον εἰς ἀποδημίαν καὶ ἀγορασίας εὐσχήμονας ποιεῖσθαι, ἀγρούς τε γεωργεῖν καὶ κουρὰν τετραπόδων καὶ θεμελίων ἀρχὰς καὶ συνθήκας καὶ δανείσματα καὶ ἱστουργίας, ἁρμόζει δὲ καὶ ταῖς φθείρειν προειρημέναις, ἐν δὲ τῇ δευτέρᾳ πεντεκαιδεκαμοιρίᾳ τοῖς κατὰ τὴν ἔω ἐξουσίαν καὶ ἀρχὴν παραλαμβάνουσιν αἴσιον, ἀνάρμοστον γάμον ποιεῖν καὶ πατρῴων κτημάτων παραλήψεις ποιεῖσθαι ἐπιζήμιον. ἐν δὲ τῷ Ταύρῳ περὶ τὴν πρώτην πεντεκαιδεκαμοιρίαν αἴσιον ὁδοιπορεῖν, γεωργεῖν, σπείρειν, φυτεύειν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὠνεῖσθαι δούλους, τετράποδα, οἰκοδομάς τε καὶ φρέατα ἐργάζεσθαι, ἀγαθόν τε ἱδρύειν βωμοὺς τε καὶ ἱερά, ἀρχάς τε καὶ ἐξουσίας λαβεῖν περὶ τὰ νότια κλίματα, ἐν δὲ τῇ ἄλλῃ πεντεκαιδεκαμοιρίᾳ οὔσης αὐτῆς ταῖς ἐκτιτρωσκούσαις σύμφορον, ἀβέβαιόν τε καὶ γαμεῖν καὶ τέκνα τρέφειν (τὰ γὰρ τέκνα ἐν πλάνῃ καὶ κακοπαθείᾳ ἔσται), καὶ τὸ μισθοῦσθαί τι ζημιῶδες.

248 τῶν δὲ Διδύμων ἕως τοῦ ἡμίσεως ἀποτρεπτέον πράγματος κατάρχεσθαι, κατὰ δὲ τὸ ἄλλο ἥμισυ πράσσειν συνοίσει καὶ γαμεῖν καὶ τέκνα τρέφειν, ὠνεῖσθαί τε οἰκίας καὶ ἀγρούς, ὅρκους καὶ πίστεις ποεῖσθαι, ἐπί τε παλαιοῖς καὶ τεθεμελιωμένοις οἰκοδομεῖν καὶ γεωργεῖν καὶ φυτεύειν, τέχνας παραδοῦναι μαθηταῖς, παρακαταθήκας γῇ τιθέναι, διοικητὰς καθιστᾶν, ἀρχὴν ὑποδέχεσθαι καὶ ἐπίταγμα ἀνύειν, ἐπικίνδυνον δὲ ἐκτιτρώσκειν, ἔχθρας κατασκευάζειν, πλεῖν ἢ τόπων ἀναχωρεῖν ἢ προσώπων. ἐν Καρκίνῳ κατὰ τὸ πρῶτον ἥμισυ αἴσιον γαμεῖν, τέκνα τρέφειν, συνωνεῖσθαι, καὶ μάλιστα δι' ὑγρῶν πλεῖν ἀσφαλές, βραδυτῆτα ἔχον, ἐν δὲ τῷ ἄλλῳ ἡμίσει ἐχθροῖς ἐπιτίθεσθαι, δολοποιεῖν, ἁλιεύειν, κηπουρεῖν, φυτεύειν, σπείρειν, μέταλλα ὀρύττειν, ποταμοὺς καὶ φρέατα καὶ κολυμβήθρας διορύσσειν, παρακαταθήκας γῇ διδόναι, χρέα λαμβάνειν ἢ διδόναι, παραφυλάσσεσθαι δὲ τὰς ἀπὸ ξηρῶν ἐργασίας συνισταμένας, ἄρρενα δὲ σώματα πρίασθαι, ἔχθρας δὲ ἀποφυγεῖν καὶ μάχας (ἀδιάλυτοι γὰρ ἔσονται). ἐν δὲ Λέοντι ἀπὸ τῆς ι′ μοίρας τετράποδα πάντα καὶ μάλιστα τὰ μείζονα συνωνεῖσθαι καὶ διοικεῖν καλὸν καὶ ἐπιβάλλεσθαι ἀρχαῖς καὶ ἐξουσίαις καὶ δανείζεσθαι, ἐπιβλαβὲς δὲ ὁδοῦ ἄρξασθαι ἢ πλοῦ, οἰκέτας παραφυλάσσεσθαι καὶ ἐχθρῶν ἐπιθέσεις (τὰ δὲ ἀπωλόμενα δυσανακόμιστα ἔσται), γαμεῖν οὐκ αἴσιον οὐδὲ γυναικὶ ἐκτιτρώσκειν. ἐν δὲ τῇ Παρθένῳ κάλλιστον σῖτον, χρυσόν, ἀργύριον, ἱμάτια, σώματα καὶ ὅσα πρὸς κόσμον χρήσιμα ἀγοράζειν, οἰκοδομάς τε ποιεῖσθαι παντοίας, καινοῖς τε χρῆσθαι σκεύεσι καὶ ἱματίοις, μετάλλων τε ἐνάρχεσθαι καὶ φυτεύειν καὶ σπείρειν καὶ γεωργεῖν πλὴν ἀμπέλου, γαμεῖν τε ἀπὸ χηρείας (αἱ γὰρ παρθένοι ἀσύμφοροι), καὶ τὸ μετοικίζεσθαι δὲ καὶ μισθοῦσθαι καὶ δανείζεσθαι καὶ ἐκτιτρώσκειν, πατρῷα λαμβάνειν, πλοῦ τ' ἐνάρχεσθαι, οἶνόν τε καὶ ἔλαιον διοικεῖν οὐ συνοίσει, ἱστουργεῖν τε καὶ τίκτειν σύμφορον.

249 ἐν δὲ Ζυγῷ πάντα ἐκ δικαίου καὶ ἀγοράζειν καὶ πωλεῖν καὶ ὅσα διὰ μέτρων καὶ σταθμῶν, χρέος τε λαμβάνειν, ὁδεύειν, ἀρχήν τε καὶ ἐξουσίαν λαμβάνειν καὶ μάλιστα τῶν πρὸς βορρᾶν τόπων, θεμελίους τιθέναι οἰκοδομῆς ἄνευ τοῦ στεγάζειν, ποταμοὺς διαιρεῖν, φρέατα ὀρύσσειν καὶ ἱστουργεῖν καὶ γαμεῖν καὶ φιλίας καὶ ἱλαρίας μετέχειν, ἐναντία δὲ ἀγοράζειν, οἰκίας ἢ χώρας μισθοῦσθαι ἢ μετοικίζεσθαι (ὅσα τε ἀπὸ ξηρῶν συνέστηκεν ἀνάρμοστον), ἐκτιτρώσκειν δὲ ἐπικίνδυνον καὶ ταῖς αὐτομάτως τοῦτο παθούσαις. ἐν δὲ τῷ Σκορπίῳ χρήσιμον ὁδοιπορεῖν, πλεῖν, ἐν δὲ ταῖς ἀγορασίαις καὶ πράσεσιν ἐπιβουλεύειν, ἐχθροῖς ἐπιτίθεσθαι, πύλας καθιστᾶν, ἱερὰ ἱδρύειν καὶ βωμούς, ἐπὶ παλαιοῖς οἰκοδομεῖν, ἀγεώργητον χώραν γεωργεῖν, φρέατα ὀρύσσειν καὶ μεταμπελεύειν καὶ παρακατα〈θήκασ〉 τίθεσθαι γῇ, τόπους τε διαιρεῖν, τῶν δὲ σκευῶν ἀπὸ τῶν καινῶν χρῆσιν ποιεῖσθαι, ὕδωρ τε ἄγειν καὶ ποταμούς. ἅπαντα δὲ ταῦτα περὶ τὴν πρώτην πεντεκαιδεκαμοιρίαν συνοίσει, ἄχρηστα δὲ ταῦτα περὶ τὴν δευτέραν· γάμος ἐὰν γένηται ἡ νύμφη δούλοις μιχθήσεται, ἀσύμφορον δὲ κοινωνίας ποιεῖν καὶ ἰατρὸν κάμνοντι ἐπεισάγειν, καὶ ἐκτιτρώσκειν ἐπισφαλές.

250 ἐν δὲ τῷ Τοξότῃ ἁρμόζει πλεῖν ἐπὶ τὰ οἰκεῖα, εἴς τε ἱπποτροφεῖα καὶ βουκόλια καὶ κτηνοτροφεῖα ἐπωφελές, κιχρᾶσθαί τε ἀλλότρια καὶ δανείζεσθαι καὶ τὰ ἐκτὸς ὄντα εἰς τὴν οἰκίαν ἀπολαβεῖν, ἐχθροῖς τε ἐπιτίθεσθαι ἐνεργές, πατρῷά τε ἀπολαμβάνειν καὶ ἀλλότρια, οἰκοδομεῖν καὶ θεμελίους τιθέναι καὶ κύνας ἀγοράζειν καὶ ἁλιεύειν καὶ κυνηγεῖν καὶ ἱστουργεῖν, ἐπιβλαβὲς δὲ πιστεύεσθαι, δανείζειν καὶ κιχρᾶν, ἀποδημεῖν, ὁδοῦ ἐνάρχεσθαι (χρόνιος δὲ ἔσται ἡ ὁδός), οὐ συμφέρει δὲ ἰατρὸν εἰσάγειν οὔτε φάρμακον οὔτε καθαίρεσθαι οὔτε ἐκτιτρώσκειν. ἐν δὲ Αἰγοκέρωτι ἁρμόζει θρέμματα συνωνεῖσθαι καὶ πιπράσκειν καὶ ἐμπορεύεσθαι καὶ πλεῖν καὶ πετεινὰ ὠνεῖσθαι καὶ θηρᾶν καὶ φρέατα ὀρύσσειν καὶ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐμπεφραγμένα διανοίγειν καὶ τοίχους ἀνεγείρειν, τῶν τε κατὰ τὴν οἰκίαν ἐνάρχεσθαι καλόν, φιλίᾳ τε κοινωνεῖν καὶ ἐξ ἀποδημίας εἰς τὰ οἰκεῖα ἐπανέρχεσθαι κατά τε γῆν καὶ θάλασσαν, τέχνην τε διδάσκειν καὶ μουσικά, κοινοῖς τε ἀφροδισίοις χρῆσθαι καὶ ἱστουργεῖν, ἐπικίνδυνόν τε ταῖς ἐκτιτρωσκούσαις, καὶ ὁδοῦ ἐνάρχεσθαι ἐπισφαλές. ἐν δὲ τῷ Ὑδροχόῳ πλοῦ καὶ ὁδοιπορίας 〈ἐνάρχεσθαι〉 καὶ ὅσα δι' ὑγρῶν καὶ σταθμῶν συνωνεῖσθαι, οἰκοδομεῖν καὶ κοσμεῖν οἰκίας καὶ τὰ ἐμπεφραγμένα ἀνοίγειν, κοινοῖς 〈ἀφροδισίοισ〉 χρῆσθαι, γεωργεῖν, φυτεύειν, σπείρειν, ὀρύσσειν φρέατα καὶ ποταμοὺς καὶ κολυμβήθρας καὶ ὅσα ἐν γῇ κατετέθη, ἱστουργεῖν, ἀκίνδυνόν τε ταῖς ἐκτιτρωσκούσαις· ὀμνύναι ἢ πράσσειν τι ἄδικον οὐκ ἐπιτήδειον, ὁρκίζειν δὲ καὶ πᾶν ὅπερ ἐκ τοῦ δικαίου ἔρχεται πράττειν ἀκώλυτον.

251 ἐν δὲ τοῖς Ἰχθύσιν οὔσης τῆς Σελήνης καὶ πλοῦ κατάρχεσθαι καὶ ὁδοῦ καὶ συνωνεῖσθαι καὶ ἐκπορεύεσθαι κατά τε γῆν καὶ θάλατταν καὶ ὅσα ἐξ ὑγρῶν καὶ μάλιστα ὅσα ἐκ θαλασσίας παρασκευῆς παιδὶ ἑκάστῳ κτᾶσθαι καὶ τὰ πρὸς ἁλείαν καὶ θήραν καὶ στρατείαν ἑτοιμάζεσθαι, ἐπιτίθεσθαί τε καὶ μάχεσθαι καὶ ἰξεύειν καὶ κοινωνίας κατάρχεσθαι καὶ φιλίας, γάμων τε καὶ ὅσα πρὸς ἰσότητα συμφέρει εἰ καὶ ἡ γαμηθεῖσα λοίδορός τις καὶ λάγνη καὶ μοιχάς, φυλάσσεσθαι δὲ δεῖ οἰκοδομεῖν. τὰ δὲ προειρημένα πάντα ἐνεργέστερα γίνεται πρός τε ὠφέλειαν ἢ κάκωσιν ἀπὸ τῆς κοινωνίας τῶν ἄλλων ἀστέρων· οὐ γὰρ μόνον χρὴ τὴν τοπικὴν στάσιν τῆς Σελήνης διακρίνειν, ἀλλὰ καὶ τὰς μαρτυρίας Ἡλίου τε καὶ τῶν πέντε ἀστέρων. 〈ϛʹ〉 Περὶ ἀπράκτων καὶ ἐμπράκτων ἡμερῶν Ἔμπρακτοι δὲ ἡμέραι νοοῦνται ὅταν γένηται ἡ Σελήνη ἐν τῷ κατὰ γένεσιν ζῳδίῳ ἢ κατὰ τρίγωνον αὐτοῦ σὺν ἀγαθοποιοῖς ἢ καὶ ἐν παντὶ ζῳδίῳ μετὰ τῶν ἀγαθοποιῶν ἀπόντων φθοροποιῶν πλὴν πανσελήνου καὶ συνόδου, καὶ ὧραι δὲ ἔμπρακτοι γίνονται ὁπόταν ὡροσκοπῇ τὸ τῆς γενέσεως ζῴδιον ἢ καὶ κατὰ τρίγωνον σχηματίζηται ἢ καὶ συναναφέρηται τῷ ὡροσκόπῳ τῆς Σελήνης μηδενὶ τῶν κακοποιῶν συσχηματιζομένης.

252 ἄπρακτοι δὲ ἡμέραι καὶ κακαὶ ὅταν ἡ Σελήνη ἐν τετραγώνῳ ζῳδίῳ τῆς γενέσεως γένηται ἢ ἐν τῷ ἀντικειμένῳ σὺν τοῖς φθοροποιοῖς ἢ κατὰ τὴν πανσέληνον ἢ σύνοδον ἢ καί τις τῶν κακοποιῶν ὡροσκοπήσῃ ἢ ἐπίδῃ τὴν πανσέληνον ἢ τὴν σύνοδον ἀπόντων τῶν ἀγαθοποιῶν· Ἑρμῆς γὰρ κοινὸς ὢν συνανακίρναται οἷς ἂν συγγένηται. Προσεκτέον τοίνυν ἐπιμελῶς τῇ τε Σελήνῃ καὶ τῷ ὡροσκόπῳ καὶ τῷ κλήρῳ τῆς τύχης καὶ τοῖς λοιποῖς κέντροις ἅτε τὴν ἡγεμονίαν καὶ τὴν ἀκρίβειαν τῆς πεύσεως τοῦ πράγματος κεκληρωμένοις, παραφυλάσσοντας τὴν Σελήνην ἀπὸ συνόδου ἕως πανσελήνου εἰ ἐν χρηματιστικοῖς τόποις εὑρίσκοιτο ἢ δεσπόζῃ τοῦ κλήρου ἢ ἐπ' αὐτοῦ τύχῃ ἢ καὶ ὁ τὴν οἰκοδεσποτίαν αὐτῆς κεκληρωμένος συνῇ τῷ τὴν κυρίαν τοῦ κλήρου ἔχοντι ἢ ἀνταμείψωνται τὰ ζῴδια. τούτων γὰρ οὕτως ἐχόντων ἀπρόσθετοι καὶ ἄσκεπτοι γίνονται αἱ ἀγορασίαι καὶ οἱ γάμοι, αἰφνίδιοί τε αἱ κινήσεις καὶ αἱ δίκαι καὶ αἱ περιστάσεις ἀνέλπιστοι. ἀπὸ πανσελήνου τρεχούσης (τουτέστιν ἀφαιρούσης) παρολκὴν τοῖς γιγνομένοις ἀποδείκνυσι καὶ μῆκος χρόνου. προσεκτέον δὲ καὶ ταῖς ἄλλαις φάσεσιν αὐτῆς καὶ τοῖς ἄλλοις ἄστροις σκοποῦντας μὴ πάντοτε τοὺς ἀγαθοποιοὺς ἀγαθῶν εἶναι ποιητικοὺς μηδ' αὖ τοὺς κακοποιοὺς ἐν τοῖς ἰδίοις οἴκοις καθεστῶτας ἢ ὁρίοις ἢ τριγώνοις ἢ ὑψώμασι καὶ ἐπὶ δορυφορίας φανέντας κατὰ τὴν ἑαυτῶν αἵρεσιν (τουτέστιν ἐπὶ τῆς ἑῴας ἀνατολῆς πρὸς Ἥλιον, ἐπὶ δὲ ἑσπερίας ἀνατολῆς τῆς νυκτὸς πρὸς Σελήνην)· ἀνοικείως γὰρ φανέντες καὶ τῆς αἱρέσεως ἀπηλλοτριωμένοι ἢ ἐπαναφερόμενοι ἀπροκοπίας καὶ κακῶν αἴτιοι.

253 Ἰστέον δὲ ὅτι καὶ πάσης τέχνης καὶ ἐπιστήμης τὸ καθόλου εἶδος ἔστιν εἰδέναι δοθείσης τῆς κατὰ τὴν ἐνέργειαν καταρχῆς οἷον ἐπὶ σπλαγχνοσκοπίας. Σελήνη περιγειοτάτη οὖσα τῶν ἄλλων οὐρανίων τὰ τῇδε ταχύτητι μεταβάλλει τυχοῦσα ἐπὶ φάσεως μετὰ Ἑρμοῦ ἐν τῷ καιρῷ τῆς τοῦ ζῴου ἀναπτύξεως. διατυποῖ δὲ τὰ ἐντὸς τῶν σπλάγχνων ἄλλοτε ἄλλως καὶ πρὸς τὴν τῶν ἀστέρων αὐτῇ συνανακιρναμένην φύσιν. εἰς μὲν εὔχροιαν καὶ εὐεξίαν τρέπει ὅταν προστιθῇ τοῖς ἀριθμοῖς καὶ τοῖς φωσὶ καὶ συνῇ ἀγαθοποιοῖς, εἰς δὲ πελιδνότητα καὶ ὠχρότητα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἐξυδατώμενα καὶ ἀμάντευτα ὅταν λειψίφως οὖσα τύχῃ μετὰ Κρόνου, ἐὰν δὲ Ἄρης αὐτῇ συνῇ πληρουμένῃ ποιεῖ καὶ ξανθὰ σημεῖα καὶ δι’ αἱμάτων καὶ ὁμοίως ὅλον τὸ σπλάγχνον εὔκρατον· ἐπὰν Κρόνῳ μὲν πλήθουσα, Ἄρει δὲ λείπουσα συνάπτῃ ὑπὲρ γῆν, καλὰ καὶ αἴσια καὶ μαντικὰ καὶ εὔσημα, τοὐναντίον δὲ ὅταν ὑπὸ γῆν ᾖ, καὶ μάλιστα μετὰ τῶν κακοποιῶν. Ἀποδείκνυσι δὲ ἕκαστα πρὸ τῆς ἀναπτύξεως τοῦ ζῴου διατεθεῖσα ἡ καταρχή, καὶ μηνύουσιν ὁ μὲν ὡροσκόπος τὸν θύοντα, τὸ δὲ δῦνον τὸ θυόμενον ἢ τὸ ἱερεῖον, τὸ δὲ μεσουράνημα τὸν θεὸν ἢ τοὺς θεούς, τὸ δὲ ὑπόγειον τὴν τῆς ἑστίας αἰτίαν καὶ τὴν ἔκβασιν τοῦ πράγματος καὶ δι’ ὃ θύεται· τούς τε ἀστέρας ἐπιθεωρητέον ἐν οἷς γέ εἰσι τόποις καὶ τάξει καὶ φάσει καὶ τοὺς τέσσαρας κλήρους— τύχης, δαίμονος, ἀνάγκης, ἔρωτος.

254 τὸ δὲ δεξιὸν μέρος τοῦ σπλάγχνου προσεῴκει τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ, τὸ δὲ εὐώνυμον τῷ ὑπὸ γῆν, καὶ οἱ πλανῆται δὲ ἑῷοι μὲν ὄντες ἐν τοῖς δεξιοῖς σημαίνουσιν, ἑσπέριοι δὲ ἐν τοῖς λαιοῖς, καὶ ἡ Σελήνη δὲ ἐν τῷ βορείῳ ἡμισφαιρίῳ τὰ δεξιά· ἀνερχομένη γὰρ τὰ βόρεια σημαίνει ἕως τῆς καταβάσεως, τὰ δὲ λαιὰ κατιοῦσα νότον ἕως τῆς ἀναβάσεως. καὶ ἐπὰν δὲ εὕρῃς 〈τινὰ〉 τῶν ἀστέρων τὸν αὐτὸν ἄνεμον τρέχοντα συνάπτοντα τῇ Σελήνῃ, κατὰ τὴν ποιότητα αὐτοῦ καὶ τὴν δύναμιν τὸ μέρος ἐκείνου τοῦ σπλάγχνου ἐξομοιώσας προαγορεύεις. Διῄρηται δὲ τὰ μέρη τοῦ ἥπατος εἴς τε τοὺς ἀστέρας καὶ τὸν ζῳδιακὸν κύκλον οὕτως. Ἡλίῳ μὲν γὰρ διοίσει τὰ τῆς καρδίας, τὰ ἀπὸ τῆς καρδίας ἕως τοῦ κόλπου καὶ δεξιοῦ ὤμου καὶ δεξιᾶς δοχῆς καὶ κοτυλίδων ἢ διδύμων, τῇ δὲ Σελήνῃ ὁ χιτὼν τῆς καρδίας καὶ ὁ λαιὸς ὦμος καὶ ἡ λαιὰ δοχή (ἐπὰν δὲ ἡ θεὸς εὑρεθῇ πλήθουσα ἢ μειουμένη τοιούτῳ τρόπῳ εὑρίσκεται ἥ τε δοχὴ καὶ ὁ σπλήν), Κρόνῳ δὲ αἱ μηριαῖαι φλέβες αἱ περὶ τὴν ῥίζαν εἰλύμεναι τήν τε λαιὰν τράπεζαν καὶ τὸν λαιὸν ἀντίθετον (αὐτὴ δὲ ἡ τράπεζα ἡ τῆς καρδίας), τῷ δὲ Διὶ ἡ κύστεως χώρα καὶ ἡ δεξιὰ κεφαλή, Ἄρει δὲ τὸ ὀφρύωμα καὶ ἡ δεξιὰ δρεπάνη, ἣν καὶ ἔρυμα καὶ μάχαιραν καλοῦσιν, καὶ τῶν πυλῶν τὰ δεξιὰ καὶ λαιὰ μέρη, τῇ δὲ Ἀφροδίτῃ ἡ κεφαλὴ καὶ αἱ ᾦαι τοῦ ἥπατος καὶ ὁ πνεύμων, Ἑρμῇ δὲ τὰ ὦτα ἀμφότερα τῆς καρδίας καὶ αἱ χεῖρες καὶ τὸ στόμα τοῦ ἥπατος καὶ ἀμφοτέρων τῶν κοινῶν χωρῶν τῶν καλουμένων κελεύθων τῶν οὐσῶν ἐγγὺς ταῖς πύλαις.

255 κατὰ δὲ τὸν ζῳδιακὸν ἀρξάμενον ἀπὸ τοῦ στόματος τῆς καρδίας ἕως τῆς δεξιᾶς κεφαλῆς ἀφοριστέον τῷ Κριῷ, τῷ δὲ Ταύρῳ τὴν τράπεζαν καὶ τὰ μεταξὺ αὐτῆς, ὦμον δεξιὸν Διδύμοις, ἀπὸ δὲ θεοῦ τόπου ἕως ἑστίας Καρκίνῳ, Λέοντι δὲ ἡ ὀξεῖα μάχαιρα καὶ σκέλος καὶ πούς, Παρθένῳ δὲ ἡ χολὴ καὶ τὰ παρ’ ἑκάτερα, τῷ δὲ Ζυγῷ δεξιὰ πύλη, 〈τῷ δὲ Σκορπίῳ ...〉, Τοξότῃ δὲ λαιὸς ποὺς καὶ σκέλος, Αἰγοκέρωτι δὲ λαιὰ τράπεζα καὶ τὸ κοῖλον τῆς τραπέζης ἕως μηροῦ καὶ κοτύλης, Ὑδροχόῳ δὲ ὦμος εὐώνυμος, τοῖς δὲ Ἰχθύσιν ἡ κεφαλὴ κατὰ τὸ μέρος τὸ λαιὸν καὶ κύστις. τοσαῦτα μὲν περὶ ἥπατος παρὰ τῶν ἀρχαίων ἐξετέθη, ἐπεξεύροι δ’ ἄν τις νοῦν ἔχων καὶ πλείονα ἐκ τῶν προειρημένων. 〈ζ′〉 Περὶ κτίσεων καὶ οἰκοδομιῶν καὶ καθιδρύσεων Ἐὰν δὲ βουληθῇ τις εὐδαίμονα πόλιν κτίσαι καὶ παράμονον, ὁμοίως τε ναῶν καὶ οἴκων καὶ τειχῶν οἰκοδομίας καταβαλέσθαι, ἐπιτηρείτω τὴν Σελήνην ἐν τῷ βασιλικῷ τριγώνῳ παροδεύουσαν κατὰ τὸν καιρὸν καὶ τὴν καταρχὴν τῆς περιγραφῆς ἤτοι θεμελιώσεως καὶ ὑπὸ πάντων τῶν ἀστέρων καλῶς μαρτυρουμένην· οὕτω γὰρ τυχοῦσα ὑπὸ μεγίστων βασιλέων ἤτοι ἀρχόντων τὸ κτίσμα καὶ τὴν τούτου ἐπιμέλειαν καὶ φροντίδα ἔσεσθαι μηνύει καὶ ἐνδιαίτημα βασιλέων καὶ θεοῖς προσφιλές, ἐπίσημόν τε καὶ ἔνδοξον καὶ πολυχρόνιον.

256 εἰ τύχῃ δὲ ἀπολειπόμενός τις τῶν ἀστέρων τῆς προσφόρου μαρτυρίας τὸ ἐνδεὲς περὶ τὴν πόλιν ἐσόμενον ἐντεῦθεν συνορασθήσεται· τοῦ μὲν γὰρ Ἄρεως ἀποκεκλικότος καὶ ἀποστρόφου τυγχάνοντος τῇ καταρχῇ ἐνδεὴς ἔσται ὅπλων καὶ ἀσθενήσει περὶ τὰ πολεμικά, τῆς δὲ Ἀφροδίτης ὁμοίως ἀσυνδέτου τυχούσης χαρίτων καὶ τρυφῆς καὶ ἀστειότητος ἐκτὸς ἔσται καὶ τοῦ φιλεῖσθαι, εἰ δὲ ἀπὸ Διὸς ἀθεώρητος ἡ καταρχὴ γένηται εὐεπηρέαστος ἔσται, οὐδεμιᾶς φροντίδος ἢ κηδεμονίας μετέχουσα, τοῦ δὲ Ἑρμοῦ ἀσυσχηματίστου ὄντος οὐ φρόνησις, οὐ

λόγων ἄσκησις ἐν αὐτῇ ἔσται. Εἰ δὲ συμβαίη ἐναντιοῦσθαι τὸν τοῦ Ἄρεως ἢ τὸν τοῦ Διὸς τοῖς φωστῆρσι (τουτέστιν Ἡλίῳ καὶ Σελήνῃ) καὶ πολέμων πειραθήσεται ἡ πόλις, καὶ μάλιστα ὅταν κατὰ τῶν τετραγώνων παραγένηται ἡ Σελήνη κατὰ τὸν τοῦ διαστήματος πρὸς ἀναφορὰν χρόνον (τουτέστι τοῦ ζῳδιακοῦ μοίρας ϙ ), συμβαίνει δὲ μὴ πάντας τοὺς ἐνοικοῦντας θανάτῳ ἢ λαφυραγωγίᾳ καὶ δουλείᾳ ὑποπίπτειν τῷ μὴ πάντα τὰ κατασκευάσματα αὐτῆς καὶ τὴν κτίσιν ὑπὸ μίαν καιροῦ ῥοπὴν τὴν καταρχὴν λαμβάνειν. ὥσπερ δὲ ἐπὶ τῶν γενέσεων ἡ τετράγωνος πλευρὰ τὸ τέλος τῆς ζωῆς ἐπιτίθησιν, τότε περ εἴωθε συμπληροῦσθαι τὰ χρονικὰ καὶ ἀπόλλυσθαι παντελῶς ἡ κατασκευασθεῖσα πόλις ὁπηνίκα σύμπαντες οἱ κακοποιοὶ κατὰ τὸ τετράγωνον τῆς Σελήνης βιαιότερον τὰς ἀκτῖνας ἐπιφέρωσιν· συμβαίνει γὰρ οὕτως ἐπαύξεσθαι τὰ τῆς συμφορᾶς κατὰ δύο τρόπους συμπίπτοντα, ἔκ τε τῆς κακώσεως τοῦ τετραγώνου καὶ τῆς κατὰ πῆξιν τῆς Σελήνης στάσεως.

257 τὰ δὲ αὐτὰ ἀποτελεσθείη καὶ τῶν ρπ μοιρῶν τῆς ἀναφορᾶς πληρουμένης ἢ καὶ ἕως ἑτέρου τετραγώνου ἢ συμπληρουμένου παντὸς τοῦ κύκλου, εἰ δὲ καὶ ἀκάκωτα τύχῃ τὰ τετράγωνα ὑπὸ τῆς τῶν κακοποιῶν παρόδου καὶ δευτέρου κύκλου καὶ τρίτου ἐφάψεται μερικῶς τὰ συμπτώματα τῶν κακῶν ὑπομένουσα. Ἔστι δὲ καὶ ἑτέρα κάκωσις ὁπόταν ἔκλειψιν ὑπόγειον ἡ Σελήνη τύχῃ πεποιημένη τῆς καταρχῆς καὶ τῆς κατασκευῆς ἐν τῷ μεταξὺ τῆς ἐπιούσης συνόδου γεγενημένης καὶ τῆς Σελήνης κατὰ τοῦτον τὸν χρόνον 〈πρὸς τοὺς κακοποιοὺς σχηματιζομένης ἢ κατὰ τὸν χρόνον〉 τῆς πανσελήνου. συμβαίνει γὰρ κατὰ τὴν τοιαύτην καταρχὴν σεισμοῖς ἀπόλλυσθαι, συνεχέστερον δὲ τὰς οὕτω γιγνομένας πόλεις βλάπτεσθαι· ἐπὶ μὲν τοῦ τοῦ Κριοῦ τριγώνου πυρώδους ὄντος ἀπὸ πυρός, ἐπὶ δὲ 〈τοῦ〉 τοῦ Ταύρου γεώδους ὄντος ὑπονοητέον τὰς ἀπὸ γῆς καὶ γεωργίας βλάβας ἢ ὠφελείας κατὰ τοὺς τῶν σχηματισμῶν ὅρους, ἐπὶ δὲ τοῦ τῶν Διδύμων τριγώνου ἀερώδους ὑπάρχοντος τὰς ἐξ ἀέρων ὠφελείας ἢ βλάβας, ἐπὶ δὲ τοῦ τοῦ Καρκίνου ὑδατώδους ὄντος τὰς ἐξ ὑγρῶν ὠφελείας ἢ βλάβας. καὶ οἱ κτίζοντες δὲ καὶ οἱ τὴν φροντίδα τῆς κατασκευῆς ἀνειληφότες κατὰ τὴν τῶν οἰκοδεσποτῶν φύσιν τῆς ἀξίας καὶ τῶν ἠθῶν μεθέξουσιν.

258 Δωρόθεος δὲ παραινεῖ ἐν τοῖς ἔπεσι περὶ οἰκοδομίας οὕτως· Ἡνίκα δ’ αὖτε θέμεθλα δομήιά τ’ ἔργα τελειοῖς προσθετικὴ φάεσιν καὶ τοῖς κατὰ μῆκος ἀριθμοῖς ἔστω τοι Κερόεσσα, τό τε πλάτος ἐμβαίνουσα ᾧ τε βορειότατον ζώνης πλινθήιόν ἐστιν, ἢ Διὸς ἢ Παφίης ἐ〈ν〉 σχήμασι μαρτυρεόντων ἢ καὶ συνεσσομένων· Φαίνων γε μένεσσιν ἐρύκει δερκόμενος, μαλερὴν δὲ περὶ φλόγα Θοῦρος ὀρίνει. καθαιρετέον δὲ τοὺς τοίχους ἀπὸ τοῦ βορεινοῦ ὕψους 〈Σελήνησ〉 κατερχομένης, ἀνενεκτέον δὲ λίθον ἀπὸ θεμελίων αὐτῆς οὔσης ἐν τοῖς χθαμαλωτάτοις μέρεσιν, τουτέστιν ἐν τῷ νοτίῳ πέρατι. 〈ἐν πᾶσι δὲ τούτοις οἱ μὲν κακοποιοὶ ἀπέστωσαν, οἱ δὲ ἀγαθοποιοὶ μαρτυρείτωσαν.〉 Ἐν δὲ τοῖς ναοῖς καθιδρυτέον τὰ ἀγάλματα σκευασθέντα τῷ προσφόρῳ εἴδει, ὁμοίως δὲ καὶ ὕλῃ, καθὼς οἱ σοφοὶ Αἰγύπτιοι καὶ οἱ λοιποὶ ἀρχαῖοι παραδεδώκασιν, Σελήνης πληθούσης ἐπὶ φάσεως· θεωδέστεραι γὰρ καὶ ἐμψυχοπεποιημέναι αἱ δυνάμεις αὐτῶν οὕτω τελεσθέντων ἐκ τῆς κοσμικῆς κινήσεως ἀποτελοῦνται. ἕκαστον δὲ τῶν ἱερῶν καὶ ἀγαλμάτων κατασκευάζειν καὶ ἱεροῦν σύμφορον ἐν τῷ τριγώνῳ τῷ τοῦ Διὸς τῆς Σελήνης οὔσης καὶ τοῦ Διὸς συμφώνου πρὸς αὐτὴν ὄντος, τουτέστιν ἐν τῷ αὐτῷ τριγώνῳ, καὶ Ἡλίου ὁμοίως ἐσχηματισμένου, τοῦ δὲ Κρόνου ὁμοίως τυγχάνοντος ἐν τῷ ἰδίῳ τριγώνῳ.

259 καὶ ἐπὶ τῶν λοιπῶν ἀστέρων οὕτω κατασκευαστέον τά τε ἱερὰ καὶ τὰ ἀγάλματα· ἔτι μὴν καὶ ὄντων αὐτῶν ἐν τοῖς ὑψώμασί τε καὶ οἴκοις κατασκευάζειν αἴσιον μηδενὸς τῶν κακούντων ἀστέρων ἐναντιουμένου. ἀφιεροῦν δὲ Τύχην χρὴ τῆς Σελήνης οὔσης ἐν τῷ ἰδίῳ τριγώνῳ καὶ τῆς Ἀφροδίτης, καὶ ἐν Αἰγοκέρωτι δὲ καὶ Καρκίνῳ εὔθετον, Μητέρα δὲ θεῶν ἐν Λέοντι καὶ Ταύρῳ καὶ Αἰγοκέρωτι, ἐν δὲ Παρθένῳ καὶ Ταύρῳ Δήμητρα καὶ Κόρην καὶ Πλοῦτον, Ὄσιριν δὲ Ἰχθύσιν, Ὑδροχόῳ, Ταύρῳ, Νίκην δὲ ἐν Παρθένῳ, Καρκίνῳ, τὸν δὲ Σάραπιν Ταύρῳ, Λέοντι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τοξότῃ, ἐν Τοξότῃ δὲ καὶ Ἰχθύσιν Ἀσκληπιὸν καὶ Ὑγίειαν, ἐν δὲ Παρθένῳ καὶ Αἰγοκέρωτι Διόνυσον, ἐν Διδύμοις καὶ Λέοντι Ἡρακλέα, Ἔρωτα δὲ καὶ Χάριτας ἐν τοῖς τῆς Ἀφροδίτης ζῳδίοις καὶ ὑψώματι, Νέμεσιν δὲ ἐν τοῖς τοῦ Κρόνου. καὶ ἐπὶ τῶν λοιπῶν θεῶν ὁμοίως δεῖ ποιεῖν τὰ ἀγάλματα ἢ τὰς εἰκόνας ἢ ἐκτυπώματα ἐπὶ σφραγίδων καὶ τελεῖν ἕκαστον καὶ ἀνανεοῦν προσφόρως ἐν τοῖς προλελεγμένοις ζῳδίοις τῆς Σελήνης οὔσης. Αἱ δὲ προσελεύσεις καὶ εὐχαὶ γιγνώσκονται οὕτως· ὁ μὲν ὡροσκόπος ἐστὶν ὁ εὐχόμενος, τὸ δὲ δῦνον τὸ θῦμα ὃ προσφέρει, τὸ δὲ μεσουράνημα ὁ θεός, τὸ δὲ ὑπὸ γῆν κέντρον σημαίνει εἰ ἐπήκοοι τῶν εὐχῶν εἶεν καὶ περὶ τοῦ πράγματος οὗ τις εὔχεται καὶ πυνθάνεται. 〈η′〉 Πῶς δεῖ ὁρκίζειν Μετέρχονται οἱ ὅρκοι τοὺς ἐπιόρκους ἐπὰν ἐπιορκήσῃ τις τῆς Σελήνης οὔσης ἐν Σκορπίῳ, τοῦ Ἄρεως συνόντος αὐτῇ ἢ ὁρῶντος ὑπεναντίον, τοῦ Ἡλίου δύνοντος ἐν Ζυγῷ, καὶ μάλιστα περὶ δικαίου.

260 ἐν δὲ τοῖς λοιποῖς ζῳδίοις τοῦ Ἡλίου δύνοντος εὔθετον ὁρκίζειν· οἱ γὰρ ἐπιορκοῦντες οὐ ποινηλατοῦνται. 〈θ′〉 Περὶ γάμου Περὶ γάμου ἐπισκοπητέον οὕτως· ἄνδρα μὲν Ἠέλιον καὶ ἀνερχόμενον σκοπὸν ὥρης, αὐτὴν δ᾽ ἐκ ζῳδίου θ᾽ ἱμερόφρονα δυομένοιο κόρην ἂν φράσσαιο καὶ ἠυκόμου Κυθερείης, ἐκ δὲ μεσουρανίου τὸ καὶ ἔπλετο τηλόθι γαίης οἷον ἅμ᾽ ἀλλήλοις ἄμφω βίον ἐκτελέουσι, ἀμφὶ δέ τοι προικὸς μέσατον χθονὸς ἐξαγορεύσει. δερκομένῳ τίνες ἐσθλά, τίνες κακὰ τεκμαίρουσιν, Ἠέλιος φαυλοῖσι βεβλαμμένος, Ἀφρογενής τε Ζηνὸς ἐπεσσυμένου ἢ καὶ παρεόντος ἅμ᾽ αὐτῇ, ἀνέρι πῆμα φέρουσιν, ἀτὰρ μέγα χάρμα γυναικί ἔμπαλιν αὖ Παφίην ὁπόταν βροτολοιγὸς ἴδησι ἢ Φαίνων κρυόεις ὀλοὸν τόδε σῆμα δάμαρτι ἔσσεται αἰσχύνη τε καὶ οὐκ ἐπὶ δηθὰ μένουσιν, ἢν δ᾽ ἔτι καὶ Μήνη στυγερὸν περὶ σῆμα γένηται ἀμφοτέροις εἴη κεν ἀπαίσιος ἥδε καταρχή. ἐσθλοὶ δ᾽ αὖ Μαίης ὠκὺν γόνον εἰσορόωντες παίδων τέκμαρ ἔχουσιν ἐτήτυμον. ἐν τροπικῷ δέ ζῴῳ μηδέ νυ Κύπρις ἔοι τότε μηδὲ Σελήνη· Κύπρις μαχλοτάτην τεύχει ῥυπαρήν τε δάμαρτα θήσει φωριδίοισιν ἀρεσκομένην λεχέεσσιν, ἡ δέ κεν οὐ χρονίην εὐνὴν ὀπάσειε Σελήνη.

261 τοὔνεκεν ἐν Κριῷ μὲν ἀναίνεο πάμπαν ἐούσης νύμφευσιν· δὴ γάρ κεν ἀπόζυγος αἶψά κεν εἴη. τοῦ δὲ Ταύρου πρῶτος καὶ τρίτος δεκανὸς παραιτεῖται, ὁ δὲ δεύτερος ἐπιτήδειος γαμεῖν. τῶν δὲ Διδύμων ἀπὸ μιᾶς μοίρας ἕως τῆς πεντεκαιδεκάτης οὐ πεποίηνται, αἱ δὲ λοιπαὶ εὔθετοι. ὁ Καρκίνος ὅλος ἀπαίσιος. ὁ δὲ Λέων οὐ κακός, ποιήσει δὲ κακοδάπανον τὸν ἄνδρα. ἐν δὲ Παρθένῳ χήραν ἄγεσθαι αἴσιον· παρθένον γὰρ οὔ. ἐν δὲ Ζυγῷ ἀνεπιτήδειον γαμεῖν, μνηστεύεσθαι αἴσιον. ἐν δὲ τῷ πρώτῳ τμήματι τοῦ Σκορπίου αἴσιον, ἐν δὲ τῷ δευτέρῳ οὐ πάνυ· οὐ γὰρ ἔσονται πολυχρόνιοι. ἐν δὲ Τοξότῃ πεφυλάχθαι χρὴ δι᾽ ὀλιγοτεκνίαν, καὶ ἐν Αἰγοκέρωτι δὲ ὁμοίως εἰ μή τις ἐκ δευτέρου ἢ τρίτον βουληθῇ γαμῆσαι (οὕτω γὰρ οὐκ ἀποστρεπτέον), ῥεμβαὶ δὲ καὶ ψεῦσται εὑρίσκονται. ἐν δὲ Ὑδροχόῳ ἀνεπιτήδειον. ἐν δὲ Ἰχθύσι καλὸν μὲν γαμεῖν, ποιεῖ δὲ τὴν γυναῖκα μάχιμον καὶ φλύαρον. Παρατηρητέον δὲ μάλιστα τὴν Ἀφροδίτην ἐν ταύταις ταῖς σκέψεσι μὴ εἴη μετὰ τῶν κακοποιῶν ἢ ἐν ταῖς τούτων μαρτυρίαις, ἀλλὰ μᾶλλον εἴη ἐν ὁρίοις εὐεργέος ἢ ἐν ζῳδίοις. τυχοῦσα τοίνυν ἡ Ἀφροδίτη ἐν ὁρίοις ἢ ζῳδίοις ἀγαθοποιοῦ καὶ εἰ ἐπιδεκατεύσει τῇ Σελήνῃ, ὑπὸ δὲ τοῦ Διὸς ἐπιδεκατεύεται (τουτέστι δεκάτη μὲν ἀπὸ Σελήνης, τετάρτη δὲ ἀπὸ Διός), κάλλιστον τὸν γάμον, θυμήρη τε καὶ τεκνοποιὸν ἀποτελέσει, καὶ μάλιστα ὅταν εἷς τῶν ἀγαθοποιῶν ἐπὶ τῶν πολυσπέρμων ζῳδίων τύχῃ· οὕτω γὰρ τάχιστα συλλήψεις ποιήσει. τὸ δὲ αὐτὸ καὶ τὰ τρίγωνα σχήματα ἀποτελέσει πολυσπέρμων ὄντων τῶν ζῳδίων, καὶ οἱ κακοποιοὶ ἐν τῷ τριγώνῳ σχήματι ἐπὶ τῶν πολυσπέρμων ζῳδίων μαρτυρούμενοι ὑπ᾽ ἀγαθοποιῶν τεκνοποιίαν δηλοῦσιν.

262 Ἐπισκοπεῖν δὲ χρὴ τὰ δύο θέματα τῶν γαμουμένων εἰ καὶ ἐπίπαν οἱ ἀγαθοποιοὶ ἐν τοῖς ἀγαθοποιοῖς τόποις (τουτέστι διπλοῖ) κατὰ τὸν καιρὸν τοῦ γάμου γίνονται ἢ συσχηματίζονται. εἰ δὲ καὶ κατὰ γένεσιν καὶ κατὰ πάροδον τὸ μεσουράνημα κοσμούμενον ᾖ καὶ ἀγαθοποιῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τόπος τοῦ θέματος τῆς γυναικὸς ἐμπέσῃ εἰς τὸ τοῦ ἀνδρὸς μεσουράνημα εἰδέναι χρὴ ἐν αὐτῷ τῷ ἔτει τὴν παιδοποιίαν ἔσεσθαι, εὐάρεστόν τε τὴν συμβίωσιν μηκυνθῆναι, καὶ μάλιστα ὅταν οἱ ἐπίκαιροι τόποι τῶν γενέσεων (τουτέστι Σελήνη καὶ Ἥλιος καὶ ὁ κλῆρος καὶ ὁ ὡροσκόπος) σύμφωνοι ὑπάρχωσιν. ἐπὰν δὲ καὶ πολύσπερμον ᾖ τὸ κατὰ κορυφὴν ζῴδιον κατὰ τὴν πρώτην συνέλευσιν τὰ τῆς συλλήψεως ἀσφαλῶς ἔσται. ἐπὰν δὲ τύχῃ ἐπὶ τοῦ κατὰ κορυφὴν τόπου ἀγαθοποιὸς ὑπὸ τὰς αὐγὰς ὢν κατὰ τὸν καιρὸν τοῦ γάμου σκοτεινὴν τὴν σύλληψιν καὶ τὴν τεκνοποιίαν σημαίνει, καὶ μάλιστα ἐπὶ τῶν γυναικῶν αἷς καὶ τὸ θέμα οὕτω συμβέβηκεν ἔχειν· τῆς γὰρ Ἀφροδίτης ὑπὸ τὰς αὐγὰς οὔσης μετὰ Ἄρεως λαθραίως παρθενεύονται, καὶ Διὸς μαρτυροῦντος οἱ βιασάμενοι ἄξονται πρὸς γάμον. συμβαίνει δὲ πάλιν ὁμοίως κατὰ τὸν καιρὸν τῆς καταρχῆς καὶ τῆς Ἀφροδίτης ὑπὸ δύσιν τοῦ Ἡλίου. Εἴ γε μὲν ἢ πόσιός τις ἔχει δάμαρ ἠὲ δάμαρτος ἀνὴρ ἐν ζῴῳ Μήνην κακοδαιμονέοντι τούτων ἀμφοτέρων κράτος οἴσεται· ὅς κεν ἔχῃσι δωδέκατον μετὰ χῶρον ἀφ’ ὡρονόμοιο Σελήνην εἰν ἑτέρου γενέσει καὶ δεσπότῃ εἴκελος ἔσται.

263 ἔξοχα δ’ αὖ πάμμηνος ἀνιηρὴ γαμέοντι, τουτέστι πανσέληνος. καὶ αἱ Σελῆναι δὲ τῶν δύο γενέσεων διαμετροῦσαι ἀλλήλας ἀπαίσιοί εἰσιν· διχονοίας γὰρ παραίτιοι. κρατήσει δὲ ὅμως ἐν ταῖς φιλονεικίαις ὁ ἔχων ὑπὲρ γῆν τὴν Σελήνην. ἐν δὲ ἀρρενικῷ βεβῶσα Ἀφροδίτη, ὁ δὲ Ζεὺς ἐν θηλυκῷ—τοῖς ἀνδράσι τὸ τοιοῦτον σχῆμα καλὸν ὑπάρχει, ἔμπαλιν δὲ ταῖς θηλείαις ὅταν ἡ μὲν Ἀφροδίτη ἐν θηλυκῷ, ὁ δὲ Ζεὺς ἐν ἀρσενικῷ. Ταῦτα μὲν ἐν τοῖς ἔπεσι Δωρόθεος ἐκτίθεται, ἐκ δὲ ἄλλων ἀρχαίων καὶ πείρᾳ κατειλημμένων τὰ ἐφεξῆς. μάλιστα δὲ προσέχειν χρὴ περὶ συνελεύσεως καὶ ἁρμογῆς γάμου τῷ δὲ κυρίῳ τοῦ κλήρου καὶ τῆς ὥρας, ἔτι δὲ καὶ τῷ τῆς προγενομένης συνόδου καὶ τῇ πρὸς ἀλλήλους τε καὶ τὰ φῶτα καὶ τὸν θανατικὸν ἀστέρα σχηματοθεσίᾳ. τυχὼν γὰρ ὁ κλῆρος εἰς τὸ δυτικὸν ἢ ὁ τούτου κύριος ἢ ὁ τοῦ δυτικοῦ κέντρου κύριος ἐπ’ αὐτοῦ τυχὼν σὺν τῷ κληρικῷ ἀστέρι ἢ ἐπὶ 〈τοῦ〉 κληρικοῦ ἀστέρος ἢ 〈εἰ〉 ἐπὶ τοῦ κληρικοῦ ζῳδίου ὁμοίως τύχῃ (δηλονότι σὺν τῷ κληρικῷ ἀστέρι) τῆς Σελήνης ἐπιμαρτυρούσης γάμον καὶ συνέλευσιν σημαίνει. Ἐπιφυλακτέον οὖν τὴν Ἀφροδίτην ἑῴαν ἀναποδίζουσαν, ἐπί τε τὸν Δία ἐρχομένην· οὕτω γὰρ ἀνάρμοστοι καὶ ἀβέβαιοι γάμοι ἔσονται τῶν συνερχομένων τυγχανόντων κούφων τὰ ἤθη. καὶ εἰ μὲν ἐν θηλυκῷ ζῳδίῳ τύχῃ τοιούτους τοὺς ἄνδρας, ἐὰν δὲ ἐν ἀρρενικῷ τὰς γυναῖκας τοιαύτας νομιστέον.

264 εἰ δὲ οὕτως ἐχούσης τῆς Ἀφροδίτης ἀπόζευξις γένοιτο ἐπανήξει αὖθις ἡ γυνὴ προστιθείσης τῆς Ἀφροδίτης τοῖς ἀριθμοῖς, εἰ δὲ Ἄρης ἀναποδίζοι ἐν τῇ καταρχῇ τοῦ χωρισμοῦ ἐπιστρέψαντος αὐτοῦ καὶ προστιθέντος ὁ ἀνὴρ διαλλαγήσεται καὶ μετελεύσεται τὴν γυναῖκα. Ἐὰν δὲ ὁ κύριος τοῦ γάμου ἐν τῇ καταρχῇ μεσουρανῶν τύχῃ ἐν θηλυκῷ ζῳδίῳ πολύγονον δείξει τὴν γυναῖκα, εἰ δὲ ἐν ἀρρενικῷ τὸν ἄνδρα. τετράγωνος δὲ ὁ Ζεὺς τῷ γαμικῷ ἀστέρι τυχὼν στάσεως τῆς ἐν τῷ γάμῳ δηλωτικός· κακὴ καὶ ἡ Σελήνη ἐν ἀρρενικῷ ζῳδίῳ τυχοῦσα. ὡροσκοπῶν δὲ ὁ τοῦ γάμου κύριος ἐπίμεμπτον τὸν γάμον δίδωσιν, καὶ μάλιστα ὁ Ζεὺς ἐν θηλυκῷ ζῳδίῳ ἄπροικον ἢ ψευδοπλουσίαν ἢ ὑπόδικον, ἐν δὲ ἀρρενικῷ τὸν ἄνδρα τοιοῦτον. Ἐπειδὴ προείρηται ὅτι ὁ μὲν ὡροσκόπος ὁ γαμῶν, τὸ δὲ δῦνον ἡ γαμουμένη, τὸ δὲ μεσουράνημα ἡ ἀμφοτέρων ὁμόνοια καὶ παραμονή, τὸ δὲ ὑπόγειον ἡ προὶξ καὶ τὸ τοῦ γάμου ἀποτέλεσμα, δῆλον οὖν ὅτι τοῦ Κρόνου μὲν ὡροσκοποῦντος ὁ γαμῶν ἔσται πρεσβύτερος καὶ ῥυπαρός, Ἄρεως δὲ νεώτερος καὶ ὀργίλος, τοῦ δὲ Διὸς πλούσιος καὶ ἀγαθός, μέσης ἡλικίας, Ἀφροδίτης 〈δὲ〉 ἱλαρός, καθάριος, ἡδύβιος, κατωφερὴς εἰς γυναῖκας, Ἑρμοῦ δὲ εὐπαίδευτος, συνετὸς καὶ ἐρωτικὸς εἰς παῖδας, Ἡλίου δὲ καὶ Σελήνης εὐγενὴς καὶ ἐπίσημος. Κρόνου δὲ τυχόντος ἐπὶ τοῦ μεσουρανήματος διάλυσις ἔσται τοῦ γάμου διὰ ῥυπαρίαν καὶ σμικρολογίαν, Ἄρεως 〈δὲ〉 δι’ ἀκαταστασίαν καὶ ζηλοτυπίαν (ἐπὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης συνῇ αὐτῷ ἢ μαρτυρῇ διὰ μοιχείαν, ἐὰν δὲ Ἑρμῆς

συνῇ διὰ παιδὸς ἔρωτα), Διὸς δὲ καὶ Ἀφροδίτης ὁμόνοια αὐτοῖς ἔσται καὶ τεκνοποιία, Ἡλίου δὲ καὶ Σελήνης ἐπισήμους αὐτοὺς ἔσεσθαι.

265 ἐπὶ δὲ τοῦ δύνοντος τυχόντες ὅμοια ἀποδεικνύουσι περὶ τὴν γυναῖκα οἷα καὶ ἐπὶ τοῦ ἀνδρὸς ἐν τῷ ὡροσκόπῳ. ἐὰν δὲ καὶ Ἄρης ἢ Κρόνος ἢ ἀμφότεροι ὑπὸ γῆν εὑρεθεῖεν ἰδίων ἀποβολὴν καὶ τέκνων καὶ τῆς προικὸς καὶ προτελευτὴν τοῦ ἀνδρὸς σημαίνουσιν, ἐὰν δὲ Ζεὺς καὶ Ἀφροδίτη ὑπόγειοι ὦσι πολὺν χρόνον σὺν ἀλλήλοις καὶ τέκνα ἔσεσθαι, καὶ ἐὰν μὲν ἐν ἀρσενικῷ ζῳδίῳ ὁ ἀνὴρ ἐπιζήσεται, ἐὰν δὲ ἐν θηλυκῷ ἡ γυνή, ὁ δὲ Ἑρμῆς καθὼς ἂν τὴν τῶν ἄλλων μαρτυρίαν δέξηται ἕκαστα ἐμφαίνει. Τοῦ δὲ Ἡλίου κεκακωμένου, τῆς δὲ Ἀφροδίτης ὑπὸ ἀγαθοποιοῦ μαρτυρουμένης ἐν τῇ καταρχῇ, ἄρχειν τὴν γυναῖκα τοῦ ἀνδρὸς δηλωτέον, ἔμπαλιν δὲ τυχόντων ἔμπαλιν ἔσται. τῆς δὲ Σελήνης κεκακωμένης ἀμφοτέροις ἀσύμφορον καὶ τῇ προικί. ὁ ὡροσκόπος καὶ τὸ μεσουράνημα ἔχοντες ἀγαθοποιοὺς σημαίνουσι τεκνοποιίαν ἐπὶ συμφέροντι, κακοποιοὺς δὲ ἀποβολήν. φυλάσσεσθαι δὲ καὶ τοῦ κυρίου τῆς τύχης κακωθέντος ἄγεσθαι γυναῖκα. χαλεπὸς δὲ καὶ ὁ κατὰ γένεσιν οὕτως ἔχων γαμικὸς ἀστήρ. κενοδρομοῦσα δὲ ἡ Σελήνη πολυκοίνους μηνύει, ἀγαθὴ δὲ ὑπόγειος ἐν θηλυκῷ ζῳδίῳ· τοῦ Ἡλίου ὄντος ἐν ἀρρενικῷ ὑποτεταγμένην αὐτὴν ποιήσει. 〈ι′〉 Περὶ συνελεύσεως Μέλλων δὲ συγγενέσθαι ὁ γαμῶν ἔστω ἱλαρὸς καὶ ἀπὸ ἱλαρῶν καὶ ἄλυπος μήτε ἄγαν συμβεβαρημένος τροφῇ καὶ μέθῃ. φυλασσέσθω δὲ τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τὸν κλῆρον ἐν τῷ η′ ἢ ἐν τῷ τούτου διαμέτρῳ, ἐπιτηρείτω δὲ καὶ τὸν τῆς ὥρας κύριον ἀκάκωτον εἶναι. ὁ δὲ κλῆρος ἔστω ἐν τῷ περὶ φιλίας ἢ ἐν τῷ περὶ τέκνων ἢ ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ θεῷ (τουτέστιν ἐν τῷ θ′), ἔστω δὲ καὶ ἡ Σελήνη ἀκάκωτος καὶ σύμφωνος τῷ ὡροσκόπῳ.

266 ὁ δὲ Ἑρμῆς ἐπὶ ἀνατολῆς τυγχάνων ὑπὸ Διὸς καὶ Ἀφροδίτης μαρτυρούμενος ἐν τῇ ὥρᾳ τῆς καταβολῆς ποιήσει τὰ τικτόμενα εὐτυχῆ καὶ εὐπαίδευτα καὶ εὐδαίμονα. λέγουσι δὲ οἱ περὶ Πετόσιριν ὅτι ἐν ᾧ ζῳδίῳ εὑρίσκεται ἡ Σελήνη ἐν τῇ σπορᾷ τοῦτο ὡροσκοπήσει ἐν τῇ ἐκτέξει, ὅπου δὲ ἐν τῇ ἐκτέξει παροδεύει τοῦτο ὡροσκόπησεν ἐν τῇ σπορᾷ. περὶ δὲ γάμου καὶ τῶν περὶ αὐτὸν τοσαῦτα εἰρήσθω. 〈ια′〉 Περὶ χωρισμῶν Τοὺς δὲ χωρισμοὺς αὐτῶν καὶ ἐπανελεύσεις ἐπιβλέπειν δεῖ οὕτως. 〈κατὰ〉 τὴν καταρχὴν ἐν ᾗ γεγένηται ὁ χωρισμὸς ἢ καὶ ἐν ᾗ τις ὥρᾳ πυνθάνεταί σου ὅρα τὴν Ἀφροδίτην καὶ τὸν Ἥλιον· ἐὰν τοίνυν εὕρῃς τὸν μὲν Ἥλιον ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ ια′, τὴν δὲ Ἀφροδίτην ἑσπερίαν ἀναποδίζουσαν, λέγε αὐτῷ αὖθις τὴν γυναῖκα ἐπανελεύσεσθαι θυμήρως. εἰ δέ γε μὴν ἄλοχος δόμον ἀνέρος ἐκλείπησι πρὶν Μήνην διάμετρον ἐς Ἠελίοιο περῆσαι οὐ μάλα ῥηιδίως εἰς ἀνέρος ἵξεται οἶκον, ἂψ δ’ ἀπὸ παμμήνου ὁπότ’ ἔρχεται Ἠέλιόνδε τηνίκα οἱ νόστον τεκμαιρέμεν εἶναι ὀπίσσω, ἐπ’ αὐτῆς δὲ τῆς συνόδου δυσχερῶς.

267 ἐὰν δὲ ὁ Ἥλιος ἐν ὅσῳ ἡ Σελήνη ἀπαρτίζει τὸν κύκλον μεταβεβηκὼς εὑρεθῇ εἰς ἕτερον ζῴδιον θηλυκὸν Ἀφροδίτης σὺν αὐτῷ οὔσης, ὁ ἀνὴρ διαλυθέντος τοῦ γάμου ἑτέραν γαμήσει. ἐπιτηρητέον δὲ καὶ τὸν ὡροσκόπον καὶ τὴν Σελήνην ἐπειδὴ τυχόντες οὗτοι ἐπὶ στερεῶν ζῳδίων ἐν τῇ καταρχῇ βέβαια ποιοῦσιν, ἐπὶ δὲ δισώμων τὰ ἐοικότα, ἐπὶ δὲ τροπικῶν τρεπτὰ καὶ ἀβέβαια. 〈ιβ′〉 Περὶ διαφορᾶς κυουμένων Ἐπὰν δὲ κατὰ γαστρὸς αἱ γυναῖκες ἔχοιεν καὶ βουληθεῖεν τὸ κυούμενον ἐκτιτρώσκειν μὴ δυνάμεναι τελεσφορεῖν ἁρμόζει τῆς Σελήνης οὔσης ἐν τοῖς ὀρθοῖς ζῳδίοις καὶ τῷ ὡροσκόπῳ τοῖς φωσὶ ληγούσης καὶ νοτίας τῷ πλάτει, ἐφοράτω δὲ Ἀφροδίτη καὶ Ἄρης ἢ συνόντες ἢ τετράγωνοι ἢ τρίγωνοι ἐπιβλέποντες τὴν Σελήνην ἥτις ἐν θηλυκῷ ζῳδίῳ τυγχανέτω. 〈ὅσα δὲ δεῖ ἐν τούτοις παρατηρεῖν τὴν Σελήνην τοσαῦτα καὶ τὸν ὡροσκόπον δεῖ ἔχειν κατά τε τὰ ὀρθὰ ζῴδια καὶ κατὰ τὰς μαρτυρίας Ἄρεως καὶ Ἀφροδίτης.〉 〈ιγ′〉 Περὶ ἐκτιτρωσκουσῶν Φασὶ δὲ ἐπικινδύνως ἐκτιτρώσκειν Κριοῦ μὲν ἀπὸ α′ μοίρας ἕως ια′, Διδύμων δὲ ἀπὸ α′ ἕως λ′, Καρκίνου ἀπὸ α′ ἕως ιε′, Λέοντος ἀπὸ α′ ἕως ια′, Παρθένου τὰς πάσας, ἐν δὲ Ζυγῷ ἀπὸ ιβ′ ἕως λ′, ἐν Σκορπίῳ ἀπὸ ια′ ἕως λ′, ἐν Τοξότῃ ἀπὸ α′ ἕως ια′, ἐν

Αἰγοκέρωτι ἀπὸ α′ ἕως ιε′, ἐν Ὑδροχόῳ ἀπὸ κ′ ἕως λ′ τῆς Σελήνης οὔσης ἐν ταύταις ταῖς μοίραις ἢ καὶ τοῦ ὡροσκόπου, καὶ μάλιστα τοῦ Κρόνου συσχηματιζομένου, αἱ δὲ λοιπαὶ εὔκολοι καὶ ἀκίνδυνοι.

268 〈ιδ′〉 Περὶ γεωργίας Περὶ δὲ γεωργίας ἁρμόζει τῆς Σελήνης οὔσης καθ' ἑαυτὴν ἐν μὲν Κριῷ γεωργεῖν καὶ θρέμματα καθιστάναι καὶ φυτεύειν 〈καὶ σπείρειν καὶ τόπους ἀγρίους ἐξημεροῦν, ἐν δὲ Ταύρῳ〉 σπείρειν καὶ ἀργὴν γῆν, μισθοῦσθαι δὲ χώραν ἀσύμφορον, ἐν δὲ Διδύμοις γεωργεῖν καὶ φυτεύειν καὶ ἀργὴν γῆν ἐργάζεσθαι καὶ καρπῶν συγκομιδὰς ποιεῖσθαι, ἐν δὲ Καρκίνῳ καλὸν γεωργεῖν καὶ κήπους ποιεῖσθαι καὶ χέρσον γῆν ἡμεροῦν, ἐν δὲ Λέοντι πυροὺς καὶ κριθὰς σπείρειν καὶ γεωργίας ἄρχεσθαι ἀγαθόν, ἐν δὲ Παρθένῳ φυτεύειν ἁρμόζει πάντα πλὴν ἀμπέλου, κατασπείρειν τὸ πάνυ ὑπόφορον, ἐν δὲ Ζυγῷ φυτεύειν καὶ γεωργεῖν συνοίσει, ἐν δὲ Σκορπίῳ ἀμπέλους φυτεύειν, μόνον ἐκ μέρους δὲ γεωργεῖν, ἐν δὲ Τοξότῃ ἱπποτροφεῖόν τε καὶ θρέμματα καθιστᾶν καὶ βουκόλια, ὁμοίως δὲ καὶ ἐν Αἰγοκέρωτι, καὶ μάλιστα θρέμματα, ἐν δὲ Ὑδροχόῳ ἀκρόδρυα φυτεύειν καὶ γῆν γεωργεῖν συνοίσει, ἐν δὲ Ἰχθύσι καλὸν γεωργεῖν καὶ τὴν ἀρχὴν ἀνανεοῦν. συνούσης οὖν τῆς Σελήνης τοῖς ἀγαθοποιοῖς ἢ μαρτυρουμένης καὶ ἐν τοῖς ἁρμόζουσι ζῳδίοις κάλλιστον γεωργεῖν, καὶ μάλιστα τυγχανούσης ἐν τοῖς ὑπογείοις. 〈ιε′〉 Περὶ φρεάτων ὀρυγῆς καὶ λάκκων Ὀρύττων δὲ λάκκους ἢ καὶ εἰσαγωγὰς ὑδάτων ποιούμενος ἐπιτήρει τὸν κλῆρον τῆς τύχης καὶ τὸν κύριον αὐτοῦ εἴς τινα ζῴδια ὑδατώδη ἐμπεσεῖν, καὶ ἐπικέντρους ποιῆσαι τοῦ τε β′ τόπου καὶ τοῦ η′ τοὺς οἰκοδεσπότας.

269 ἀγαθὸν γὰρ τούτους ἐπαναφέρεσθαι τῷ ὑπὲρ γῆν κέντρῳ καὶ τῷ ὑπὸ γῆν· ἀποκλίναντες γὰρ φαῦλοι, καὶ μάλιστα ὅταν πόρρωθεν τὰ ὕδατα ᾖ μεταγόμενα ἢ ἀποστρεφόμενα. καὶ τὸν τοῦ κλήρου δὲ κύριον δεῖ παραφυλάσσειν, καὶ μάλιστα κατὰ τὸ ὑπόγειον, ἐξαιρέτως μήτε τὸν κύριον μήτε αὐτὸν τὸν κλῆρον εἶναι ἐν τῇ ἐπιδύσει ἢ ἐν τῷ ταύτης διαμέτρῳ, τουτέστι τῇ ἐπαναφορᾷ τοῦ ὡροσκόπου· οὕτω γὰρ ἀσφαλῶς καὶ ἀβλαβῶς διαπραχθείη τὸ ἔργον. 〈ις′〉 Περὶ ἀγορασίας διαφόρων εἰδῶν Ἐπισκόπει τὴν καταρχὴν οὕτως. καὶ ἀφοριστέον τὸν μὲν ὡροσκόπον τῷ πιπράσκοντι, τὸ δὲ δῦνον τῷ ἀγοράζοντι, τὸ 〈δὲ〉 μεσουράνημα τῷ τιμήματι, τὸ δὲ ὑπόγειον τῷ ἀγοραζομένῳ, ἐκ δὲ τῶν ἐπιμαρτυρούντων τοῖς τόποις καταστοχαστέον περὶ τοῦ ἀποτελέσματος. ἔστι δὲ καὶ ἄλλως πῆξαι περὶ ἀγορασίας τὴν μὲν Σελήνην τὸ πιπρασκόμενον σῶμα ἢ χωρίον ἤ τι ἕτερον πιπρασκόμενον, τὸν δὲ ἀστέρα ἀφ' οὗ τὴν ἀπόρροιαν πεποίηται τὸν πιπράσκοντα, ᾧ δὲ συνάπτει τὸν ἀγοράζοντα· καὶ πρόσεχε ἕκαστον τούτων καὶ τὰς μαρτυρίας. Ἐπισκοπητέον ἔκ τε τῆς Σελήνης εἰ σεσίνωται ὁ πιπρασκόμενος ἢ οὔ.

270 καθολικῶς δὲ τῆς Σελήνης καθ' αὑτὴν οὔσης ἐν μὲν Κριῷ ῥεμβὸς καὶ ἀλήμων ὁ πιπρασκόμενος οἰκέτης, ἐν δὲ Ταύρῳ ἰσχυρὸς καὶ ὑπομονητικός, καλοὶ δὲ οἱ οἰκέται ἀγοραζόμενοι εὑρίσκονται ἐν τῷ τρίτῳ δεκανῷ τῶν Διδύμων, ἐν δὲ Καρκίνῳ νωχελεῖς καὶ δολεροί, ἐν δὲ Λέοντι γενναῖοι καὶ ἅρπαγες καὶ ἀδηφάγοι, κακοστόμαχοι δέ· ἐν Παρθένῳ συνετὸν μηνύει, ἐν δὲ Ζυγῷ φιλεργὸν καὶ δίκαιον, ἐν δὲ Σκορπίῳ ἰσχυρόν, δολερόν τε τὰ ἤθη καὶ βαρύθυμον, ὁμοίως καὶ ἐν Τοξότῃ, ἐν δὲ Αἰγοκέρωτι παλίμβουλον καὶ ψεύστην, ἐν δὲ Ὑδροχόῳ φιλεργόν, ἐν δὲ Ἰχθύσι κακὸν καὶ λοίδορον. Ὁπόταν δὲ ὁ κλῆρος τῆς τύχης ἐμπέσῃ εἰς τὸν περὶ φιλίας τόπον, ὁ δὲ τούτου κύριος ἐν τῷ περὶ οἰκετῶν εὑρεθῇ σὺν τῷ δεσπόζοντι τοῦ ὡροσκόπου, περὶ συνωνῆς οἰκέτου σημαίνουσιν. ἢν δὲ καὶ τῷ κυρίῳ τοῦ γάμου τὴν συναφὴν ποιοῖτο ἡ Σελήνη ἐφεστώσης ἐπὶ τοῦ γαμικοῦ τῆς Ἀφροδίτης καὶ συνελεύσεσθαι καὶ κοινωνῆσαι φιλίας τῷ ἀγορασθέντι ἢ τῇ ἠγορασμένῃ μηνύει, τυχόντος δὲ τοῦ Ἑρμοῦ ἐν τῷ κλήρῳ εὐπαίδευτον παρέχει. ἀεὶ δὲ ἀφορᾶν χρὴ τὸν τοῦ Ἑρμοῦ ἀκάκωτον ὑπὸ τῶν κακοποιῶν καὶ μὴ ὕπαυγον ἐν ταῖς τῶν οἰκετῶν ἀγορασίαις. Ἐπὶ δὲ συνωνῆς χωρίου ἔστω τὸ μὲν ὑπόγειον ἡ γῆ, ὅπερ ἐὰν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κάθυγρον περὶ ποταμὸν ἢ θάλασσαν ἢ λίμνην εἶναι τὸ χωρίον λογιστέον, ἐὰν δὲ ἀμφίβιον ἐπίμικτον ἢ διπλοῦν ἔκ τε ὀρεινῶν καὶ πεδινῶν συνεστάναι, τὸ δὲ δῦνον τὰ βοσκήματα καὶ τὴν ἐνθήκην τοῦ κτήματος, τὸ δὲ μεσουράνημα τὰ δένδρα καὶ τὰ φυτὰ καὶ τὰς ἐπαύλεις, ὁ δὲ ὡροσκόπος τὴν οἰκίαν καὶ τὰ ἐν τῷ οἴκῳ καὶ τοὺς ἐργαζομένους, καὶ τὸ ἀκάκωτον τούτων εὑρεθὲν ἢ κεκακωμένον μηνύει ἐκεῖνο τὸ μέρος.

271 τὰ δὲ διαστήματα μηνύει ἡ ἀναφορὰ τοῦ ὡροσκόπου· τοσαῦτα γὰρ σημεῖα ἢ στάδια μηνύει ὅσας μοίρας ἔχει. Πληθούσης δὲ τῆς Σελήνης καὶ τῷ μήκει καὶ τῷ πλάτει προστιθείσης ἐν τῷ Ἀναβιβάζοντι ὁ ἀγοράζων πλείονα τιμὴν παρέξει, λειψιφώτου δὲ οὔσης καὶ τοῖς ἀριθμοῖς ἀφαιρούσης ἐν τῷ Καταβιβάζοντι ὁ ἀγοράζων ἐλάττονα τιμὴν δώσει. λέγει γὰρ οὕτως Δωρόθεος· συνδέσμῳ δ’ ἀνάγοντι Σεληναίης παρεούσης εἰ μὲν πλησιφάεσσα δρόμον τ’ αὔξησιν ἀριθμοῖς ὅττι κεν ὠνήσει δώσεις πλέον ἢ δόμεναι χρή, αὐτίκα δ’ ἐν κατάγοντι πορεύμασιν οἷσιν ἔλεξα ἐρχομένης ἐπὶ μεῖον ἐλαφρὴ ἔσσεται ὠνή. καὶ δὲ Σεληναίης φάσιν αἱ λεύσσῃς κεν ἰούσης ἐκ συνόδου πρῶτον μετα〈νισσομένησ〉 τετράπλευρον αἴθοπος Ἠελίοιο δικαιοτέροισιν ἄμεινον· χρήματα γὰρ δώσεις ὅσου ἄξιον ἦν ἀγοράζειν καὶ πρῆγμα λῷον καταθήσεαι οὔτε μὲν ἧσσον οὔτε λίην τι περισσόν. ἕως δέ κεν εἰς διάμετρον ἔλθῃ πιπράσκοντι καὶ ἐγκαλέοντι συνοίσει. τὸ τρίτον αὖ τετράγωνον ἐπὴν ἑλικῶπις ὁδεύῃ ὠνεῖσθαι τότε καλὸν ὃ βούλεται ἢ διακλέψαι. τετρατίῃ πλευρῇ δὲ θεῆς σύνοδόν〈δε〉 κιούσης βαιὸν ἂν ἐκ πολλοῦ δοίης τό τοι ἔσσετ’ ἄμεινον. 〈ιζʹ〉 Περὶ ναυπηγίας Περὶ δὲ πλοίου συνωνῆς ἢ ναυπηγίας τὴν μὲν πρύμνην τῇ ἀνατολῇ μεριστέον καὶ τὸν ἱστὸν τῷ μεσουρανήματι 〈καὶ〉 τὰ μέσα τοῦ πλοίου, τὴν δὲ πρῷραν τῇ δύσει, τὴν δὲ τρόπιν καὶ τὰ περὶ αὐτὴν τῷ ὑπὸ γῆν, καθ’ ὃ δὲ εὑρεθεῖεν οἱ κακοποιοὶ τοῦ διαθέματος τεθέντος κατ’ ἐκεῖνο δεῖ τὸ μέρος συλλογίζεσθαι σινωθήσεσθαι τὸ πλοῖον.

272 (1t) ἐπιτηρεῖν 〈δὲ〉 χρὴ τοὺς ἀγαθοποιοὺς ἐν τῷ ὑπογείῳ ἢ μαρτυροῦντας τῷ τόπῳ, ἔστω δὲ τὸ ὑπόγειον ἐν τοῖς ζῳδίοις τοῖς δυναμένοις νήχεσθαι—ἐν Ταύρῳ ἢ Διδύμοις ἢ Καρκίνῳ ἢ Παρθένῳ ἢ Τοξότῃ ἢ Ἰχθύσιν ἢ Αἰγοκέρωτος ταῖς ἐσχάταις μοίραις· ὁ δὲ Ταῦρος κρείττων πάντων, μετ’ αὐτὸν οἱ Ἰχθύες, ἔπειτα οἱ Δίδυμοι. τὸν δὲ Ἥλιον λάμβανε τρίγωνον τῇ ὥρᾳ, τὴν δὲ Σελήνην αὔξουσαν τοῖς φωσὶν καὶ τοῖς ἀριθμοῖς καὶ τῷ πλάτει καὶ μαρτυρουμένην παρὰ ἀγαθοποιῶν, φυλάττου δὲ τῶν κακοποιῶν πρὸς αὐτήν τε καὶ Ἥλιον παρουσίας ἢ ἀκτινοβολίας. 〈ιηʹ〉 Περὶ ἵππων ἀγορασίας Περὶ δὲ ἵππων ἀγορασίας λογίζου τὸν μὲν Κριὸν εἶναι κεφαλήν, τὸν δὲ Ζυγὸν τὰ ὀπίσω, τὰ δὲ λοιπὰ ζῴδια τὰ παρ’ ἑκάτερα πλευρά· ὅπου δ’ ἂν εὑρεθῇ κακοποιὸς ἐκεῖ τὴν αἰτίαν καὶ τὸ σίνος τοῦ ἵππου λογιστέον. 〈ιθʹ〉 Περὶ κτήνων ἀγορασίας Περὶ δὲ κτήνων τὰ μὲν προδεδαμασμένα ἐν Κριῷ καὶ Ταύρῳ καὶ τῆς Σελήνης καὶ τῆς ὥρας οὔσης καλὸν καὶ ἐπωφελὲς ἀγοράσαι, τὰ δὲ τοῦ δαμασθῆναι καὶ ὑποταγῆς χρῄζοντα ἐν τῷ Λέοντι καὶ τῇ τελευταίᾳ πεντεκαιδεκαμοιρίᾳ τοῦ Τοξότου τῆς ὥρας ἢ τῆς Σελήνης ἑστώτων.

273 〈κʹ〉 Πῶς δεῖ ἄρχοντι καὶ δυνάστῃ συντυχεῖν Ἁρμόζει δὲ ἄρχοντι συντυχεῖν τῆς Σελήνης οὔσης ἐν Κριῷ καὶ Ταύρῳ καὶ Διδύμοις καὶ Καρκίνῳ καὶ Παρθένῳ καὶ Ζυγῷ (μάλιστα ὅταν ἔχῃ τις δίκαιον πρᾶγμα ἢ χρῆμα ἀπαιτῇ) καὶ ἐν Σκορπίῳ καὶ Τοξότῃ καὶ Αἰγοκέρωτι οὔσης, τῶν ἀγαθοποιῶν μέντοι ἐπιβλεπόντων αὐτὴν ἀκάκωτον οὖσαν, παραιτεῖσθαι δὲ τὰ ἐντυχικὰ οὔσης ἐν Λέοντι καὶ Ὑδροχόῳ καὶ Ἰχθύσιν. διὰ δὲ τὸ ἀμφίβολον τοῦ Τοξότου ἁρμόσει τὰς ἐντυχίας ποιεῖσθαι περὶ τῶν εἰς κατηγορίαν ῥεπόντων, χάριτος δὲ ὅσα καὶ αἰτήσεως ἔχεται ἀνεπιτεύκτως ἔχει. Εἰ δὲ ἴδῃς καὶ τὰς γενέσεις τούτων οἷς συντυχεῖν θέλεις, καὶ δ’ ὅταν ἐξ ὥρης κυκλώμενον ἔν τινι ζῴῳ κείμενον εἰς ἐνιαυτόν, ἔχῃ δ’ ἐν τῷδε Σελήνην, ᾧτινι συμβαλέεις μάλα κεν πεφιλήσεαι αὐτῷ. ἢν ἔτος ἀμφοτέροισιν ὁμοῦ πέσῃ εἰς ἕνα χῶρον σύμφωνον, τὸ δ’ ὅμοιον ἐπὶ ζῴων ἀκουόντων ἦν ἢ δερκομένων, ἀριθμὸς δέ κεν ἐν χρόνῳ εὖτε ζωιδίῳ φιλίης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκλειπτικὸς οὐ παροδεύῃ. εὖτε δέ περ μέλλῃς φιλίας ξυνδήμεναι ἀρχήν πρῶτα μὲν ἀλλήλοις εὐσύνδετα φῶτά τοι ἔστω καὶ δ’ ἀγαθοὶ τούτοις ἐπιμάρτυρες, οἱ δ’ ὀλοεργοί εἶεν ἀπόστροφοι· μᾶλλον 〈γάρ〉 γε μέν ἐστι κακίων Ἄρης Ἠέλιός τ〈ε〉 ἐναντίος ἢ τετράγωνος εἴη, ἀτὰρ Φαίνων ὁπόταν λευκάντυγα Μήνην καὶ δ’ αὔτως συνίδησι.

274 ἄμεινον ἐπεί κε πέλοιεν ἀστέρες ὀρφναῖοι θέσιας λελαχόντες ἀγαυάς 〈αἱ〉 ρεσίεσσι γάνυνται. Καὶ πρὸς τὰ πρόσωπα τοὺς ἀστέρας ἐφάρμοζε, τὰ μὲν στρατιωτικὰ τῷ Ἄρει, τὰ δὲ ἡγεμονικὰ καὶ βασιλικὰ Διί, τὰ πρεσβυτικὰ τῷ Κρόνῳ, τὰ θηλυκὰ τῇ Ἀφροδίτῃ, τὰ λογικὰ τῷ Ἑρμῇ. 〈κα′〉 Περὶ ἐλευθερώσεως Περὶ δὲ ἐλευθερίας σκεπτόμενος ἀπόνεμε τὸν μὲν ὡροσκόπον τῷ ἐλευθεροῦντι, τὸ δὲ δῦνον τῷ ἐλευθερουμένῳ, τὸ δὲ μεσουράνημα παρ’ ᾧ γίνοιτο ἡ ἐλευθερία, τὸ δὲ ὑπὸ γῆν ὁποία τις ἡ παραμονὴ καὶ εὐχαριστία ἔσται μηνύσει. 〈Βεβαιότερον δὲ ἂν σκέψαιτό τις οὕτω· τὸν μὲν ὡροσκόπον κρίνων τὸν ἐλευθερούμενον,〉 ἐκ δὲ τοῦ κυρίου τοῦ 〈ὡροσκοποῦντοσ〉 ζῳδίου καὶ τῶν πρὸς αὐτὸν σχηματισμῶν ὁποῖος οὗτος τυγχάνοι καταλήψεται, καὶ ἐὰν μὲν ἀνατολικὸς τύχῃ αὐτεξουσίως ἀφεθήσεται καὶ τὴν ἐλευθερίαν καρπώσεται, ἐὰν δὲ δυτικὸς ἐρεσχελίαν καὶ συκοφαντίαν τινὰ ἕξει.

275 τὸ δὲ μεσουράνημα τὸν τόπον ἐν ᾧ πηγνύοιτο μηνύσει, τὸ δὲ δῦνον τὸν ἐλευθεροῦντα (ὁποῖος δέ ἐστιν ἀπὸ τοῦ κυρίου τοῦ ζῳδίου), τὸ δὲ ὑπὸ γῆν τὰς ἐκβάσεις τῆς ἐλευθερίας κατὰ τὰς τῶν ἀστέρων δηλονότι ἐφοράσεις. τοῦ δὲ κυρίου τοῦ ὡροσκόπου ἐναντιωμένου τῷ δυτικῷ ἐναντίοι καὶ ἐχθροὶ ἔσονται ὁ ἐλευθερώσας καὶ ὁ ἐλευθερωθείς. Φυλάσσειν δὲ χρὴ ἐν πρώτοις τὴν Σελήνην ἀκάκωτον καὶ ἀγαθοῖς συνάπτουσαν, ἐπεὶ τὸ ἐναντίον παθούσης ἡ δουλεία πολλῷ ἀμείνων ἔσται τῆς ἐλευθερίας ὥς φησι Δωρόθεος ἐν ἔπεσιν· δουλοσύνη κρείσσων καὶ ἐλευθερίης κε γένοιτο. καὶ τὸ ἡμισφαίριον δὲ τό τε ὑπὲρ γῆν καὶ τὸ ὑπὸ γῆν ὁρατέον· οἱ γὰρ ὑπὲρ γῆν τὰ μετὰ τὴν ἐλευθερίαν μηνύουσιν, οἱ δὲ ὑπὸ γῆν τὰ ἐν τῇ ἐλευθερίᾳ. καὶ ἐὰν μέν τις εἰς τὸ ὑπὲρ γῆν ἡμισφαίριον ᾖ τῶν ἀγαθοποιῶν πάντα καλὰ τὰ μετὰ τὴν ἐλευθερίαν προμηνυτέα καὶ χρόνους ζωῆς. Μήνη δ’ ἐν δυτικῷ σὺν ἑοῖ φθοροποιὸν ἔχουσα αἶψά κεν ἐξολέσειε πεφευγότα δούλιον ἦμαρ, τουτέστιν ἀπολλύει εὐθὺς μετὰ τὴν ἐλευθερίαν οὕτω τυχοῦσα ἡ Σελήνη. 〈κβ′〉 Περὶ ἀγώνων καὶ θεωριῶν Ἐπὶ καταρχῆς ἀγώνων καὶ θεωριῶν μεριστέον τῇ σκηνῇ τὸν ὡροσκόπον, τὸ δὲ μεσουράνημα ᾧ ἐπιτελεῖται θεῷ ἢ ἥρῳ ἢ βασιλεῖ, τὸ δὲ δῦνον τῷ ἐπιτελοῦντι τὸν ἀγῶνα ἢ τὰς θεωρίας, τὸ δὲ ὑπόγειον τοῖς ἀκροάμασιν.

276 〈κγ′〉 Περὶ ἐμπράκτων ὡρῶν καὶ ὀνείρων Περὶ δὲ ἐμπράκτων ὡρῶν ἐν παντὶ τῷ ἐγχειριζομένῳ, μάλιστα δὲ μαντικῇ, ἐφορᾶν χρὴ τὸν τοῦ θεοῦ οἰκοδεσπότην, στοχαζομένους μὴ τύχῃ κακοδαιμονῶν ἢ ἐπιδύνων μήτε ἐναντιούμενος τῇ Σελήνῃ ἢ τῷ οἰκοδεσπότῃ αὐτῆς· τούτων γὰρ τῶν σχημάτων γινομένων ἐναντίαι καὶ ψευδεῖς καὶ φόβων πλήρεις αἱ μαντεῖαι ἔσονται. καὶ τοῖς δὲ περὶ κληρονομίας ἢ παρακαταθήκης πυνθανομένοις παραφυλακτέος ὁ οἰκοδεσπότης τοῦ θεοῦ μὴ τύχῃ ἐναντιούμενος τῷ κυρίῳ τοῦ κλήρου μηδὲ αὐτῷ τῷ κλήρῳ· ἐναντία γὰρ ταύτῃ τῇ πεύσει δηλοῖ οὕτω τυχών. 〈κδ′〉 Ἐν ποίαις ἡμέραις τῆς Σελήνης ἀληθεῖς οἱ ὄνειροι Περὶ δὲ πράξεων καὶ τῶν ἐλπίδι τὸ μέλλον θηρωμένων γένοιτο ἂν τὸ τέλος ἐπ’ ἀγαθῷ ἐπὰν τοῦ κλήρου τῆς τύχης καταληφθέντος ὁ κύριος ἐπίκεντρος ἐν ἰδίῳ ζῳδίῳ εὑρεθῇ καὶ τὰ φῶτα εὐχρημάτιστα. χρηματιστικὰς δὲ ἡμέρας ἐν ὀνείροις οἱ παλαιοὶ Αἰγύπτιοι ἐπετήρησαν· τὴν πρώτην ἡμέραν ἀπὸ συνόδου, τὴν δὲ δευτέραν καὶ 〈τὴν〉 τρίτην οὐκ ἐπιτηδείους (λυπηρὰ γὰρ τὰ θεαθέντα), 〈τῇ〉 δ′ δὲ καὶ ε′ καὶ ϛ′ ἀποβαίνει τὰ ὀφθέντα, τῇ δὲ ζ′ ἐν τέσσαρσιν ἡμέραις ἀποβαίνει, ἐν δὲ τῇ η′ 〈ἐν〉 χρόνῳ, ἐν δὲ τῇ θ′ ἀνεκβάτους τοὺς ὀνείρους εἶναι, ἐν δὲ τῇ δεκάτῃ καὶ ια′ εἴσω τεσσάρων ἡμερῶν, ὁμοίως δωδεκαταίας οὔσης καὶ τρισκαιδεκαταίας μετὰ τοῦ καὶ αἰσίως, ἡ δὲ ιδ′ ἱλαρίας σημαντική, ἡ δὲ ιε′ ἔμπρακτος μέν, ἐπιβλαβὴς δέ, ἡ δὲ ιϛ′ καὶ ιζ′ καὶ ιη′ καὶ ιθ′ ἐπιτελοῦσι τὰ ὀφθέντα εἴσω ἡμέρας ι , ἡ κ′ καὶ ἡ κα′ κοιναί, ἡ δὲ κβ′ παραχρῆμα ἐπιτελεῖ τὰ τοῦ ὀνείρου, ἡ δὲ κγ′ ἐν ἡμέραις η , ἡ δὲ κδ′ ἐν ἡμέραις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ιβ , ἡ δὲ κε′ ἐν ἡμέραις κδ ἐπιτελεῖ, ἡ δὲ κϛ′ ἀτέλεστα, ἡ δὲ κζ′ τέλος ἐπάξει, ἡ δὲ κη′ καὶ κθ′ ἐν τρισὶν ἡμέραις, ἡ δὲ λ′ ἀνέκβατος.

277 〈κε′〉 Περὶ αἰτήσεως χάριτος Τοὺς δὲ αἰτοῦντας χάριτας ἐπιτηρεῖν δεῖ τὴν Σελήνην οὖσαν ἐν τῷ ὡροσκόπῳ ἢ ἐν τῷ τούτου τριγώνῳ (ἄμεινον δὲ ὅταν τύχῃ αὐτῆς ὁ οἶκος ἐν ᾧ ἐστιν), προστιθεῖσαν τοῖς φωσὶ καὶ τοῖς ἀριθμοῖς καὶ συσχηματιζομένην Ἑρμῇ καὶ Διὶ καὶ Ἀφροδίτῃ καὶ τοῖς καλῶς κειμένοις, ἀπέστω δὲ ἡ τῶν κακοποιῶν μαρτυρία. καλὸν δὲ ἐπὶ τοῦ αὐτοῦ σχήματος τὰς ἐντεύξεις ποιεῖσθαι γυναικῶν καὶ ἀνδρῶν. 〈κϛ′〉 Περὶ αἱρέσεως καὶ συνθηκῶν Εἴ τις οὖν χρῄζων προσενέγκῃ αἵρεσιν περὶ οἱουδήποτε πράγματος κεῖνον ἀφ' ὡρονόμοιο λογίζεο, σὸν δὲ τὸ δῦνον· ἡ πρᾶξις τὸ μεσουράνημα, τὸ τέλος τὸ ὑπόγειον.

278 ἐπισκόπει δὲ καὶ τὰ ἀνατέλλοντα ζῴδια εἰ ὀρθὰ εἴη ἢ πλάγια, καὶ ἐκ τούτων διανοεῖς τοῦ προσελθόντος τὸν νοῦν. ἀγαθοποιοῦ δὲ ὄντος ἐπὶ τοῦ ὡροσκόπου μὴ φοβηθῇς δόλον. εἰ δὲ τύχῃ κακοποιὸς ἐν τῷ μεσουρανήματι τὸ πρᾶγμα οὐ καλὸν περὶ οὗ τὴν αἵρεσιν προσφέρει καὶ ἀηδίαν προξενεῖ. ὁμοίως ἀπαναίνου κακοποιοῦ ὄντος ἐν τῷ δύνοντι καὶ ἐν τῷ ὑπογείῳ. ἐπισκέπτου δὲ καὶ τὴν Σελήνην πῶς κεῖται ἵνα ἐκ πάντων τὸ ἀληθὲς προμάθῃς. 〈κζ′〉 Περὶ ἐπιστολῶν Πέμπων ἐπιστολὰς ἐπιτήρει τὴν Σελήνην συνοῦσαν τῷ Ἑρμῇ ἢ ἐφορῶσαν 〈αὐτὸν〉 ἄνευ τῆς 〈τῶν〉 κακῶν θεωρίας, ἔστω δὲ 〈ὁ Ἑρμῆσ〉 ἐλεύθερος ἀπὸ τῶν αὐγῶν τοῦ Ἡλίου καὶ προσ〈τιθεὶσ〉 τοῖς ἀριθμοῖς· οὕτω γὰρ ἐὰν ἐπιστείλῃς οὐκ ἀποτεύξει τοῦ σκοποῦ. ἐπιστολῆς δὲ λεγομένης ἐνηνέχθαι γνωσόμεθα ψευδὲς εἶναι 〈τοῦ〉 Τοξότου ὡροσκοποῦντος καὶ Αἰγοκέρωτος καὶ Διδύμων καὶ Ταύρου καὶ Ζυγοῦ ὑπό τινων μετρίων καὶ οἰκετῶν ἢ χάριν τινὸς μετρίου κεκομίσθαι. δεῖ δὲ καὶ τὴν Σελήνην παραφυλάσσειν ἐν τούτοις τοῖς ζῳδίοις καὶ τοὺς φθοροποιούς· ἀπάτης γὰρ αἴτιοι γίνονται συσχηματιζόμενοι. ἐὰν δὲ Κριῷ καὶ Καρκίνῳ καὶ Λέοντι καὶ Παρθένῳ καὶ Σκορπίῳ καὶ Ὑδροχόῳ κομισθείη ἀληθῆ καὶ βέβαια μηνύσει, καὶ μάλιστα ἐφορώντων τῶν ἀγαθοποιῶν. καὶ ταῦτα καθὼς γέγραπται παρὰ τοῖς ἀρχαίοις ἐκτιθέσθω, περὶ δὲ φήμης καὶ ἀγγελίας ὁμοίως σκέπτου.

279 〈κη′〉 Περὶ δανείων Ἀκολούθως τοῖς προτέροις ἔστω ὁ μὲν δανείζων ὁ ὡροσκόπος, ὁ δὲ δανειζόμενος τὸ δῦνον, τὸ δὲ μεσουράνημα τὸ διδόμενον ἀργύριον, τὸ δὲ ὑπὸ γῆν μηνύσει τὴν ἔκβασιν τοῦ χρέους. καὶ ἡ τῆς Σελήνης ἀπόρροια ληφθήσεται εἰς πρόσωπον τοῦ δανείζοντος, ἡ δὲ συναφὴ τοῦ δανειζομένου, ἐκ δὲ τῶν ὠφελούντων ἢ βλαπτόντων ἀστέρων αἱ προαγορεύσεις ἀκολούθως ἕπονται. τινὲς δὲ ἐπισκέπτουσι τὸν Ἥλιον καὶ τὴν Σελήνην, τὴν μὲν Σελήνην εἰς τὸν δανείζοντα, τὸν δὲ Ἥλιον εἰς τὸν χρεώστην, ἐὰν δὲ ᾖ λειψίφως ἡ Σελήνη ἐναντίως. Κακὴ δὲ ἡ Σελήνη ἐν τοῖς συνδέσμοις ἢ ἐν τῷ νοτίῳ ταύτης πλάτει. φυλάττου δὲ δανείζων τὴν τοῦ Ἑρμοῦ μετὰ Κρόνου στάσιν, καὶ ἔτι τῆς Σελήνης ἐν ἀρχῇ τοῦ Λέοντος καὶ τῶν Διδύμων καὶ τοῦ Τοξότου, καὶ ὅτε τούτων αἱ ἀρχαὶ τῶν ζῳδίων γαίης ὑπεραντέλλουσιν. εἰ δὲ λαβεῖν ἐθέλεις αὐτὸς χρέος ὧδέ τοι ἔστω λώιον· Ὑδροχόῳ καὶ Σκορπίῳ ἠδὲ Λέοντι δῖα Σεληναίη καὶ Ἰχθύσιν ἀμφὶς ἐοῦσα ἢ ἐνὶ Τοξευτῇ καί οἱ φάος ἐνδεὲς ἔστω, ὡς δ' αὔτως καὶ ἀριθμός, ἡ δὲ Ἀφροδίτη καὶ 〈ὁ〉 Ζεὺς καὶ ὁ Ἑρμῆς ἐπιμαρτυρήσωσι τῇ Σελήνῃ, πολὺ βέλτιον ἐὰν καὶ τῷ ὡρονόμῳ. 〈κθ′〉 Περὶ ἐγγύης Εἰ δὲ βουληθῇς τινα μὴ ἐγγυήσασθαι δυσωποῦντα ἐπιτήρει τὴν Σελήνην μετὰ Κρόνου καὶ Ἄρεως ἢ καὶ τούτων ὡροσκοπούντων· ἐπιτηρήσας τότε σύντυχε τῷ δυσωποῦντί σε, καὶ τότε ἀσυντέλευτα ἔσται τὰ τῆς ἐγγύης.

280 κατὰ τὰ αὐτὰ δὲ σχήματα τοῦ δανειστοῦ τὴν ἐνόχλησιν διαφύγῃς. 〈λ′〉 Περὶ ἀποδημίας Εἰ δέ νύ τις πάτρηθεν ἐπ' ἀλλοδαπὴν χθόνα βαίνοι αὐτὸν ἀφ' ὡρονόμου, χῶρόν γε μὲν εἰς ὃν ἄπεισιν ἐκ δυτικοῦ κέντρου, πρῆξιν δέ τοι ἐκ μεσάτοιο ὕψεος εὖ φράσσαιο, τί δ' αὖ τέλος ἔσσεται αὐτῷ ζῴῳ ὑποχθονίῳ σάφα κεν μάλα τεκμήραιο. ἐπιζήτει, φησίν, τοὺς ἀγαθοποιοὺς τῶν ἀστέρων ὁποίαν στάσιν ἔχουσι καὶ σχήματα· ἀγαθὸν γὰρ καθολικῶς μηδενὸς τῶν ἀστέρων στηρίζοντος καὶ συσχηματιζομένου τῇ Σελήνῃ τὰς ἐκδημίας ποιεῖν, συμφορώτατον δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποδημεῖν τῆς Σελήνης αὐξούσης τῷ φωτὶ καὶ προστιθείσης τοῖς τε κατὰ μῆκος ἀριθμοῖς καὶ τῷ πλάτει. Παραφυλάττειν δὲ τὰ κέντρα χρή. καὶ ἐν μὲν τῷ ὡροσκόπῳ ἀγαθοποιῶν ἀστέρων τυχόντων ἢ καὶ μαρτυρούντων αὐτῷ ἥδιστα τὰ τῆς ὁδοῦ ἢ τὰ τοῦ πλοῦ ἔσται, συνόντος δὲ τοῦ Ἑρμοῦ αὐτοῖς καὶ ἐπὶ ἑῴας ἀνατολῆς ταχέως καὶ εὐθύμως πράξει τις ὑπὲρ ὧν τὴν ἐκδημίαν ποιεῖται, ἐν δὲ τῷ δύνοντι τυχόντος τοῦ Ἑρμοῦ, μαρτυρουμένου τε ὑπὸ Διὸς καὶ Ἀφροδίτης, βελτίω καὶ ἐπικερδῆ ταῦτα ἔσται καὶ ἀξιόλογα.

281 καθόλου ἐπὶ ἀποδημίας δεῖ Ἑρμῆν σκοπεῖν μὴ ἀφαιρῇ ἢ ὕπαυγος ᾖ καὶ ὑπὸ κακοποιῶν βλάπτηται καθ᾽ οἱονδήποτε σχῆμα, καὶ ὅτε δὲ μέλλῃς εἰς πόλιν εἰσιέναι ἢ ἀπὸ πλοίου ἐξιέναι τοῦτο παραφυλάττου. παρετηρήθησαν γὰρ Ἄρεως δὲ καὶ Κρόνου ἐπόντων τῷ δύνοντι ἢ καὶ θεωρούντων ἀσθένειαι σωματικαί, καὶ ζημίαι καὶ ἐποχαὶ γενήσονται. ἐκ δὲ τῶν θεωρούντων ἀστέρων τὸ μεσουράνημα ἢ καὶ ἐπόντων τὸ πρᾶγμα οὗ χάριν ἡ ἐκδημία γίνεται γνωσθήσεται, τὸ δὲ τέλος ἐκ τοῦ ὑποχθονίου, τὸ κῦρος δὲ πάντων ἐκ τῶν συσχηματισμῶν, μάλιστα τῆς Σελήνης, τελειοῦται, ἣν ἀπαγορευτέον πρὸς τὰς ἐξόδους κακοδαιμονοῦσαν ἢ κακοτυχοῦσαν· οὐ μόνον γὰρ δυσπραξίας αἰτία, ἀλλὰ καὶ πημάτων ὑπουργός. Ταῦτα δὲ καὶ Δωρόθεος ἐν τοῖς ἔπεσιν ἀναδιδάσκει οὕτως· ἐσθλὸς ἐν ὡρονόμῳ βεβαὼς ἐν πᾶσιν ἄριστος, ἐσθλὸς καὶ δύνοντι βεβώς, ἐπικερδέα χῶρον κεῖνον ἐφ᾽ ὅν τις ἄπεισι λέγει κὴν εἵνεκα δόξης εἰς αὐτὸν στέλλοιτο, παρὼν δ᾽ ἐν τῷδε πυραυγής Ἄρης ἢ Φαίνων κρυόεις ὅτε μέν γε βαρείας νούσους, ἄλλοτε δ᾽ αὖτε μάχας, ὅτε δ᾽ ὕβριας αἰνάς. μηδὲ Σεληναίης ἐπὶ δαίμονος οὐλομένοιο ἠὲ τύχης, ὅπερ ἕκτον ἀφ᾽ ὡρονόμοιο, βεβώσης ἄρχοιο ξενίης· ἢ γὰρ τόδε πῆμα φυτεύει ἠὲ δυσεργείην ἢ καὶ βιότῳ τινὰ λώβην. ναὶ μὲν δὴ καὶ ἀνάκτωρας τεκμαίρεο Μήνης ἠδὲ καὶ ὡρονόμου μή που κεκρυμμένοι εἶεν, φέγγεϊ μαρμαρυγῇ 〈τε〉 δεδασμένοι Ἠελίοιο, εἰ δὲ στηρίζει τις ἀπ᾽ ἀμφοτέρων κρατεόντων βραδεῖς τάς κεν ὁδοὺς ἢ πρήξιας ἐκτελέσειεν.

282 καθολικῶς ἐκ παρατηρήσεως ἐν τῷ δυτικῷ κέντρῳ τυχοῦσα ἢ ἐν τῷ τούτου ἀποκλίματι μακρὰς τὰς ἀποδημίας παρέχει, τοῖς τε ἀπὸ ξένης εἰς τὰ οἰκεῖα ἐρχομένοις τὸ αὐτὸ σχῆμα ταχείας τὰς ἀναστροφὰς δηλοῖ. τὸν οὖν τῆς Σελήνης, φησίν, οἰκοδεσπότην καὶ τοῦ ὡροσκόπου ὁρατέον μὴ ὕπαυγοι εἶεν ἢ στηρίζοντες· παρολκὴν γὰρ ἢ ἀπραξίαν ἐργάζονται. παραφυλάσσεσθαι δὲ 〈δεῖ〉 καὶ τετραγωνίζοντας ἢ διαμετροῦντας τοὺς κακοποιοὺς αὐτήν, τῶν δὲ ἀγαθοποιῶν ἀνακραθέντων αὐτοῖς ἀνώμαλον τὴν ὑποστροφὴν ἐπὶ τὰ οἰκεῖα ὑπονοητέον. Ἐπισκοπήσαντα δὲ τὰ κέντρα ἐφορᾶν δεῖ τοὺς μέλλοντας τῶν ἀστέρων ἐκβαίνειν ἐν οἷς ἐστι ζῳδίοις· οὕτω γὰρ αἵ τε ἔξοδοι καὶ ἀποδημίαι μηνυθήσονται, καὶ αἱ ἐπανελεύσεις ἐκ τοῦ ἐπισκοπεῖν πότερον ἐξ ἀλλοτρίου εἰς ἴδιον οἶκον ἢ ὕψωμα ἢ ἔμπαλιν γίνοιτο ἡ μετάβασις· ἐκ τούτου γὰρ καταφανὲς ἔσται τὸ τῆς ἀποδημίας καὶ τῆς ἐπανελεύσεως. καὶ οἱ μὲν στηριγμοὶ τὰς ἐπιμονὰς δηλοῦσι καὶ ὑποστροφὰς ὥσπερ αἱ δύσεις θανάτους ἢ πάντως ἀπραγίας, αἱ δὲ ἀνατολαὶ ταχίστας ἀποδημίας ποιοῦσιν, δηλαδὴ τῶν τῆς Σελήνης σχηματισμῶν καὶ τῶν κέντρων τῆς καταρχῆς ἐχόντων μαρτυρίαν καὶ λόγον πρὸς τοὺς προειρημένους.

283 Ἐπιτηρητέον δὲ μάλιστα τὴν Σελήνην διαμετροῦσαν τὰ κάθυγρα τῶν ζῳδίων ἢ καὶ ἐποῦσαν τῶν κακοποιῶν αὐτὴν θεωρούντων κατὰ τὰ κραταιὰ σχήματα, τουτέστι διάμετρα καὶ τετράγωνα· χαλεπώταται γὰρ αἱ τοιαῦται καταρχαὶ ταῖς ναυσὶ καὶ τοῖς πλέουσιν. ἐπὰν δὲ ἡ Σελήνη μὲν κακωθῇ, τὰ δὲ κάθυγρα τῶν ζῳδίων ὑπὸ τῶν ἀγαθοποιῶν μαρτυρῶνται, αὔτανδρον μὲν τὸ σκάφος οὐ φθαρήσεται, τινὲς δὲ δύνανται σωθῆναι, καὶ οἱ πλεῖστοι δὲ διαλυθέντος τοῦ σκάφους, καὶ τακτοῖς ἕκαστος ἐπανελεύσεται χρόνοις εἰς τὰ οἰκεῖα κατὰ τὴν τῆς ἐπιβάσεως εἰς τὴν ναῦν σύγκρισιν. ἡ μὲν γὰρ ἀναγωγὴ τὰ κατὰ τὴν θάλασσαν καὶ τὸν πλοῦν σημαίνει, ἡ δὲ ἐπίβασις ἡ εἰς τὴν ναῦν τὰ κατὰ ἕνα ἕκαστον τῷ τάχει τῆς μεταπτώσεως τῶν κέντρων ἀλλοιοῦσα τὰ πράγματα· ἐπὶ δὲ τῶν ὁδευόντων ὁμοίως τὰ χερσαῖα καὶ τὰ τετράποδα τῶν ζῳδίων ἐπισκοπεῖν χρή. ἐπίμονα δὲ ἔσται πολλῷ μᾶλλον τὰ κακὰ ὁπόταν οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κακοποιοὶ ἐν αὐτοῖς στηρίζωσι μετὰ τοῦ καὶ παλινδρομιῶν τινων ἢ νόσων ποιῆσαι πειρασθῆναι. Κυρίως δὲ τοῖς πλέουσι κοινωνοῦσιν ὅ τε ὡροσκόπος καὶ ἡ Σελήνη χωρὶς τῶν ε πλανητῶν, οὕτω τυχοῦσα σύμφορος. ἐν Διδύμοις συνοίσει (εἰ καὶ βραδέα τὰ κατὰ τὸν πλοῦν) καὶ Καρκίνῳ καὶ Αἰγοκέρωτι καὶ Ὑδροχόῳ καὶ Ἰχθύσιν. ἀσύμφορον δὲ ἐν Κριῷ· οὐ μόνον γὰρ πλοῦ, ἀλλὰ καὶ ἐμπορίας κατάρχεσθαι ἀηδές (ὁ δὲ Δωρόθεος οὐ δέχεται τοῦτο), παρατηρητέον δὲ καὶ ἐν Ταύρῳ καὶ Λέοντι τοῖς μὴ ἐκ τῆς ἰδίας ἐκδημοῦσιν.

284 μὴ ἔστω δὲ ἡ Σελήνη λειψίφως μηδὲ ἐν συνόδῳ μετὰ Κρόνου ἢ ἐν πανσελήνῳ μετὰ Ἄρεως. Τὰς δὲ πορείας ποιεῖσθαι αὐτῆς οὔσης ἐν Κριῷ σύμφορον (ταχεῖα γὰρ αἱ ὑποστροφαὶ γίνονται), συνοίσει δὲ καὶ ἐξ ἀποδημίας εἰς τὰ οἰκεῖα ἐπανιέναι. καλὸν δὲ ἐν Ταύρῳ ὁδοῦ κατάρχεσθαι καὶ ἐπανιέναι οἴκοι. ἐν Διδύμοις χρόνιος ἡ ἀποδημία ἔσται. ἀπὸ δὲ τῆς ξένης ἄρχεσθαι εἰς τὰ οἰκεῖα ἐπανιέναι συνοίσει ἐν Καρκίνῳ ὁμοίως τοῖς Διδύμοις. φυλάσσεσθαι δὲ 〈ἐν〉 Λέοντι τὸ ἀποδημεῖν εἴσω ιε μοιρῶν, ἀπὸ δὲ ιε′ μοίρας ἕως λ′ ἧσσον τὸ κακόν. ἐν Παρθένῳ καλὸν εἰς τὰ οἰκεῖα ἐπανιέναι. ἐν Ζυγῷ μετὰ τὴν α′ μοῖραν καλόν. ἐν Σκορπίῳ τὸ ὁδοιπορεῖν καὶ εἰς τὰ ἴδια ἐπανιέναι σύμφορον. ἀνάρμοστον δὲ ἐν Τοξότῃ (πλάνη γάρ τις ἔσται), ἐπανελθεῖν δὲ εἰς τὰ οἰκεῖα καλόν, ὁμοίως δὲ καὶ ἐν Αἰγοκέρωτι καὶ Ὑδροχόῳ. ἐν δὲ Ἰχθύσι σύμφορον τοῖς εἰς πόλεμον ἐξιοῦσιν. χρὴ δὲ ἐπιλεξάμενον τὸ ἁρμόζον ζῴδιον τῇ ἀποδημίᾳ ἐφαρμόζειν αὐτὸ τῇ τῶν ἀγαθοποιῶν μαρτυρίᾳ πρὸς αὐτό τε καὶ τὰ κέντρα καὶ οὕτω κατάρχεσθαι. Ἐπετήρησαν δὲ οἱ 〈...〉 μερικῶς τὰ κατὰ τὸν πλοῦν ἢ τὴν ὁδὸν καὶ ἐπέγνωσαν οὕτως· συναγαγόντες γὰρ τὰ σημεῖα τῆς πορείας ἢ τοῦ πλοῦ τὰ στάδια καὶ μερίσαντες εἰς ἓξ μερίδας, ὡς ἑκάστῳ τῶν ζῳδίων ἀπὸ τοῦ ἀνατέλλοντος ἄχρι τοῦ δύνοντος ἐπιβάλλειν μερίδα μίαν, τὴν α′ ἀπονέμουσι τῷ ὡροσκόπῳ 〈τῷ〉 σημαίνοντι 〈τὸ πρῶτον ἑκτημόριον τοῦ διαστήματος τῆς ὁδοῦ〉 καὶ τὴν β′ τῷ ιβ′ καὶ ἑξῆς, καὶ τὴν τελευταίαν τῷ δύνοντι τῷ δηλοῦντι τὸ κατάλυμα τῆς ὁδοῦ.

285 ἔπειτα τὴν τῶν ἀστέρων κοινωνίαν πρὸς ἕκαστον ζῴδιον διαιροῦσιν· δηλαδὴ τῶν ἀγαθοποιῶν μὲν μαρτυρούντων ἀγαθὰ καὶ εὐοδίαν μηνυτέον, τῶν δὲ κακοποιῶν ὁμοίως τὸ ἐναντίον, τῶν στηριγμῶν δηλούντων κατοχὴν καὶ ἀναποδισμοὺς καὶ δυσχερείας ἐν τοῖς τόποις ἐν οἷς ἀναλόγως καὶ τὰ ἑκτημόρια συμβαίνει τοῦ πλοῦ ἢ τῆς ὁδοῦ ἀπὸ τῆς τῶν ζῳδίων διαστάσεως, τοῦ τε Ἄρεως ναυαγίου αἰτίου τυγχάνοντος, καὶ μάλιστα τοῦ κατὰ κορυφὴν τόπου βλαπτομένου παρ᾽ αὐτοῦ. Καὶ ταῦτα μὲν ὁ Νικαεὺς Πρωταγόρας, ὁ δὲ Δωρόθεος ἐν τοῖς ἔπεσι περὶ ἀναγωγῆς ταῦτα· πλωέμεναι χατέουσιν ἀληθέα ταῦτά κεν εἴποις. εὖτε Σεληναίῃ μή τις κακὸς ἠέπερ ἐσθλός μαρτυρέοι καὶ δ᾽ αὐτὴ ὑπερχθονίη φορέοιτο τῶν πρώτων Κριοῖο παρερχομένη μοιράων εἰς δεκάτην οὕτω κ〈εν〉 εὔπλους τεκμαίροιο. Ταύρῳ δὲ μέγα χεῖμα, κακὸς δέ 〈ἑ〉 μή τις ὁράτω, λυγρὸν ἐπεὶ τούτοις ἔργου τέλος αἰὲν ὁμαρτεῖ. ἐν Διδύμοις εὖτ᾽ ἄν τις ἀπ᾽ ὀγδοάτης ἀνάγηται νόστος μὲν χρόνιος τότε ἔσται, ἀλλ᾽ ἐπιτερπής. Καρκίνος αὖ πολλαῖς κεν ἀνιήσειε γαλήναις, ἀλλ᾽ οὐδὲν βλαφθεὶς ἀφίκοιτό κεν ἧχι θελήσει. 〈αἴ〉 κε κατὰ βλοσυροῖο τύχῃ καθιεῖσα Λέοντος ἔσται τις κίνδυνος ὕπερθ᾽ ἁλὸς ἀνέρι τούτῳ, μαρτυρέων δ᾽ ὀλοός τις ἐπ᾽ ἄλγεσιν ἄλγεα θήσει. ναὶ μὴν Παρθενικὴ σταχυηφόρος οὔτι περ ὠκύν οἴσει σινομένοις πλόον ἀνδράσιν.

286 ἀμφὶ Ζυγῷ δέ ἐκ μοίρης δεκάτης οὐ μέμψεται οὐδὲ κέλευθον ὑγρὴν οὐδέ περ ἄλλο καὶ ἣν εἰς οἶκον ἴῃσι. Σκορπίῳ ἀμφὶς ἐοῦσα τὰ μὲν κατὰ πόντον ἐκείνοις ἀσφαλέως θήσει, ψυχὴν δ᾽ εἴωθε ταράσσειν. Τοξευτὴς χειμῶνα φόβους τ᾽ ἐπισύρεται ἄλλους. εὔπλοος Αἰγόκερως ὅτ᾽ ἀμείψεται ἐννέα μοίρας, ἔμπης δ᾽ αὖτε καὶ αὐτὸς ἄγει ταραχήν τινα θυμῷ. νωθὴς Ὑδροχόος, τὸ δέ τοι τέλος οὐκ ἐπίμεμπτον. Ἰχθύσι δ᾽ αὖ κίνδυνα, νόσον τ᾽ ἐπὶ τοῖσιν ἔσεσθαι σημαίνει, Θουροιο μάλιστα 〈δὲ〉 δερκομένοιο λυγρῇ μαρτυρίῃ, πεφύλαξο δὲ νήϊον ἱστόν. Φησὶ γὰρ ἐν τοῖς ἑξῆς· μὴ ἔστω ἡ Σελήνη συνάπτουσα τῷ Κρόνῳ στηρίζοντι μήτε τετράγωνος. λέγει γὰρ ὅτι ἐὰν καὶ τριγωνίζῃ καὶ οὕτω μόγις σωθήσονται ἐκβαλόντες τὰ φορτία, συνδιατιθέντος δὲ μετ᾽ αὐτῶν

στηρίζοντος καὶ τοῦ Ἑρμοῦ πλείονα καὶ χείρονα τὰ κακὰ ἔσται, ἀγαθοποιοῦ δὲ ὁρῶντος ἐλαφρὰ τὰ κακά. εἴκελα δ’ αὖ τούτοις ῥέζει Κρόνος ὡρονομεύων καὶ χωρὶς Μήνης ἑλικώπιδος, εἰ δ’ ἐν ζῴῳ εἴη ὅπῃ καὶ πρόσθεν ὅτ’ ἔκπεσε μητέρος ἀνήρ ἠὲ τρίγωνος ἐὼν ἢ καὶ τετράγωνος ἐκείνῳ ἠὲ καὶ ἀντικρὺ τότε κεν μήκιστα γένοιτο. εἰ δὲ θέσιν τοίην οἵην Φαίνοντος ἔλεξα σχοίη Ἄρης Μήνης καθ’ ὑπέρτερον ἡμισφαίριον ἐρχομένης (τουτέστιν εἰς τὸ δέκατον ἀπ’ αὐτοῦ ἐρχομένης) μάλιστα κακὰ σημαίνει καὶ μίση καὶ στάσεις καὶ ἐν αὐτῇ τῇ νηῒ καὶ ἕως αἱμαγμοῦ.

287 〈ἐὰν δὲ καὶ ὁ Ἑρμῆς συγκακώσῃ χείρονα γίνεται, ἐὰν δὲ ἀγαθοποιοὶ ὁρῶσιν ἐλαττοῦνται τὰ κακά.〉 εὖτε δέ κεν Πυρόεις Φαίνων θ’ ἅμα καὶ τρίτος Ἑρμῆς τοίην ἄλλοθεν ἄλλος ἐπισκοπέῃσι Σελήνην ἤπερ καὶ ἐξ ὁμόθεν στυγερὸς καὶ ἄφυκτος ὄλεθρος, ἶσα δὲ καὶ Στίλβοντι μιγεὶς ὀλοφώιος Ἄρης. ἣν δὲ Κρόνος καὶ Ἄρης ὁ 〈μὲν〉 Ἥλιον, ὃς δὲ Σελήνην δέρκηται, καὶ τοῖσιν ἀεικέα λυγρὰ πιφαύσκει. Ζεὺς δ’ ὅτε τετράπλευρος ἄνω χθονὸς εἴδετ’ ἰοῦσαν ἠύκερον Μήνην τότε κεν πλόος ἔσσεται ἐσθλός, καὶ πρῆξις τούτοις καὶ ἐλπίδες αἱ κατὰ θυμόν ἕψονται, μάλα δ’ αὖ κεν ἐπὴν ἐρόεσσα Κυθήρη Αἰγιόχῳ λεύσσῃσιν ὁμοῦ, κὴν ἄλλοθεν αὐτή ὀσσομένη τότε πολλὰ χαρίσσεται οἷα λέλεκται. καλὰ δὲ καὶ μουνὰξ κραιπνὴν ὁρόωσα Σελήνην δώσει Κύπρις ἄνασσα καὶ ὠφελίας τινὰς ὠκεῖς καὶ πλόον ἠρεμέοντα γυναικείους τ’ ὀαρισμούς, 〈ἀλλὰ χωρὶς Διὸς ἧττον ὠφελεῖ, μετὰ δὲ Διὸς καὶ μᾶλλον ὠφελεῖ. Ἀφροδίτη ὕπαυγος ὑπὸ γῆν οὖσα μετὰ Σελήνης εὐδίας 〈τε〉 καὶ νηνεμίας παρέχει, καὶ χρονίζουσιν οἱ ἀναγόμενοι ἐν τῷ πλῷ.〉 εὖτέ γε μὴν φάεσσι δυσὶν νωμήτορες ἐσθλῶν, Ἠελίῳ Μήνῃ τε, σὺν Ἑρμάωνι γένωνται μάρτυρες οὐκ ἔσται τούτου πλόος ἄλλος ἀμείνων.

288 ἡνίκα δ’ ὡρονόμῳ κακομήτιες ἐγγεγάωσιν ἀστέρες, εὐέρκται δὲ θοῇ συνέωσι Σελήνῃ, ἢ καὶ ἐναλλάγδην, σκαιὴν ποιοῦσι θάλασσαν. 〈Σελήνη ἀμαρτύρητος οὖσα ὑπὸ πάντων τῶν ἀστέρων καὶ κενοδρομοῦσα, ὁ δὲ ὡροσκόπος ἔχων τι ζῴδιον τῶν πρὸς τὸ πλεῖν ἐπιτηδείων (οἷον Ταῦρον, Διδύμους, Ἰχθύας, Αἰγοκέρωτα, Καρκίνον, Παρθένον, Τοξότην) μετά τινος τῶν ἀγαθοποιῶν, ἀγαθὸν τοῖς ἀναγομένοις· Σελήνη καὶ ὡροσκόπος ἀμαρτύρητοι ὑπὸ πάντων τῶν ἀστέρων κενοδρομοῦντες ἐὰν ἐπέχωσιν ἐκ τῶν πρὸς τὸ πλεῖν ἐπιτηδείων ζῳδίων τῶν προλελεγμένων οὐκ ἔστι κακὸν τοῖς ἀναχθεῖσιν. ἐξαιρέτως δὲ χρὴ τὴν Σελήνην ὁρᾶν ἵνα μὴ βλάπτηται καθ’ οἱονδήποτε τῶν ἐκκειμένων τρόπων ἐν τῷ β′ κεφαλαίῳ τούτου τοῦ βιβλίου. τότε δὲ λογίζου τὴν τοῦ πλοῦ καταρχὴν ὅταν οἱ ναῦται τὴν ἄγκυραν ἐκ τῆς ψάμμου ἑλκύσωσιν, τοῦ δὲ πλέοντος ἐν τῇ νηῒ ἑκάστου ἡ καταρχὴ τότε ἐστὶν ἡνίκα τὸν πόδα εἴσω τῆς νηὸς θήσει.〉 Εἰ δὲ βούλει μαθεῖν εἰ βραδύνει ἐπὶ τῆς ξένης ἢ οὐ ὅταν ἐπιβῇ τῆς πόλεως ἐκείνης πρὸς ἣν ὁδεύσει σκόπει τὸν β′ τόπον τοῦ ὡροσκόπου τῆς εἰς τὴν πόλιν εἰσόδου καὶ τὸν τούτου κύριον, καὶ εἰ μὲν οὗτος ἀναποδίζει ταχέως ἐξελεύσεται κενὸς καὶ ἄπρακτος, εἰ δὲ στηρίζει καὶ οὕτω πάλιν μετὰ τοῦ ἄπρακτος εἶναι καὶ χρονοτριβήσει ἐν τῇ πόλει.

289 καὶ τούτων ὄντων ἐὰν μὲν ὁ αὐτὸς οἰκοδεσπότης τύχῃ δύνων νόσων καὶ ἀηδίας αἴτιος γίνεται τῷ εἰσιόντι· εἰ τύχῃ ἐν τῷ ὑπογείῳ σκέπτου μὴ καὶ θανάτου αἴτιος γένηται, ἐὰν δὲ εὑρεθῇ προσθετικὸς καὶ ὢν ἐπὶ τοῦ ὡροσκόπου ἢ ἐπὶ τοῦ μεσουρανήματος εὖ πράξας ταχέως ἐξελεύσεται. 〈Σκέπτου δὲ καὶ τὸν Ἥλιον τῆς ἐξόδου καὶ τὰ τούτου τετράγωνα καὶ διάμετρα, καὶ εἰ μὲν ἀγαθοποιοὶ εἶεν ἐν τούτοις ἡ ἐπάνοδος καλὴ καὶ ταχεῖα ἔσται, εἰ δὲ κακοποιοὶ σκόπει πότε ἀλλάξουσι τοὺς τόπους καὶ ἀντ’ αὐτῶν ἀγαθοποιοὶ εἰσελεύσονται, καὶ τότε τὴν ἐπάνοδον ὑπονοητέον ἢ ὅτε ἀποκαθίσταται ὁ Ἥλιος ἢ ἔλθῃ εἰς τὰ ἴδια τετράγωνα καὶ διάμετρα· καὶ τὴν Σελήνην δὲ ὁμοίως τῷ Ἡλίῳ σκέπτου. δεῖ δὲ καὶ τοῦτο παρατηρεῖν· ὅταν τις εἰς πόλιν εἰσέλθῃ σκόπει τὰ δ κέντρα ὑπὸ τίνων ὁρᾶται καὶ ἡ Σελήνη πρὸς τίνας φέρεται. παρετηρήθη γὰρ ὁ Καρκίνος οὐκ ἀγαθὸς ὡροσκοπῶν ἐν τῇ εἰσόδῳ τῆς πόλεως· οἱ γὰρ συντυγχάνοντες αὐτῷ ἔσονται κνιποί, καὶ οὐδὲν κερδανεῖ, εἰ δὲ καὶ δοῦναί τι μέλλει πλέον δώσει τοῦ ὀφειλομένου.〉 ἴσθι δὲ 〈καὶ τοῦτο καθόλου〉 ὅτι ὁ Ἄρης ἀπὸ τοῦ Τοξότου τὴν Σελήνην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁρῶν φαύλῳ σχήματι πληγὰς ἐπάγει κατὰ τὴν ὁδὸν ἢ ἑτέρας περιστάσεις. 〈 〈λα′〉 Περὶ νοσοῦντος Ἰστέον ὅτι οἱ ἀρξάμενοι νοσεῖν τῆς Σελήνης φερομένης πρὸς ἀγαθοποιούς, ἐν τῷ α′ τετραγώνῳ (τουτέστιν ἐν ἡμέραις ζ ) κριθείσης τῆς νόσου, ὑγιανοῦσιν, καὶ μάλιστα ὅταν καλῶς ἐρχομένη ἐπὶ τὸ τετράγωνον συνάπτῃ πάλιν ἀγαθοποιοῖς.

290 (1t) πρὸς κακοποιοὺς γὰρ φερομένη ἐπίτασιν τοῦ κακοῦ ποιήσει μέχρι τῆς διαμέτρου, εἰ δ’ ἅμα κακοποιῷ ἀγαθοποιὸς εὑρεθείη ἄνεσις ἔσται καὶ ἐπίτασις ἔσται ἀναμίξ. αἱ δ’ ἀπὸ πανσελήνου γινόμεναι νόσοι ἐλαφρότεραί εἰσιν ὡς πρὸς τὰς ἀπὸ συνόδου· ἐπικουφίζει γὰρ λειψιφωτοῦσα ἡ Σελήνη τὰ πάθη. ἐὰν δὲ συμβῇ μὴ κρίσιμον ἡμέραν γενέσθαι ἐν ὅλῳ τῷ μηνὶ ἀνάγκη παρατεῖναι ὡς ἐπίπαν τὴν νόσον ἕως τοῦ τετραγώνου τῆς τοῦ Ἡλίου ἐπιπορεύσεως. ἐπὶ δὲ τῶν ἐν ὀλίγαις ἡμέραις κρινομένων καὶ ἀνισταμένων εὑρίσκεται ἡ Σελήνη ἀπὸ πανσελήνου διελθοῦσα τὸ α′ τετράγωνον καὶ τὴν β′ διχότομον ὡς συμβαίνειν ἐπὶ τὴν σύνοδον ἢ τὸ συνοδικὸν ζῴδιον ἕξ που ἡμέρας ἢ ε ἢ δ ἢ τοὐλάχιστον γ ὑπολείπεσθαι τῆς πορείας ταύτης ἐν αἷς τὰ τῆς ὑγείας ἀποκαθίσταται. τὸ δ’ αὐτὸ καὶ ἀπὸ τῆς α′ διχοτόμου συμβαίνει μέχρι πανσελήνου· τοσοῦτος γὰρ ἀριθμὸς συνάγεται ἡμερῶν ἐν ᾧ χρόνῳ τοῦ προτέρου διαστήματος ἀπαλλαγεῖσα ἡ Σελήνη ἐφ’ ἑτέραν τρέπεται σχήματος εὐκρασίαν. Παραφυλακτέον δ’ 〈ὅτι〉 ὁπόταν κατακλίσεως γενομένης Σελήνη ἀπέχῃ ἓν ζῴδιον ἀπὸ τῆς συνόδου ὁ κατακλιθεὶς οὐ παύσεται τῆς νόσου, ἀλλ’ ἀρξαμένης αὐτῆς φωτίζεσθαι καὶ αὐξανομένης ἐπίτασιν καὶ ἡ νόσος λαμβάνει. αἱ τοιαῦται οὖν νόσοι ἢ θανάσιμοί εἰσιν ἢ δυσθεράπευτοι, καὶ ἐπισημασίαι δὲ γίνονται καὶ ἀνέσεις κατὰ τοὺς τῆς Σελήνης σχηματισμούς· μόνοι μὲν γὰρ τριταῖοι κρίνονται ἐκ ζῳδίου εἰς ζῴδιον μεθισταμένης αὐτῆς, οἱ δὲ τεταρταῖοι κατὰ ἑξάγωνον, ἐναταῖοι δὲ εἰς τὸ τρίγωνον, τεσσαρεσκαιδεκαταῖοι δὲ εἰς τὸ διάμετρον, μιᾶς δὲ καὶ κ′ ἐν τῷ δεξιῷ τετραγώνῳ γενομένης αὐτῆς ὡς συμβαίνειν διὰ τοσούτων σχημάτων τὰς κρίσεις γίνεσθαι.

291 καὶ τῶν μὲν φθοροποιῶν ἐπιθεωρούντων ἐπιτάσεις γίνονται τοῦ κακοῦ, τῶν δὲ ἀγαθοποιῶν ἀνέσεις. συμβαίνει δὲ τὴν ἑβδομαίαν προλαμβάνειν μὲν εἰς τὴν ς′, ὑστερίζειν δὲ εἰς τὴν η′ τῆς Σελήνης ποτὲ μὲν ἐλάχιστα κινουμένης, ποτὲ δὲ μέγιστα· ὅθεν καὶ συμβαίνει ἀκριβῶς μὴ εἰδέναι τινὰς τῶν ἰατρῶν τῷ μὴ προσέχειν τῇ τῆς Σελήνης κινήσει. Δεῖ δὲ γινώσκειν καὶ ποῖον τῶν τοῦ ἀνθρώπου μελῶν ὑφ’ ἑκάστου τῶν ζῳδίων κυριεύεται· ἡ μὲν γὰρ κεφαλὴ ὑπὸ τοῦ Κριοῦ, ὁ δὲ αὐχὴν ὑπὸ τοῦ Ταύρου, οἱ δὲ ὦμοι καὶ οἱ βραχίονες ὑπὸ τῶν Διδύμων, αἱ δὲ πλευραὶ καὶ τὸ στέρνον ὑπὸ τοῦ Καρκίνου, ὁ θώραξ ὑπὸ τοῦ Λέοντος, ἡ κοιλία καὶ τὰ σπλάγχνα ὑπὸ τῆς Παρθένου, οἱ γλουτοὶ ὑπὸ τοῦ Ζυγοῦ, τὰ αἰδοῖα καὶ ἡ ἕδρα ὑπὸ τοῦ Σκορπίου, οἱ μηροὶ ὑπὸ τοῦ Τοξότου, τὰ δὲ γόνατα ὑπὸ τοῦ Αἰγοκέρωτος, αἱ δὲ κνῆμαι ὑπὸ τοῦ Ὑδροχόου, οἱ δὲ ἄκροι πόδες ὑπὸ τῶν Ἰχθύων. σκέπτου οὖν ποῖον τῶν ιβ ζῳδίων κατὰ τὴν πῆξιν τῆς γενέσεως ἐκακοῦτο ὑπό τινος τῶν κακοποιῶν ἀστέρων. καὶ ἐὰν συμβῇ γενέσθαι καὶ τὴν καταρχὴν τοῦ νοσήματος ἐν τῷ κεκακωμένῳ ἐξ ἀρχῆς ζῳδίῳ τῆς Σελήνης οὔσης, οἱ δὲ χρόνοι οἱ ἀπὸ τοῦ ὡροσκόπου ἐκβαλλόμενοι καταντήσωσιν εἴς τι ζῴδιον τοιοῦτον ὁποίῳ ἦν κατὰ τὴν πῆξιν ὁ Κρόνος ἢ ὁ Ἄρης ἢ αἱ τῶν φωστήρων ἢ τῶν κέντρων ἢ τῶν κλήρων ἀφέσεις ἐκβαλλόμεναι εἰς τὰς φθαρτικὰς τῶν κακοποιῶν ἀκτῖνας ἐμπέσωσιν, χαλεπωτάτη γίνεται ἡ νόσος. εἰ μὲν γὰρ ἀπὸ Ἄρεως ἀπορρέοι ἢ ἀπὸ Κρόνου ῥευματισμοὶ ἔσονται ἢ νεύρων ἀλγηδών. ἐὰν δὲ οἱ κατὰ τὴν γένεσιν κακοποιοὶ ἐν δισώμοις ὄντες ζῳδίοις, καὶ μάλιστα ἐν Διδύμοις καὶ Ἰχθύσι διὰ τὸ ταῦτα τὰ ζῴδια τετμῆσθαι ἀπ’ ἀλλήλων—ἐὰν οὖν οὕτως ἔχοντες οἱ κακοποιοὶ ὡς εἴρηται ἐξ ἀρχῆς μέσην περιέχωσι τὴν Σελήνην ἐν μὲν Διδύμοις ὄντες χειράγραν ἐπιφέρουσιν, ἐν δὲ Ἰχθύσι ποδάγραν. 〈λβ′〉 Περὶ χειρουργίας Τὰς δὲ χειρουργίας τῶν μελῶν ποιεῖσθαι χρὴ τῆς Σελήνης ληγούσης καὶ πρὸς τοὺς ἀγαθοποιοὺς φερομένης ἢ συνούσης αὐτοῖς.

292 (1t) παρατηρητέον δὲ αὐτὴν οὖσαν ἐν Ταύρῳ καὶ Παρθένῳ καὶ Αἰγοκέρωτι καὶ Ἰχθύσιν· ταῦτα γὰρ τὰ ζῴδια σπασμῶν αἴτια γίνονται. ἔτι δὲ παρατηρητέον αὐτὴν οὖσαν ἐν τοῖς τροπικοῖς καὶ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνόδῳ τοῦ Ἡλίου καὶ ἐν τοῖς ἐκλειπτικοῖς συνδέσμοις. καὶ ἔτι ἐκεῖνο τὸ μέλος οὐ δεῖ χειρουργεῖν ὅπερ οἰκειοῦται κατὰ φύσιν τῷ ζῳδίῳ ἐκείνῳ ἔνθα ἐστὶν ἡ Σελήνη· ἕκαστον δὲ τῶν τοῦ ἀνθρώπου μελῶν τίνι τῶν ιβ ζῳδίων ᾠκείωται ἀνωτέρω δεδηλώκαμεν. τοὺς δὲ ὀφθαλμοὺς χρὴ χειρουργεῖν καὶ θεραπεύειν τῆς Σελήνης πληθούσης τῷ τε φωτὶ καὶ τοῖς ἀριθμοῖς καὶ συναπτούσης τοῖς ἀγαθοποιοῖς χωρὶς τῆς τῶν κακοποιῶν μαρτυρίας. Ὁ δὲ Δωρόθεος ἐν τοῖς περὶ χειρουργίας τὰ αὐτὰ λέγει, πρὸς τούτοις δὲ καὶ τάδε φησίν. οὐ μόνον δεῖ τὴν Σελήνην ἀλλὰ καὶ τὸν ὡροσκόπον ἀκάκωτον εἶναι φυλάσσειν, ἔτι δὲ καὶ ἐὰν κακοποιὸς ἐπίκεντρος ὢν ἀναποδίζῃ ἀποδοκιμάζειν καὶ τοῦτο. Σελήνης δέ, φησίν, οὔσης ἐν τροπικῷ ζῳδίῳ ἢ δισώμῳ εἰ μὲν συνάπτει αὐτῇ ἀγαθοποιὸς δεῖ χειρουργεῖν, ἄνευ δὲ ἀγαθοποιοῦ οὐ δεῖ· ὑποτροπιασμὸς γὰρ γίνεται καὶ πάλιν ἐκ δευτέρου χειρουργία ἐν τοῖς τοιούτοις ζῳδίοις ἄνευ τῶν ἀγαθοποιῶν.

293 〈λγʹ〉 Περὶ νόσων ........................〉 κρύψας ἐνέθηκεν φαρμακόεν λύσεις. ἀτὰρ οὔτι γε Καρκίνος αἴθων οὔτε Λέων τούτοισιν ἐπάρκιος. ἡ δέ νυ Κούρη ἐσθλὴ καὶ Ζυγὸς ἶσον. ἀτὰρ χθόνα ποσσὶν ἀμύσσων Σκορπίος οὐκέτι τοῖος. Ὀιστευτῆρι τε ῥέξειν ἠδὲ καὶ Αἰγοκερῆι. καθ’ Ὑδροχόου δὲ βεβώσης ὥρης ἢ Μήνης ἀνεμώλια πάντα τελέσσεις. ἐν δέ τοι Ἰχθύσιν ἔστιν ἀπὸ ἕο λυγρὰ διώκειν. Ζεὺς δὲ καὶ Ἀφρογενὴς 〈ὥρῃ〉 Μήνῃ τε παρέστων ἠέ νυ λευσσόντων· σκεδάσουσι γὰρ αὐτίκα πῆμα. 〈λδʹ〉 Περὶ ἐμέτου καὶ καθάρσεως Τοὺς δὲ ἐμέτους καὶ τὰς καθάρσεις συνοίσει ποιεῖσθαι τῆς Σελήνης ληγούσης καὶ πρὸς τοὺς ἀγαθοποιοὺς συσχηματιζομένης ἢ συναπτούσης. παραφυλάσσεσθαι δὲ δεῖ μήτε ἐν Κριῷ μήτε ἐν Ταύρῳ τὴν στάσιν ἐχούσης παραλαμβάνειν τι τῶν τοιούτων· βλαβερὸν γὰρ διότι μαρυκᾶται ταῦτα. ἁρμόζει δὲ ἐμεῖν αὐτῆς οὔσης ἐν τῷ Ἀναβιβάζοντι, καθαίρειν δὲ τὴν κοιλίαν ἐπὶ τοῦ Καταβιβάζοντος.

294 〈λεʹ〉 Περὶ καινῶν σκευῶν χρήσεως Σκεύεσι δὲ ἢ ἱματίοις πρῶτον χρηστέον τῆς Σελήνης ἔν τε Κριῷ καὶ Ταύρῳ καὶ Καρκίνῳ καὶ Παρθένῳ καὶ Σκορπίῳ καὶ Ἰχθύσι τῷ τε φωτὶ αὐξανομένης καὶ μετὰ τῶν ἀγαθοποιῶν φερομένης ἢ καὶ ὡροσκοπούντων τούτων ἄνευ τῆς τῶν φθοροποιῶν κοινωνίας καὶ συνόδου. 〈λϛʹ〉 Περὶ δείπνου Ἤδη δέ τινες ἐξέθεντο πῶς χρὴ εἰδέναι τὰ περὶ δείπνου καὶ πῶς ἀποβήσονται οὕτως. διαπήξαντα τὰ κέντρα δεῖ ἀπονεῖμαι μὲν τῷ ὡροσκόπῳ τοῦ δείπνου τὴν ἀρχήν, τῷ μεσουρανήματι τὸν δειπνοποιὸν καὶ τοὺς ὑπηρέτας. ἐστόχασται δὲ καὶ περὶ τῶν λοιπῶν ζῳδίων ὥστε τὸ μὲν τρίτον ζῴδιον τάξαι τοῖς σκεύεσιν, τὸ δὲ δʹ τῷ ἐν ᾧ τόπῳ τὸ δειπνητήριον, τὸ εʹ τοῖς κεκλημένοις, τὸ ϛʹ τῷ οἴνῳ, τὸ ζʹ ταῖς κύλιξιν, τὸ ηʹ τοῖς ἀπαντῶσιν, τὸ θʹ τῷ μαγείρῳ, τὸ δέκατον παραληπτέον καὶ ἐπὶ τοῦ ὀψωνοῦντος, τὸ ιαʹ τῇ 〈παρασκευῇ, τὸ ιβʹ τῇ〉 τῆς οἰκίας δεσποίνῃ. πεπηγμένων 〈δὲ〉 τούτων ἐπιθεωρητέον τὰ ζῴδια ὅπως ἕκαστον ἔχῃ καὶ σχηματίζοιτο πρὸς τοὺς ἀστέρας καὶ τίνες αὐτῶν ἰδιοτοποῖεν. ἐκ δὲ τῆς θεωρίας καὶ συγκράσεως καθ’ ἕκαστον εἶδος λαμβάνειν χρὴ ποῖον εἴη τοῦ δείπνου θυμῆρες καὶ πολυτελείας ἐχόμενον, ποῖον δὲ μέτριον· οὐ γὰρ ἀποτυγχάνει τις ἐπιμελέστερον παρακολουθήσας ταῖς τῶν τόπων διακρίσεσιν.

295 〈λζʹ〉 Περὶ κριτηρίων καὶ ἐκκλήτου καὶ νίκης καὶ ἥττης Ἐπισκεπτέον δὲ περὶ τὰ κριτήρια καὶ τὰς 〈τῶν〉 ἐγκλημάτων ἐπιφορὰς οὕτως, τὸν μὲν ὡροσκόπον τῷ κατηγοροῦντι νέμοντας, τὸ δὲ μεσουράνημα τῷ κριτῇ, τὸ δὲ δῦνον τῷ κατηγορουμένῳ, τὸ δὲ ὑπόγειον τῇ κρίσει καὶ τῇ ἀποβάσει τοῦ πράγματος. καὶ ἢν μὲν ὡροσκοπῇ τροπικὸν ζῴδιον τέλους οὐ τεύξεται τὸ πρᾶγμα, εἰ δὲ δίσωμον ἐν μετανοίᾳ ἔσται ὁ κατηγορῶν, εἰ δὲ στερεὸν εἴη ἐπίμονος καὶ ἀπαραίτητος ὁ ἐνάγων. ἐπὰν δὲ καὶ ὑπὸ Ἄρεως βλέπηται θρασὺς καὶ ὑβριστὴς καὶ ἀπότομος, ἐπὰν δὲ ὁ τόπος μαρτυρῆται ὑπὸ Κρόνου δηλοῖ δόλιον καὶ πονηρὸν πρεσβύτην, συνόντος δὲ τοῦ Ἑρμοῦ σημαίνει 〈δι’〉 ἀργυρίου δόσιν τὴν κατηγορίαν ἐνίστασθαι καὶ πλαστογραφίαν, ὁμοίως 〈δὲ〉 καὶ μετὰ Ἄρεως 〈ὁ〉 τοῦ Ἑρμοῦ. Ζεὺς δὲ ἔνδοξον δηλοῖ καὶ Ἀφροδίτη εὐγενῆ, καὶ Ἄρης δὲ τολμηρὸν καὶ εὐγενῆ, Ἑρμῆς δὲ γοργὸν καὶ πολυπράγμονα. Ταὐτὰ δὲ ὑπονοητέον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ τῶν κριτῶν ἀναλόγως τοῖς ἐποῦσιν ἐν τῷ μεσουρανήματι ζῳδίοις τε καὶ ἄστρασιν· ἀγαθοποιῶν μὲν γὰρ ὄντων ἐν τῷ τόπῳ δίκαια ποιήσειν τὸν δικαστήν, κακοποιῶν δὲ ἄδικα. τροπικοῦ δὲ ὁμοίως ὄντος τοῦ ζῳδίου αὖθις λεχθήσεσθαι τὴν δίκην καὶ ἔκκλητον προχωρήσει, Ἡλίου τε καὶ Σελήνης ἐπόντων πάντα φανερὰ ποιήσειν, μετὰ δὲ τοῦ ἔνδοξον καὶ εὐγενῆ εἶναι τὸν δικαστήν.

296 ἐν δὲ τῷ δύνοντι τυγχανόντων τῶν ἀγαθοποιῶν νίκην προαγορευτέον τῷ κατηγορουμένῳ. ὁ δὲ τόπος ὁ ὑπόγειος τὴν ἔκβασιν προμηνύει· τῶν κακοποιῶν μὲν ὑπὸ γῆν ὄντων ἀδίκως ὁ κατηγορούμενος κατακριθήσεται, τῶν ἀγαθοποιῶν δὲ δικαίως. 〈λη′〉 Ἄλλος τρόπος ἐπισκέψεως Ἔστι δὲ καὶ ἕτερος τρόπος λαμβανόμενος ἐπὶ τοῖς κριτηρίοις χωρὶς τῶν δ κέντρων οὕτως. Σελήνη γὰρ αὐξανομένη λαμβάνεται εἰς τὸν διώκοντα, ὁ δὲ Ἥλιος εἰς τὸν κατηγορούμενον καὶ ὑπόχρεων· μειουμένη ἔμπαλιν, τουτέστιν αὐτὴ μέν ἐστιν ὑπόχρεως, ὁ δὲ Ἥλιος τοῦ διώκοντος τάξιν ἀναλαμβάνει. ἐπισκεψάμενοι οὖν τίς μᾶλλον καλῶς κεῖται τόπῳ, ὁρίοις, μαρτυρίαις ἀγαθαῖς καὶ τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ, οὕτω προαιροῦμεν ἀπὸ τῆς τῶν πλειόνων ψήφου καὶ ῥοπῆς τὸν νικήσοντα τῆς πανσελήνου λαμβανομένης εἰς μεγάλην στάσιν καὶ ἔριν καὶ ἀπώλειαν. Ἐπιτήρησις δέ ἐστιν ἑτέρα περὶ τῶν αὐτῶν οὕτως. χρὴ τὸν τὸ πρᾶγμα καταγγέλλοντα τῆς Σελήνης ἀπόρροιαν εἶναι, τὸ δὲ πρᾶγμα αὐτὴν τὴν Σελήνην, τὴν δὲ συναφὴν τὸν κατηγορούμενον, ἐκ δὲ τῶν ὁρίων καὶ τῶν ἀστέρων δηλοῦνται τὰ περὶ τοῦ πράγματος. ἡ δὲ αὐτὴ αἵρεσις καὶ τρόπος περὶ ὁδοιπορίας καὶ μετοικισμοῦ χρήσιμος ἔσται. ἀσφαλέστερον δὲ καὶ φανερώτερον ἐπὶ τῶν κριτηρίων μάθοιμεν ποδαπῶς τε εἴη ὅ τε κατήγορος καὶ ὁ κατηγορούμενος, ἔτι γε ὁ κριτὴς καὶ ἡ ἔκβασίς γε τοῦ πράγματος ἐκ τῶν δ κέντρων ὡς προλέλεκται τοῦ Ἑρμοῦ ἀεὶ παραλαμβανομένου, ὑπαύγου μὲν ὄντος χρησίμου τοῖς ἐγκαλουμένοις καὶ τοῖς λαθραῖόν τι πράττουσιν, ἀνατολικοῦ δὲ ὄντος τοῖς τε ἐγκαλοῦσι καὶ φανερῶς ποιεῖν τι βουλομένοις.

297 τὴν δὲ Σελήνην ἐπιτηρεῖν χρὴ ἐν τῇ κρισίμῳ ἡμέρᾳ, καὶ ἐὰν τύχῃ οὖσα ἐν Ζυγῷ, καὶ μάλιστα δύνουσα, ἀσύμφορος τῷ ἄδικα εἰσφέροντι (ἡττηθήσεται γάρ), ὁ δὲ δικαίως ἐγκαλῶν νικήσει. Ἐκτεθείσθω δὲ καὶ τὰ παρὰ Δωροθέῳ περὶ τούτων εὐεπείας χάριν καὶ μνήμης. ναὶ μὴν εἰς κρίσιας περινεικέας ὀρνυμένοισι ὧδε σύ κεν χατέουσιν ἀληθείην ἀγορεύσεις. λάμβανε δ’ ἐκ ζῴοιο κατήγορον ὡρονομοῦντος, κἢν μὲν ἔοι στερεὸν γνώμην ἣν ἔσχε φυλάξει, ἐκ δέ νυ τῶν ἃ δίσωμα φατίζεται ἐκ μετανοίης τρέψεται ἐξ ἑτέροιο καὶ εἰς ὁδὸν ἵξεται ἄλλην, ζῴοις δ’ ἐν τροπικοῖς ἀτελὴς τοῦδ’ ἔσσεται ὁρμή. 〈ἐὰν δὲ τὸν ὡροσκόπον ὁ Ἄρης βλάπτῃ καταισχυνθήσεται ὁ ἐνάγων, ἐὰν δὲ Ἑρμῆς μετά τινος ἀγαθοποιοῦ ὡροσκοπῇ χρήματα λαβὼν ὁ ἐνάγων σιγήσεται, ἐὰν δὲ τὸν ὡροσκόπον ὁ Κρόνος βλάπτῃ ζημιωθήσεται ὁ κατήγορος. τὸ δὲ μεσουράνημα ἔστω ὁ κριτής, καὶ ἐὰν τὸ μεσουράνημα βλάπτηται ὑπὸ κακοποιοῦ τότε οἱ κριταὶ μὴ συμφωνήσαντες ἀλλήλοις διαστήσονται καὶ ἔσται ἀναβολὴ τῆς δίκης, εἰ δὲ καὶ συμφωνήσουσιν οἱ κριταὶ ὅμως ἀβέβαιος αὐτῶν ἡ κρίσις καὶ ἡ συμφωνία καὶ ἐκστραφήσεται. ὁ δὲ Κρόνος μεσουρανῶν αἴτιός ἐστιν ἀδικοκρισίας, οἱ δὲ ἀγαθοποιοὶ μεσουρανοῦντες ποιοῦσι δικαιοκρισίαν.

298 τὸ δὲ δῦνον ἔστω ὁ ἐναγόμενος, καὶ ἐκ τῶν εἰρημένων ἐπὶ τοῦ ὡροσκόπου σχηματισμῶν τῶν ἀστέρων σκέπτου ἀναλόγως τὸ αὐτὸ καὶ ἐπὶ τοῦ δύνοντος καὶ κατηγορουμένου. ἐὰν δὲ ὁ Ἑρμῆς μετά τινος τῶν κακοποιῶν βλάψῃ τὸ δῦνον ἔσται ὁ ἐναγόμενος ἐπὶ διαβολῇ ἢ καί τις μάρτυς ἐλθὼν καταμαρτυρήσει αὐτοῦ. τὸ δὲ τέλος τῆς δίκης ἔσται ἐκ τοῦ ὑπογείου. Σκοπεῖν δὲ δεῖ τοὺς οἰκοδεσπότας τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος ὁποῖος αὐτῶν ὕπαυγος τοῦ ἑτέρου ἀνατολικοῦ ὄντος· κακὰ γὰρ σημαίνει τῷ οἰκείῳ αὐτοῦ προσώπῳ. ἐὰν δὲ ἄμφω ὦσιν ὕπαυγοι ἔσται ἀνακωχὴ τῆς δίκης πρὸς χρόνον καὶ πάλιν ὕστερον δικασθήσεται, ἐὰν δὲ ἄμφω ἀνατολικοὶ ὦσι διαλλαγήσονται οἱ μαχόμενοι. οἱ δὲ ἀγαθοποιοὶ τῶν ἀστέρων οἷστισιν ἂν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνοικειωθῶσι δικαίαν νίκην παρέχουσιν, οἱ δὲ κακοποιοὶ τῶν ἀστέρων κἂν ἔξαυγοι ὦσιν, ἐν ἀλλοτρίοις δὲ καὶ ἀνοικείοις τόποις ὄντες, αἴτιοι γίνονται ἥττης. οἱ δὲ κακοποιοὶ ἰδιοτοποῦντες καὶ ἐπίκεντροι καὶ ἀνατολικοὶ ὄντες ἄδικον νίκην παρέχουσι τῷ οἰκείῳ αὐτῶν προσώπῳ. Σκοπεῖν δὲ χρὴ τόν τε δεύτερον τόπον καὶ τὸν ὄγδοον καὶ τὰς τῶν ἀστέρων πρὸς αὐτοὺς μαρτυρίας ἵνα γνῶμεν τοὺς βοηθοῦντας ἑκατέρῳ προσώπῳ· ὁ μὲν γὰρ δεύτερος τοῦ διώκοντος ἐμφαίνει τοὺς συμμάχους, ὁ δὲ ὄγδοος τοῦ φεύγοντος. οἱ δὲ ἀγαθοποιοὶ οἷς ἂν ἐπαναφέρωνται ἐκεῖνοι κρειττόνως ἀπαλλάξουσιν, οἱ δὲ κακοποιοὶ χειρόνως. σκοπεῖν δὲ χρὴ καὶ τὸν τοῦ μεσουρανήματος δεσπότην· οὗτος γὰρ ᾧτινι συνοικειωθῇ προσώπῳ ἤτοι τῷ διώκοντι ἢ τῷ φεύγοντι ἢ μαρτυρηθῇ ὑπ' αὐτοῦ ἢ τοὺς τόπους καταλλάξῃ μετ' αὐτοῦ ἢ ὑπὸ ἑνὸς ἀστέρος οἰκοδεσποτηθῇ ἢ εἰς τοὺς τόπους ᾗ αὐτοῦ τοῦτον μᾶλλον τοῦ ἑτέρου ἐν εὐελπιστίᾳ εἶναι ποιεῖ.

299 Οὐ χρὴ δὲ ἐκ μόνων τῶν τεσσάρων κέντρων περὶ τῶν τοιούτων καταστοχάζεσθαι, ἀλλὰ δεῖ καὶ τὴν Σελήνην ὁρᾶν πῶς διάκειται καὶ ἔτι τὰς ἀπορροίας καὶ τὰς συναφὰς αὐτῆς. ἐὰν δὲ σινωθείσης τῆς Σελήνης οἱ κακοποιοὶ αὐτὴν ἐφορῶσι κακὸν σημεῖον τῷ διώκοντι· οὐ γὰρ μόνον ἡττηθήσεται, ἀλλὰ καὶ ὑβρισθήσεται καὶ βλαβήσεται. ἡ Σελήνη ὅταν ᾖ συνοδικὴ ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου τότε ὁ ἰσχυρότερος νικήσει τὸν ταπεινότερον. Ἐὰν δὲ χρηματικὴ ᾖ ἡ δίκη οὕτω δεῖ σκοπεῖν. Σελήνη αὐξιφωτοῦσα ἔστω ὁ δανειστής, ὁ δὲ Ἥλιος ὁ ὀφειλέτης, ἐὰν δὲ ἡ Σελήνη λήγῃ ἀνάπαλιν ὁ μὲν Ἥλιος ἔστω ὁ δανειστής, ἡ δὲ Σελήνη ὁ χρεώστης. ὅστις οὖν ἐκ τῶν δύο κεῖται ἐν κρείττονι τόπῳ καὶ οἰκειοτοπεῖ μᾶλλον τοῦ ἑτέρου καὶ ἀγαθύνεται μᾶλλον ἐκεῖνος τὸ οἰκεῖον πρόσωπον ἀπεργάζεται ἰσχυρότερον τοῦ ἑτέρου. Δεῖ δὲ καὶ τὸν τῆς τύχης κλῆρον σκοπεῖν καὶ τὸν οἰκοδεσπότην τοῦ κλήρου· εἰ μὲν γὰρ τῷ ὡροσκόπῳ προσνεύσει ὁ διώκων ἰσχυρότερος ἔσται, εἰ δὲ τῇ δύσει ὁ φεύγων. ἐὰν δὲ ὁ κλῆρος τετραγωνίζῃ τόν τε ὡροσκόπον καὶ τὸ δῦνον, εἰ μὲν ὑπὸ γῆν εἴη διαλλαγήσονται αὐτοὶ καθ' αὑτοὺς οἱ μαχόμενοι, εἰ δὲ μεσουρανοίη οἱ κριταὶ αὐτοὺς διαλλάξουσιν.〉 Εὖτε δ' ἂν ἄμφω ὥρης καὶ δύσιος γίνοιντό κεν ἐνὶ ἑνὶ ζῴῳ ἐρχόμενοι βασιλῆες ἐν οἰκείοισι προσώποις φράζεο νείκεα ταῦτα.

300 καὶ Ἑρμείαο μὲν ὄντος ζωιδίου πρὸς τέκνον ἢ ἐν τέκνοιό γε τάξει κείμενον, εἰ Παφίης δὲ τύχῃ κατέναντα γυναικῶν ἢ καὶ ἀδελφειῆς προσκηδέος ἠὲ θυγατρός ἠέ νυ θηλυτέρης ξυνὸν λέχος ἤτε λέλογχεν, εἰ δ' ἄρ' Ἐνυαλίου οἴκους ... 〈ἡ μάχη ἢ ἀδελφῶν πρὸς ἀλλήλους ἢ ἀνεψιῶν ἢ τῶν τοιούτων〉 , ὅτε δ' αὖτε πέλει τόπος Αἰγιόχοιο ἤτοι πρεσβυτέροισιν ὁμαίμοσι δηριόωσιν ἢ θείοις, ἐν δ' αὖτε Κρόνου γενέτας κεν ἐφεύρῃς ἢ πάππους ἢ τοῖσιν ἐοικό〈τας ἔκ〉 τε χρόνοιο ἔκ τε γένους, τὰ δ' ὅμοια καὶ Ἠελίου ἐν χώρῳ, ἔν τε Σεληναίης ἢ μητέρας ἢ μητρυιάς. 〈λθ'〉 Περὶ ἐξοριζομένων καὶ φευγόντων τῆς πατρίδος καὶ βρεφῶν ἐκθέσεως Περὶ δὲ τῶν ἐξοριζομένων καὶ ἀπαλλοτριουμένων τῆς πατρίδος ληψόμεθα τὴν γνῶσιν ἀπὸ τῶν ἀστέρων οἷς διαφέρει τὰ κέντρα κατὰ τὴν οἰκοδεσποτείαν αὐτῶν· οὗτοι γὰρ ἐν τοῖς αὑτῶν ταπεινώμασιν εὑρεθέντες καὶ ἐπιθεωρούμενοι ὑπὸ τῶν κακοποιῶν τοὺς ἐξορισμοὺς ἐργάζονται.

301 κατὰ μὲν τὴν τῆς γενέσεως πῆξιν ὁπόταν ἔχωσι τὰ χρονικὰ ἢ καὶ 〈αἱ〉 ἀναφοραὶ τῶν ζῳδίων κατὰ τὸν αὐτὸν χρόνον συμπληρούμενοι τύχοιεν. τὸ δ' αὐτὸ ἐπὰν ὁ οἰκοδεσπότης πάθῃ τοῦ γεννωμένου ἐκθέσεως αἴτιον γίνεσθαι, καὶ ἐὰν μὲν ἀνατολικὸς ᾖ ὁ ἀστὴρ τὸ ἐκτεθὲν ζήσεται, ἐὰν δὲ δυτικὸς ἀποθνήσκει. ἰδίως δὲ ἐν τοῖς ἰδίοις ταπεινώμασιν ἔχοντες ἀστέρας κατὰ τὸ δυτικὸν κέντρον ἢ τὸ ὑπὸ γῆν ἐξορίζονται ἢ ὑποπίπτουσι φυγαδείαις ἑκουσίοις. ἐπὰν δὲ ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι εὑρεθῶσιν οἱ κακοποιοὶ ἐν τοῖς ἰδίοις ταπεινώμασι δεσμοὺς καὶ συνοχὰς παρέχουσιν, ἀγαθοποιῶν δὲ συμφώνως ἐπιβλεπόντων αὐτοὺς ἀποκαθίστανται τοῖς οἰκείοις τόποις. καὶ τὸν ὡροσκόπον ἢ τὴν Σελήνην ὁρῶντες οἱ ἀγαθοποιοὶ ἐν τῇ ὥρᾳ τῆς κρίσεως τὴν ἐπάνοδον δηλοῦσιν. 〈μ'〉 Περὶ τῶν εἰργομένων Περὶ δὲ τῶν εἰργομένων ἐπιτηρητέον τὴν Σελήνην καθ' αὑτὴν ἐν ποίῳ ζῳδίῳ τυγχάνῃ τῇ ὥρᾳ τοῦ εἴργεσθαι. καὶ ἐὰν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν τύχῃ ἐν Κριῷ λύσιν τέκμαιρε ταχεῖαν. ἐν Ταύρῳ μενέει δὲ πολὺν χρόνον, εἵνεκα δ’ αὖτε κτήσιος ἣν ἄρα τοῦτο πάθῃ, ταύτην μὲν ὀλέσσει· ὕστερον αὖ φυλακὴν καὶ ἄλγεα φεύξεται αὐτός. ἐν δὲ Κασιγνήτοις εἰ μὴ λύσιν ἐν τρισὶν ἕξει ἤμασι τοῖς πρώτοις τετρύσεται ἐν κακότητι.

302 Καρκίνος αὖτ’ ἐπὶ δηρὸν ἀεικείῃ μιν ἐρύξει. εὖτε δὲ βρυχητῆρος ὑπερφορέοιτο Λέοντος ἀνδρὸς ἐρισθενέος καὶ μείζονος ἄλγε’ ἕκητι ἕψεται οὐδὲ μίνυνθα συνέσσεται ἀλλ’ ἐπὶ δηρόν. ἀμφὶ δὲ Παρθενικῇ μάλα κεν ῥέποι ἔνθα καὶ ἔνθα ὅττι κε τεκμαίροιο, τὸ δὲ πλέον ἔστ’ ἐπ’ ἀρωγῇ. ἐν Ζυγῷ ἔπλετο φύξις. ἐν ὀκταπόδῳ δὲ Σελήνη Σκορπίῳ 〈εἰ〉 βεβάῃσιν ἀεικείῃ μιν ἐρύξει οὐδ’ ὀλίγον μίμνοι κεν ἐπὶ χρόνον, ἔμπα δὲ λύει. Τοξευτὴρ ἐπὶ μακρὸν ἐν ἄλγεσιν ἀνέρα 〈θήσει. Αἰγόκερως τάδε〉 πλὴν ἄνεσιν δεσμοῖο παρέξει. αὐτὰρ ἐν Ὑδροχόῳ καὶ Ἰχθύσι δὴν μενέουσι τειρόμενοι, χαλεπῇ δὲ κακηπελίῃ μογέοντες. ταῦτα Σεληναίης μούνης τούτοισιν ἐπούσης οἷς προέφην· θέσιες γὰρ ἐναλλάσσουσί μιν ἄστρων, τουτέστιν οἱ μὲν ἀγαθοποιοὶ συνόντες ἢ ὁρῶντες ταχεῖαν τὴν ἄφεσιν ποιοῦσιν, οἱ δὲ κακοποιοὶ οὐκέτι. 〈ὁ δὲ Ἑρμῆς μετὰ τοῦ Διὸς συσχηματισθεὶς αὐτῇ ταχέως τὰ ἀγαθὰ παρέχει καὶ τὴν τῶν κακῶν λύσιν. ὁ δὲ Ἄρης κακώσας τὴν Σελήνην αἴτιος γίνεται μαστίγων, αἱμαγμοῦ τε καὶ κακώσεως. ὁ δὲ Κρόνος τοῦτο ποιήσας πολυχρονιώτερα καὶ δυσέκλυτα ποιεῖ τὰ κακά.〉 εἰ δ’ ἄρ’ ὁμοῦ Μαίης τε πάις Φαίνων τε καὶ Ἄρης τῇδέ μιν ἐν δεσμοῖς φθισίβροτος αἶσα κίχησι. καὶ δ’ ὥρην φράζοιο τίνες τ’ ἐπιμάρτυροι αὐτῇ κείνην ἥ ῥ’ ἐφύτευσε καὶ ἤγαγεν ἀνέρ’ ἐς ἦμαρ.

303 κρέσσων αὖ τούτοισι Σεληναίη μινύθουσα ἔσσεται, αὐξομένη δὲ χερειότερ’ ἔργα τελέσσει. καὶ Μήνη σύνδεσμον ἐπὴν μέλλῃσιν ἄνασσα λυέμεναι τόδε σῆμα κακῶν τεκμήρατο φύξιν. κἢν συναφὴν ἀκτῖσιν ὑπ’ Ἠελίοιο τυχούσῃ Κύπριδι ποιῆται τότε δ’ ἂρ βροτὸν αἰνὰ παθόντα ἐκ συνοχῆς λύσειεν ἀεικελίων τ’ ὀδυνάων. ὣς δὲ καὶ Ἑρμείῃ συναφὴν δυτικῷ γεγαῶτι ἑσπερίῳ τεύξασα κακῶν ἀπότευξιν ἔδωκεν. μέσσοις δ’ ἐν ζῴοισιν ἀφ’ ὕψεος οὐρανίοιο εἵως δυομένου ἵνα τε κλίσις εἰς νότον ἐστίν, Κύπρι〈δι〉 συμμίσγουσα καὶ Ἑρμάωνι συνοῦσα ῥύεται ἐκ δεσμοῖο. καὶ ἣν ἑλικῶπιν ἄνασσαν Αἰγίοχός τε Κρόνος τε τριγωνίζωσιν ὁρῶντες οὔ φιν ἄνευ 〈τιμῆς καὶ δόξης ἐλευθεροῖ. Σελήνη ἐν τοῖς αὐτοῖς οὖσα ζῳδίοις καὶ ὑπὸ Ἄρεως μαρτυρουμένη ταχέως λύει ἐκ τῶν δεσμῶν τὸν εἱρχθέντα ἢ ζῶντα ἢ τελευτήσαντα. Τὸ ἀπὸ τοῦ μεσουρανήματος ἕως τοῦ ὑπογείου κέντρου ἡμικύκλιον προηγούμενον κατωφερές τε καὶ λιβυκὸν καλεῖται, τὸ δὲ ἀπὸ τοῦ μεσουρανήματος ἕως τοῦ ὑπογείου κέντρου ἡμικύκλιον ἑπόμενον ἀνωφερές τε καὶ ἀπηλιωτικὸν καλεῖται. Σελήνη οὖν τυχοῦσα ἐν τῷ λιβυκῷ ἡμικυκλίῳ ὑπὸ Ἄρεως βλαπτομένη σημαίνει ἀδίκως κρατούμενον τὸν δεσμώτην καὶ πολυχρονήσοντα ἐν τοῖς δεσμοῖς, ἐν δὲ τῷ ἀπηλιωτικῷ ἡμικυκλίῳ οὖσα λύσιν ἐπαγγέλλεται.

304 Σελήνη ἐν τοῖς λιβυκοῖς μέρεσιν ὑπὸ μὲν Ἄρεως τριγωνιζομένη, ὑπὸ δὲ Διὸς τετραγωνιζομένη λύσιν τῶν δεσμῶν σημαίνει. Σελήνη συνοδεύουσα Κρόνῳ καὶ ὑπὸ Διὸς τετραγωνιζομένη ἐξ ὁποτερουοῦν μέρους καὶ οὕτως ἐκ τῶν δεσμῶν λύει. Ἄρης τετραγωνίζων τὴν Σελήνην, ὁ δὲ Κρόνος διαμετρῶν αὐτήν, ἅμα βλάπτοντες ἐπὶ πολὺ κατέχουσιν ἐν τοῖς κακοῖς τὸν δεσμώτην. ἐὰν δὲ ὁ μὲν Ἄρης τριγωνίζῃ τὴν Σελήνην, ὁ δὲ Κρόνος τετραγωνίζῃ, ἢ τὰ δεσμὰ συντρίψουσιν οἱ δεσμῶται ἢ τὸν τοῖχον τοῦ δεσμωτηρίου διορύξουσιν ἢ ἄλλο τι τοιοῦτον νεωτερίσουσι πρὸς τὸ ἐκφυγεῖν. ἐξαιρέτως δὲ δεῖ ὁρᾶσθαι τὸ ὑπόγειον· τὸ γὰρ τέλος ἐκ τούτου δηλοῦται. 〈μα′〉 Περὶ βίου καὶ κτήσεως Σκοπεῖν δεῖ τὸν β′ τόπον (τουτέστι τὴν ἐπαναφορὰν τοῦ ὡροσκόπου) καὶ κατὰ τὰς τῶν χρόνων διαιρέσεις ὁρᾶν εἰς ποῖον κατέληξε ζῴδιον. καὶ ἐὰν κατά τε τὴν ἐξ ἀρχῆς πῆξιν καὶ κατὰ τὴν τῶν χρόνων ἐπέμβασιν οἱ κακοποιοὶ συνῶσιν ἢ διαμετρῶσιν ἢ τετραγωνίζωσιν ἑκάτερον τόπον τόν τε κατὰ τὴν πῆξιν καὶ τὸν κατὰ τὴν τῶν χρόνων ἐπέμβασιν τῶν ἀγαθοποιῶν μὴ βοηθούντων μήτε κατὰ τὴν πῆξιν μήτε κατὰ τὴν πάροδον ἐλαττωθήσεται ὁ βίος καὶ ἡ περίκτησις τοῦ ἀνθρώπου ἐκείνου, ἐὰν δὲ ἔμπαλιν γένηται (τουτέστιν ἐὰν ὅ τε κατὰ πῆξιν καὶ ὁ κατὰ ἄφεσιν τῶν χρόνων ἐκπεσὼν β′ τόπος ὑπὸ

ἀγαθοποιῶν συμπαρουσίας ἢ τετραγωνισμοῦ ἢ διαμετρήσεως κατά τε τὴν πῆξιν καὶ κατὰ τὴν τῶν χρόνων ἐπέμβασιν τῶν ἀστέρων μαρτυρούμενος ὠφελῆται) ἐπαύξησις ἔσται τῷ βίῳ καὶ τῇ περικτήσει τοῦ ἀνθρώπου, ἐὰν δὲ μεμιγμένα ᾖ μίξις ἔσται (τουτέστιν αὐξομείωσις τοῦ βίου). Δεῖ οὖν παρατηρεῖν ἐν ταῖς καταρχαῖς ταῖς τῶν καθ' ἡμέραν πράξεων τὴν Σελήνην.

305 εἰ γὰρ τύχοι παροδεύουσα ἐν τόποις τοιούτοις ἐν οἷς οἱ κατὰ πῆξιν κακοποιοὶ ἦσαν ἢ καὶ τετράγωνοι ἢ καὶ διάμετροι αὐτοῖς, μηδενὸς μὲν τῶν ἀγαθοποιῶν μήτε κατὰ τὴν πῆξιν μήτε κατὰ τὴν πάροδον βοηθοῦντος, τῶν δὲ κακοποιῶν κατὰ τὴν πάροδον βλαπτόντων ἤτοι κατὰ σῶμα ἢ κατὰ σχῆμα, καὶ μάλιστα τετράγωνον ἢ διάμετρον, κακίστη γίνεται ἡ καταρχὴ ἐκείνη καὶ κλιμακτηριώδης, ἐὰν δὲ ἔμπαλιν ᾖ (τουτέστιν ἐὰν ἡ Σελήνη τύχῃ ἐν τῇ καταρχῇ παροδεύουσα ἐν τοῖς τῶν ἀγαθοποιῶν κατὰ τὴν πῆξιν τόποις ἢ ἐν τοῖς τετραγώνοις ἢ ἐν τοῖς διαμέτροις αὐτῶν, μηδενὸς μὲν τῶν κακοποιῶν μήτε κατὰ τὴν πῆξιν μήτε κατὰ τὴν πάροδον βλάπτοντος, τῶν δὲ ἀγαθοποιῶν κατὰ τὴν πάροδον ὠφελούντων ἤτοι κατὰ συμπαρουσίαν ἢ κατὰ σχῆμα, καὶ μάλιστα τὸ τετράγωνον) καλλίστη γίνεται ἡ καταρχὴ ἐκείνη καὶ ἐπιτευκτική, ἐὰν δὲ μεμιγμένα ᾖ ἐν τούτοις τὰ προειρημένα σχήματα ἐκ τῶν ὠφελούντων καὶ βλαπτόντων μίξις ἔσται καὶ τῶν δηλουμένων ὑπὸ τῆς καταρχῆς ἔκ τε ἀγαθοῦ καὶ κακοῦ κατὰ τὴν ἔκβασιν. Χρὴ δὲ γινώσκειν ὅτι ἀδύνατόν ἐστι μέγα γενέσθαι τι ἀγαθὸν ἢ φαῦλον ἐν ταῖς καταρχαῖς τῶν ἀνθρωπίνων πράξεων εἰ μὴ τύχοι ἡ τῆς Σελήνης ἐποχὴ ἐν τοιούτῳ οὖσα τόπῳ ἐν ᾧ ἀγαθοποιὸς ἢ κακοποιὸς ἤτοι κατὰ τὴν γένεσιν ἢ κατὰ τὴν πάροδον τετράγωνον σχῆμα ἔχει πρὸς αὐτόν· τὰ μὲν γὰρ διάμετρα σχήματα ἀντιζηλίας καὶ ἀντιπαθείας ἔχουσιν, τὰ δὲ τρίγωνα σύμφωνα μὲν καὶ συμπαθῆ ἀλλ' οὐ τοιαῦτα ἰσχυρὰ οἷα τὰ τετράγωνα, πολὺ δὲ τὰ ἑξάγωνα ἡττόνως τε καὶ ἀμυδρῶς ὠφελοῦσιν ἢ βλάπτουσιν. 〈μβʹ〉 Περὶ ἀπωλείας πράγματος καὶ εἰ εὑρεθήσεται τὸ ἀπολωλός Καὶ ἐνταῦθα τὰ τοῦ Δωροθέου ἔπη περὶ τούτων μεταφράσαντα δεῖ ἐκθεῖναι ἐπειδὴ βέλτιον τῶν ἄλλων εἰσὶν ἐκκείμενα.

306 (1t) Ἥλιος, φησίν, καὶ Σελήνη ἀλλήλους τριγωνίζοντες ῥᾳδίαν εὕρεσιν τοῦ ἀπολομένου δηλοῦσιν. ἐὰν δὲ τετράγωνοι ὦσιν ἀλλήλοις δύσκολον τὴν εὕρεσιν τοῦ ἀπολομένου μηνύουσιν, καὶ ἐξ ἄλλου εἰς ἄλλον μετακομισθήσεται τὸ ἀπολωλός. εἰ δὲ διαμετροῦσιν ἀλλήλους Ἥλιος καὶ Σελήνη μηνυθήσεται μὲν τὸ ἀπολωλός, οὐκ εὐκόλως δὲ ἀνακομισθήσεται. ἐὰν δὲ κενοδρομῇ ἡ Σελήνη (τουτέστιν εἴσω τῶν ρκ μοιρῶν οὖσα μὴ συνάπτῃ τινὶ τῶν ἀστέρων σωματικῶς) βραδεῖαν τὴν εὕρεσιν ὑποφαίνει. Σελήνη τῷ ἰδίῳ οἰκοδεσπότῃ συνοδεύουσα εὕρεσιν ὑποφαίνει, καὶ μάλιστα τοῦ 〈Ἡλίου ἢ τοῦ〉 Διὸς ὁρῶντος αὐτήν. τὸ δωδεκατημόριον τῆς Σελήνης ὅταν ἐκπέσῃ εἰς τὸν ὡροσκόπον ἢ εἰς τὸ μεσουράνημα ἢ εἰς τὸν Ἥλιον ἢ εἰς τὸν τῆς Σελήνης οἰκοδέκτορα ἢ εἰς τὸν ποιοῦντα φάσιν ἀνατολικὴν ἔγγιστα εὑρεθήσεται τὸ ἀπολωλός. Σελήνη ἐν τῷ ϛʹ τόπῳ ἢ τῷ δύνοντι οὖσα ἀνεύρετον ποιεῖ τὸ ἀπολωλὸς εἰ μὴ ὁ Ἥλιος μαρτυρήσῃ αὐτῇ. Σελήνη ἐν τοῖς ἐκλειπτικοῖς οὖσα συνδέσμοις δυσεύρετον ποιεῖ τὸ κλέμμα. Ἥλιος καὶ Σελήνη ὑπὸ γῆν τυχόντες ἀφανίζουσι τὸ ἀπολωλός. Ἥλιος σὺν τῷ κλήρῳ τῆς τύχης ὢν ἢ ἐπιβλέπων αὐτὸν ταχέως τὸ ἀπολωλὸς φανερὸν ποιεῖ. Σελήνη ἄνευ τοῦ Ἡλίου τὸν κλῆρον τῆς τύχης ὁρῶσα οὐ ταχεῖαν μηνύει τὴν εὕρεσιν. ἐὰν δὲ μήτε ὁ Ἥλιος μήτε ἡ Σελήνη τὸν τῆς τύχης κλῆρον βλέπῃ οὐδέποτε εὑρεθήσεται τὸ κλέμμα. Σελήνη ὡροσκοποῦσα ταχεῖαν εὕρεσιν δηλοῖ. Σελήνη ὑπὸ τὰς τοῦ Ἡλίου αὐγὰς οὖσα καὶ ἀφώτιστος παντελῶς ἀφανίζει τὸ κλέμμα.

307 Ἥλιος καὶ Σελήνη ἅμα ὡροσκοποῦντες οὐ μόνον τὸ κλέμμα μηνύουσιν ἀλλὰ καὶ τὸν κλέπτην. Ἥλιος καὶ Σελήνη τὸν ὡροσκόπον τετραγωνίζοντες δυσεύρετον τὸ ἀπολωλὸς ποιοῦσιν· ἢ γὰρ μάχη τις γίνεται ἢ παρολκή. Ἡλίου ὡροσκοποῦντος μὴ ἐν τῷ ἐναντίῳ ἑαυτοῦ τριγώνῳ (τουτέστι Ζυγῷ, Ὑδροχόῳ, Διδύμοις) εὑρετικὸς γίνεται, ἐὰν δὲ ἐν τούτοις ὡροσκοπῇ ἀνεύρετον δηλοῖ τὸ κλέμμα. Ἐφ' ὧν δὲ οἴδαμεν τὰς γενέσεις οὕτω δεῖ στοχάζεσθαι. ἐὰν δὲ ἡ Σελήνη τύχῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν τόπῳ τοιούτῳ οὖσα ἐν ᾧ τις κακοποιὸς κατὰ τὴν ἐξ ἀρχῆς πῆξιν τῆς γενέσεως ἦν οὐχ εὑρεθήσεται τὸ κλέμμα, ἐὰν δὲ ἐν ἀγαθοποιοῦ τόπῳ τῷ κατὰ τὴν πῆξιν εὑρεθῇ ἡ Σελήνη εὕρεσιν ἐμφαίνει. Ἐὰν δὲ ἡ καταρχὴ ἐμφαίνῃ εὕρεσιν δεῖ σκέψασθαι καὶ πότε εὑρεθήσεται οὕτως. λαβὼν ἀπὸ τοῦ ὡροσκόπου ἕως τοῦ Ἡλίου τὴν τῶν ζῳδίων ποσότητα, καὶ πάλιν ἀπὸ τοῦ ὡροσκόπου ἕως τῆς Σελήνης τὴν τῶν ζῳδίων ποσότητα, μίξον τὸν ἀριθμόν, καὶ ὁπόσος ἂν εὑρεθῇ ἐκ τῶν δύο ἀριθμῶν λέγε ὅτι μετὰ τοσαύτας ἡμέρας ἢ μετὰ τοσούτους μῆνας ἢ μετὰ τοσαῦτα ἔτη εὑρεθήσεται τὸ ἀπολωλός— καὶ τότε δὲ ἐὰν ἀγαθοποιὸς μαρτυρῇ, ἐὰν δὲ κακοποιὸς οὐκέτι εὑρίσκεται. Καὶ οὕτω δὲ δεῖ σκέπτεσθαι περὶ τῶν τοιούτων. ἔστω ὁ μὲν ὡροσκόπος τὸ κλαπέν, τὸ δὲ μεσουράνημα ὁ ζητῶν, τὸ δὲ δῦνον ὁ κλέψας, τὸ δὲ ὑπόγειον ὁ τόπος ἔνθα τὸ κλαπὲν ἀπεκόμισεν ὁ κλέπτης. ἐὰν οὖν ἀγαθοποιοὶ τὸν ὡροσκόπον ὁρῶσιν ἢ συνῶσιν εὑρεθήσεται τὸ ἀπολωλός.

308 ἐκ δὲ τοῦ δύνοντος ζῳδίου ἢ ἀστέρος ἢ τοῦ οἰκοδεσπότου αὐτοῦ ἢ τῶν μαρτυρούντων αὐτῷ στοχάζου τὸ εἶδος καὶ τὸν τρόπον τοῦ κλέπτου. τὸν δὲ μεσουρανοῦντα ἀστέρα σκέπτου, καὶ ἐὰν μὲν ᾖ ἐν ἰδίοις τόποις ἴδιον αὐτοῦ ἐστιν ὅπερ ζητεῖ κτῆμα καὶ οὐκ ἀλλότριον, ἐὰν δὲ ἐν ἀλλοτρίοις τόποις ᾖ οὐ ζητεῖ οἰκεῖον κτῆμα ἀλλὰ ἀλλότριον. τὸ δὲ ὑπόγειον ἐὰν μὲν ᾖ δίσωμον γίνωσκε ὅτι ἐξετέθη τὸ κλαπὲν ἤτοι εἰς ἀδελφοὺς ἤ τινας συγγενεῖς, εἰ δὲ οὐκ ἔστι δίσωμον εἰς ἕνα μόνον ἐξετέθη τὸ κλαπέν, καὶ ἐὰν μὲν ἀρσενικὸν ᾖ τὸ ὑπόγειον ζῴδιον εἰς ἀρσενικὸν πρόσωπον κεῖται, ἐὰν δὲ θηλυκὸν εἰς θηλυκόν, καὶ ἐπὶ τῶν δισώμων ὡσαύτως. ἀλλὰ καὶ τὸ δῦνον οὕτω δεῖ σκέπτεσθαι εἴτ’ ἄρρεν ἢ θῆλυ ἢ δίσωμον ἢ οὔ. Ἥλιος καὶ Σελήνη τῷ ὑπὸ γῆν μαρτυροῦντες εἰς συγγενεῖς λέγουσι κεῖσθαι τὸ ἀπολωλός. ἐὰν δὲ τὸ ὑπόγειον ζῴδιον κάθυγρον ᾖ παρὰ λίμνην ἢ παρὰ ποταμὸν ἢ παρὰ φρέαρ ἐξετέθη, ἐὰν δὲ τετράπουν ᾖ τὸ ὑπόγειον εἰς ἐπαύλεις ἢ σηκοὺς ἐξετέθη τὸ κλέμμα, ἐὰν δὲ ἀνθρωπόμορφον ᾖ τῶν μὲν ἀγαθοποιῶν ὁρώντων ἐν καθαρῷ καὶ ἁγνῷ τόπῳ κεῖται, τῶν δὲ κακοποιῶν Ἄρεως μὲν παρὰ χαλκείῳ ἢ μαγειρείῳ, Κρόνου δὲ παρὰ δουλικῷ προσώπῳ ἢ ἐν σκοτεινῷ τόπῳ ἢ ὑγρῷ ἢ ῥυπαρῷ ἢ ὑψηλῷ. ἐὰν δ’ ὁ Ζεὺς ᾖ ὑπὸ γῆν παρὰ εὐγενικῷ κεῖται προσώπῳ, ἐὰν δ’ ὁ Ἄρης ὑπὸ γῆν ᾖ ἀπελεύθερός ἐστιν ὁ τὸ κλέμμα φυλάσσων, ἐὰν δὲ ἡ Ἀφροδίτη ᾖ ἐν τῷ ὑπὸ γῆν κέντρῳ, εἰ μὲν ἕως τῶν εἴκοσι μοιρῶν ἀπέχει τοῦ κέντρου γνῶθι ὅτι εἰς γυναῖκα ἐλευθέραν καὶ ἔνδοξον ἐξετέθη, εἰ δὲ ἀπὸ μοιρῶν εἴκοσιν ἕως τριάκοντα εἰς δούλην γυναῖκα ἢ ἀπελευθέραν, ἐὰν δ’ ὁ Ἑρμῆς ᾖ ἐν τῷ ὑπὸ γῆν κέντρῳ, εἰ μὲν ἕως τῆς πρώτης δεκαμοιρίας ἀφίσταται τοῦ κέντρου λέγε ὅτι εἰς εὐγενῆ καὶ πλούσιον ἐξετέθη, εἰ δὲ ἕως τῆς δευτέρας δεκαμοιρίας εἰς ἐλεύθερον μέν, ἀλλὰ πένητα, εἰ δὲ ἕως τῆς τρίτης εἰς δοῦλον ἢ εἰς μισθωτόν.

309 Ὁ Ἥλιος ὁρῶν τὸν τῆς τύχης κλῆρον εὔκολον τὴν εὕρεσιν ἐμφαίνει, ἡ δὲ Σελήνη μόνη ἄνευ τοῦ Ἡλίου τὸν κλῆρον ὁρῶσα δύσκολον μηνύει τὴν εὕρεσιν, ἐὰν δὲ μηδέτερος τῶν φωστήρων ὁρᾷ τὸν τῆς τύχης κλῆρον οὔτε τὸ ἀπολωλὸς κτῆμα εὑρεθήσεται οὔτε ὁ δοῦλος εἴπερ φεύγει. Σελήνη ἐν ταῖς ἐσχάταις οὖσα μοίραις τοῦ ζῳδίου τὸ κλαπὲν ἐξ ἄλλου τόπου εἰς ἄλλον μετατίθησι. Ἥλιος πρὸς τὴν Σελήνην τετράγωνος ἢ τρίγωνος ἢ διάμετρος τὸν κλέπτην φανερὸν ποιεῖ. ἐὰν δὲ τῶν μὲν ἀπὸ τοῦ Ἡλίου σημείων εὕρεσιν φαινόντων ἐξ ἄλλων δὲ σημείων ἀνεύρετον στοχάζηται, παρολκήν τινα χρόνου λαβὸν τὸ κλαπὲν ὕστερον εὑρεθήσεται· ἡ γὰρ τοῦ Ἡλίου δύναμις ἰσχυροτάτη οὖσα καὶ τὰ ἐξ αὐτοῦ σημεῖα βεβαιότερα παρέχει. Ἥλιος πρὸς τὸν ὡροσκόπον τρίγωνος ἢ τετράγωνος ἢ διάμετρος τὰ αὐτὰ σημαίνει ὅσα καὶ σὺν τῇ Σελήνῃ ὢν ἐσήμανεν (τουτέστι τετράγωνος, τρίγωνος, διάμετρος). ὅσα δὲ περὶ τῶν κλεπτόντων εἴρηται τοσαῦτα καὶ περὶ τῶν δραπετευόντων δούλων δεῖ σκοπεῖν. 〈μγ′〉 Τί τὸ ἀπολεσθὲν Σελήνη ἐν ὁρίοις Κρόνου οὖσα τοῦ Κρόνου ὄντος εἴτε ἐν Ζυγῷ ἢ ἐν τῷ μεσουρανήματι, τίμιον οὐκ ἔσται τὸ ἀπολωλὸς ἀλλὰ παλαιὸν ἢ ῥυπαρόν, τοῦ δὲ Κρόνου ὄντος εἰς ἓν τῶν ἀποκλιμάτων ἢ ἐν Κριῷ ἄτιμον καὶ εὐτελὲς καὶ ῥυπαρὸν καὶ παλαιὸν ἀπώλετο, ἐὰν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ πρὸς τούτοις καὶ αὐτὸς ὁ Κρόνος μαρτυρῇ τῇ Σελήνῃ ἔσται τὸ κλαπὲν τραχὺ καὶ ἁρμόζον ἔργοις σκληροῖς οἷον δίκελλα, σάκκος, σχοινίον, δρέπανον.

310 (1t) Σελήνη ἐν ὁρίοις Διὸς τὸ κλέμμα δηλοῖ χρυσὸν ἢ ἄργυρον ἢ ἐσθῆτα πολυτελῆ ἢ κειμήλιόν τι ἔνδοξον. Σελήνη ἐν ὁρίοις Ἄρεως δηλοῖ τὸ κλαπὲν εἶναι τὸ συντεῖνον εἰς ἐργασίαν διὰ πυρὸς ἢ σιδήρου ἤ τινος τοιούτου, ἐὰν δὲ τούτων ὄντων καὶ ὁ Ἄρης ἢ ὁ Ἑρμῆς βλέψῃ ἔσται τὸ κλαπὲν εὔμορφον, ἐράσμιον, ποικίλως καὶ εὐτέχνως εἰργασμένον, ἐὰν δὲ ἄνευ τοῦ Ἄρεως ὁ Ἑρμῆς καὶ ἡ Ἀφροδίτη ἴδωσι τὴν Σελήνην τερπνόν τι καὶ καλὸν καὶ εὔχρουν ἀπώλετο. Σελήνης ἐν ὁρίοις Ἀφροδίτης οὔσης ἔσται τὸ ἀπολωλὸς χρυσὸς ἢ ἄργυρος ἢ λίθοι τίμιοι ἢ ἱμάτια ποικίλα καὶ πολύτιμα ἢ ἐνώτια ἢ περιτραχήλια ἢ ψέλλια καὶ ἁπλῶς γυναικεῖα κόσμια εὐωδιάζοντα ἢ μύρα καὶ ἀλείμματα, ἐὰν δὲ πρὸς τούτοις καὶ ἡ Ἀφροδίτη καὶ ἡ Σελήνη ἐν θηλυκοῖς ὦσι ζῳδίοις κτήματα γυναικὸς ἀπώλοντο, ἐὰν δὲ καὶ ὁ Ἄρης μαρτυρῇ τῇ Ἀφροδίτῃ ὑέλινα ἔργα τορευτά, ποικίλα, εὔμορφα δηλοῦται. Σελήνη ἐν ὁρίοις Ἑρμοῦ, γραμματεῖα, βίβλοι, νομίσματα, τόμοι ἢ χρήσιμόν τι τοῖς ὁδοιποροῦσιν ἐκλάπη.

311 Ἵνα δὲ βεβαιότερον δυνώμεθα περὶ τούτων καταστοχάζεσθαι δεῖ καὶ τὰς τῶν ζῳδίων φύσεις ὁρᾶν οὕτως. Σελήνης ἐν Κριῷ ἱμάτια, νήματα, ἔρια, τάπητας, κεφαλοδέσμια λέγε τὰ ἀπολωλότα, Σελήνης ἐν Ταύρῳ χρυσός, ἄργυρος, ἐσθής, μαφόριον, περιτραχήλιον ἀπώλετο ἢ πρόβατα ἢ καὶ κτήνη τετράποδα, Σελήνης ἐν Διδύμοις νομίσματα, συμβόλαια, χάρται, εἰκόνες καὶ ὅσα χρήσιμα εἰς εὐωχίαν, Σελήνης ἐν Καρκίνῳ καὶ Αἰγοκέρωτι τὰ τοῖς ἀνθρώποις ἐφήμερα οἷον τρόφαιον ἢ ὑγρόν τι εὐτελὲς καὶ ὀλίγον, Σελήνης ἐν Λέοντι καὶ Ὑδροχόῳ χρυσᾶ ἔργα ἢ ἀργυρᾶ ἢ χαλκᾶ, Σελήνης ἐν Παρθένῳ κόσμια καὶ νομίσματα ἀπώλοντο, Σελήνης ἐν Ζυγῷ ἀρώματα, ἀλείμματα, μύρα καὶ ὅσα σταθμῷ πιπράσκεται καὶ ὅσα σύνθετα, χειρόπλαστα οἷον τροχίσκοι, θυμιάματα ἢ τορευτά τινα ἀπώλοντο, Σελήνης ἐν Σκορπίῳ χρυσός, ἄργυρος, χαλκός, λίθοι τίμιοι καὶ ὅσα τούτοις ὅμοια ἀπώλοντο, Σελήνης ἐν Τοξότῃ καὶ Ἰχθύσι ποικίλα, πολυειδῆ, εὐμεγέθη, εὐκατασκεύαστα. Σελήνης αὐξιφωτούσης καὶ τοῖς ἀριθμοῖς προστιθείσης νεοκατασκεύαστα δηλοῖ καὶ καινά, εἰ δὲ λήγει καὶ τοῖς ἀριθμοῖς ἀφαιρεῖ παλαιὰ δηλοῖ τὰ ἀπολεσθέντα. ἐὰν ζῴδιον δίσωμον ὡροσκοπῇ ἢ διπλοῦν τι καὶ συνεζευγμένον ἀπώλετο ἢ δύο τινά. ἀλλὰ καὶ ἡ Σελήνη ἐν δισώμῳ οὖσα τὸ αὐτὸ θεσπίζει.

312 ἀπὸ τῆς ἐποχῆς τῆς Σελήνης ἕως τῆς τοῦ Ἑρμοῦ ἐποχῆς λαβὼν τὸ τῶν μοιρῶν διάστημα σκέπτου πόσων ζῳδίων ἐστὶν ὁ τῶν μοιρῶν ἀριθμός, καὶ εἰ μὲν ἄρτια ὦσι τὰ ζῴδια οὐχ ἓν μόνον ἀπόλλυται ἀλλὰ πλείω, εἰ δὲ περισσὰ ἓν μόνον ἀπόλλυται. ⟨μδ′⟩ Τίς ὁ κλέπτης Ἐὰν τὸν ὡροσκόπον ὅ τε Ἥλιος καὶ ἡ Σελήνη βλέπωσιν ἐκ τοῦ οἴκου τὸν κλέπτην εἶναι θεσπίζουσιν, ἐὰν δὲ μόνος ὁ εἷς φωστὴρ βλέπῃ τὸν ὡροσκόπον ἔξωθεν μὲν τὸν κλέπτην εἶναι καὶ οὐχὶ τοῦ οἴκου τινὰ ἀλλ’ ὅμως τῶν ἐπιμισγομένων συχνῶς τῷ οἴκῳ, ἐὰν δὲ μηδέτερος τῶν φωστήρων βλέπῃ τὸν ὡροσκόπον ξένον καὶ ἀλλοδαπῆ λέγε τὸν κλέπτην. Τὴν δὲ τοῦ κλέπτου μορφὴν καὶ ἰδέαν ἐκ τῶν ἀστέρων γνωσόμεθα καὶ πρῶτον μὲν καὶ προηγουμένως ἐκ τοῦ ὄντος ἐν τῇ δύσει ἀστέρος, εἰ δὲ μηδένα ἔχει τὸ δῦνον ἐκ τοῦ ὄντος ἐν τῷ θ′ τόπῳ ἀστέρος, εἰ δὲ μηδ’ ἐνταῦθα εἴη τις ὁ ἐν τῷ ιβ′ τόπῳ ὢν ἀστὴρ δηλώσει, εἰ δὲ μὴ ἐνταῦθα εἴη τις ὁ ἐπέχων τῇ Σελήνῃ σωματικῶς ἤγουν συνάπτων αὐτῇ, εἰ δὲ μηδεὶς κολλᾷ τῇ Σελήνῃ σκέπτου τίς πρὸ ἑπτὰ ἡμερῶν τῆς κλοπῆς φάσιν τινὰ ἢ στηριγμὸν ἐποίησεν ἢ ἀπὸ ζῳδίου εἰς ζῴδιον μετῆλθε καὶ ἐξ ἐκείνου τοῦ ἀστέρος γνώσῃ τὴν τοῦ κλέπτου μορφήν τε καὶ ἰδέαν. ⟨με′⟩ Περὶ τῆς ἰδέας τῶν κλεπτῶν Ἐὰν ὁ τοῦ Διὸς ἀστὴρ δηλοῖ τὸν κλέπτην ἔσται λευκόχρους, εὐέκτης, μεγαλόφθαλμος, μικρὰς τὰς κόρας ἔχων, οὐκ ὀξυδορκῶν, ἀγαθογνώμων, εὔσαρκος, εὐτραφής, δασυγένειος.

313 (1t) ἐὰν δὲ ὁ τοῦ Κρόνου δυσειδὴς ἔσται ὁ κλέπτης, μέλας, μυωπάζων, μικρόφθαλμος, ῥυτίδας ἐν τῷ σώματι ἔχων, χλωρός, ψεύστης, κρυψίνους, σκολιόφρων, δασύς, στυγνοπρόσωπος,

ὀζόχρωτος. ἐὰν δὲ ὁ τοῦ Ἄρεως ἔσται ξανθός, τετανόθριξ, γοργόμματος, στρογγυλοπρόσωπος, ὦτα ἔχων μικρά, χαροπός, νουνεχής, ἀλλοπρόσαλλος, ὀξυόρμητος, ἕτοιμος εἰς τὸ ἐξορμᾶν. ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης ἔσται εὔμορφος ὁ κλέπτης, εὔκομος, εὐόφθαλμος, μελανόμματος, λευκόχρους καὶ ἠρέμα ὑπό τι μελάγχρους, εὔσαρκος, ἀγαθογνώμων. ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ ἔσται ἰσχνὸς ὁ κλέπτης, ὑπόξηρος, σύμμετρος, οὐλόθριξ, εὐγένειος, ποικιλογνώμων, ὑπόχλωρος. ἐὰν δὲ ὁ Ἥλιος ἢ ἡ Σελήνη εὑρεθῇ τὸν κλέπτην δηλῶν τοιοῦτον δηλώσει αὐτὸν εἶναι κατὰ τὴν μορφὴν ὁποίῳ ἂν τῶν ἀστέρων συγκραθῶσιν. ἐὰν δὲ μηδενὶ τῶν ἀστέρων συνοικειωθῶσιν ἀλλὰ μόνοι καθ' ἑαυτοὺς ὦσιν ὁ μὲν Ἥλιος δηλοῖ τὸν κλέπτην εὐτραφῆ, πυκνὸν καὶ ἠρέμα ὕπωχρον, ἡ δὲ Σελήνη μόνη εὔκρατον, εὐόφθαλμον, εὔσαρκον, στρογγυλοπρόσωπον. Ἀκριβέστερον δὲ μαθήσῃ περὶ τῶν αὐτῶν οὐ μόνον τοὺς ἀστέρας σκοπῶν ἀλλὰ καὶ τὰ ζῴδια ἐν οἷς εὑρίσκονται οἱ δηλοῦντες ἀστέρες. ὁ μὲν γὰρ Κριὸς δασεῖς, εὐμήκεις δηλοῖ τοὺς κλέπτας, τῷ προσώπῳ νεύοντας κάτω, οὐλότριχας, δειλούς, παιγνιώδεις, αἰσχρολόγους, ὁ δὲ Ταῦρος σιμούς, δασεῖς τῷ σώματι, προκεφάλους, εὐρυμετώπους, τρίχας ἔχοντας ἀνεσταλμένας, κρυψίφρονας, ὑποκρίσει ἐξαπατῶντας, ἐπίπλαστον ἐπιείκειαν ἔχοντας, τοὺς δὲ μυκτῆρας πλατεῖς, παχυαύχενας, μελανοφθάλμους, λεπτοχείλους, ὀφρύας μεγάλας ἔχοντας, οἱ δὲ Δίδυμοι συμμέτρους δηλοῦσιν, ἐπίρρινας, τρυφερούς, ἀγαθογνώμονας, τοὺς δὲ ὤμους ἔχοντας εὐτυπώτους, τινὰς δὲ καὶ γράμματα γινώσκοντας καὶ πιστευομένους, ὁ δὲ Καρκίνος δηλοῖ ὀστώδεις, δασύτριχας, πλατυπροσώπους, μελανόχροας (τινῶν δὲ καὶ οἱ ὀδόντες διεστραμμένοι εἰσίν), συμμέτρους τῷ μήκει, τὰ δὲ κάτω μέρη μείζονα ἔχοντας, ὁ δὲ Λέων γλαυκούς, πυρρούς, εὐμόρφους, τὰ ἐπάνω μέρη μείζονα ἔχοντας, λεπτὰς κνήμας ἔχοντας, ἀγριογνώμονας, ἀγριοπροσώπους, γαστριμάργους, τινὰς δὲ καὶ παλαίειν εἰδότας, ἡ δὲ Παρθένος συμμέτρους τῇ ἡλικίᾳ, εὐπλάστους τῷ σώματι, ὀρθίους τὴν ἰδέαν, κοσμίους τὸ ἦθος καὶ ἢ πιστοὺς διὰ γραμμάτων ἤ τινα τέχνην διὰ γραμμάτων μαθόντας, ὁ δὲ Ζυγὸς εὐοφθάλμους, λευκόχροας, εὐχρήστους εἰς διακονίαν, εὐπλάστους τοῖς μέλεσιν, εὐρύθμους, εὐτραπέλους, κατωφερεῖς πρὸς γυναῖκας, ὁ δὲ Σκορπίος ἀνεσταλμένους ταῖς θριξίν, ὑπογλαύκους, μεσοφθάλμους, στρογγυλοπροσώπους, τὴν φάρυγγα προπετῆ ἔχοντας, μακροκνήμους, εὔποδας, πλατυθώρακας, ἅρπαγας, θρασεῖς, βασκάνους, τολμηρούς, ῥιψοκινδύνους, ὁ δὲ Τοξότης μεγαλοσκελεῖς, εὐκνήμους, εὐπλάστους, τινὰς δὲ καὶ φαλακρούς, ὀξυγενείους, ἐρυθρόχροας, προγάστορας, ὠκύποδας, κολυμβητάς, φιλοπροβάτους, εὐπορίστους, δαπάνους, ὀργίλους, ὁ δὲ Αἰγόκερως δασεῖς, λεπτοσκελεῖς, ὀστώδεις, κάτω νενευκότας, αἰγοφθάλμους, ὀξυγενείους, ἀμφιβόλους, ἀβεβαίους, γελωτοποιούς, ὑπομώρους, ὁ δὲ Ὑδροχόος μεσήλικας, σεμνοπροσώπους, εὐγενείους, φιλοπαίγμονας, δαπανηρούς, τρυφητάς, τὴν ἑτέραν δὲ κνήμην τῆς ἑτέρας παχυτέραν ἔχοντας, ἐν οἷς ἐπιτηδεύουσι δυστυχοῦντας, οἱ δὲ Ἰχθύες πλατυώμους, εὔτριχας, μικροκεφάλους, στενομετώπους, μελανοφθάλμους, ἀπαθεῖς, διγνώμους, πολυτρόπους, ἄλλα μὲν μεταχειριζομένους ἐν διανοίᾳ, ἄλλα δὲ διώκοντας.

Καὶ οὗτοι μὲν οἱ στοχασμοὶ ἔκ τε τῶν ἀστέρων καὶ ἐκ τῶν ζῳδίων ἔστωσαν εὑρίσκεσθαι, ἀλλ' οὐ δεῖ πάντα τὰ σημεῖα ἀνελλιπῶς ἐφ' ἑκάστου εὑρίσκεσθαι νομίζειν ἀλλ' ὅσα ἐνδέχεται ἐντέχνως ἐπεξιέναι ἔκ τε τῶν συσχηματιζομένων ἀστέρων συνεπικρίνειν τὸν στοχασμόν. ἐὰν δὲ τῷ σημαίνοντι τὸν κλέπτην ἀστέρι ἀγαθοποιὸς μαρτυρῇ ἐλεύθερος ἔσται ὁ κλέπτης, ἐὰν δὲ κακοποιὸς δοῦλος ἢ πένης ἢ μισθωτός. ἐὰν δὲ Ἀφροδίτη σημαίνῃ τὸν κλέπτην αἰτία τῆς κλοπῆς ἔσται γυνή, ἐὰν δὲ Ἑρμῆς παῖς, ἐὰν δὲ Ἄρης ἀκμαῖος, ἐὰν δὲ Ζεὺς μεσῆλιξ, ἐὰν δὲ Κρόνος γέρων. πάλιν ἐὰν ὁ τὸν κλέπτην σημαίνων ἀστὴρ ἐπὶ Κρόνου, Διός, Ἄρεως ἑῷος ᾖ ἀνατολικὸς παῖδα τὸν κλέπτην θεσπίζει, ἐὰν δὲ τὸν πρῶτον στηριγμὸν ποιῇ ἀκμαῖον, ἐὰν δὲ ἀκρόνυχος ᾖ μεσήλικα, ἐὰν δὲ τὸν δεύτερον στηριγμὸν ποιῇ μεσαιπόλιον, ἐὰν δὲ τὴν ἑσπερίαν κρύψιν γέροντα. ἔστω οὖν τὸν Κρόνον σημαίνοντα τὸν κλέπτην ἐπὶ ἑῴας ὄντα ἀνατολῆς· οὔτε

οὖν παῖς ἐστιν ὁ κλέπτης διὰ τὸ ἑῷον οὔτε γέρων διὰ τὸν Κρόνον, ἀλλὰ μεσῆλιξ μεμιγμένου τοῦ στοχασμοῦ ἔκ τε τοῦ παιδὸς καὶ τοῦ γέροντος. ἐπὶ δὲ Ἀφροδίτης καὶ Ἑρμοῦ εἰ μέν εἰσιν ἑσπέριοι ἀνατολικοὶ νέους ἢ νέας δηλοῦσι τοὺς κλέπτας, εἰ δὲ μετὰ τὸν πρῶτον στηριγμὸν ἑσπέριοι δυτικοὶ μεσήλικας, εἰ δὲ ἑῷοι ἀνατολικοὶ πρεσβυτέρους· τινὲς δὲ λέγουσιν ὅτι ἐὰν ἡ Ἀφροδίτη καὶ ὁ Ἑρμῆς ὦσιν ἑῷοι ἀνατολικοὶ δηλοῦσι τὸν κλέπτην νέον ἢ νέαν, ἐὰν δὲ δυτικοὶ γέροντας ἢ γηραιάς.

316 πάλιν ἐὰν ὁ τὸν κλέπτην σημαίνων ἀστὴρ εἰς τὸ ἴδιον ὕψωμα ᾖ μέγαν τῷ σώματι καὶ εὐμεγέθη μηνύει τὸν κλέπτην, ἐὰν δὲ ἐν τοιούτῳ ζῳδίῳ ᾖ ἔνθα ταπεινοῦται μικρόν, σὺ δὲ κατὰ τὸ τῆς ἀποστάσεως ἀνάλογον συλλογίζου περὶ τῆς τοῦ μεγέθους πηλικότητος. οἷον ἔστω ὁ τὸν κλέπτην δηλῶν Ἄρης ἐπέχων τοῦ Κριοῦ τὸν τρίτον δεκανόν· λέγομεν ὅτι τῷ μεγέθει μέσος ἐστὶν ὁ κλέπτης (ἀπὸ γὰρ Αἰγοκέρωτος τοῦ τρίτου δεκανοῦ τὸ μέσον ἐστὶ διάστημα τοῦ ἡμικυκλίου). ἐὰν δὲ ἦν ἐν Ἰχθύσιν ἢ ἐν Σκορπίῳ μεῖζον τοῦ μέσου τὸ μέγεθος ἐλέγομεν ἄν, ἐὰν δὲ ἐν Ταύρῳ ἢ Παρθένῳ ἔλασσον τοῦ μέσου. ἐὰν δὲ ὁ τὸν κλέπτην ὑποφαίνων ἀστὴρ τύχῃ μετὰ τὸ γενέσθαι τὴν κλοπὴν εἴσω ἡμερῶν ἑπτὰ ὑπὸ τὰς τοῦ Ἡλίου αὐγὰς πεσὼν γίνωσκε ὅτι ἐν κακῷ τινι ὁ κλέπτης ἐμπέπτωκεν, ἐὰν δὲ πρὸς τούτῳ καὶ ὑπὸ Ἄρεως μαρτυρῆται τραύμασιν ἢ βασάνοις ἢ κινδύνοις χαλεποῖς περιπετὴς ἐγένετο. ἐὰν δὲ τὸν τῆς τύχης κλῆρον μὴ βλέπῃ κακοποιὸς οὐ γέγονε κλοπὴ ἀλλὰ μόνον παρέπεσέ που τὸ ζητούμενον καὶ κρύπτεται, καὶ ἐὰν μόνος ὁ Ἥλιος τὴν τύχην ὁρᾷ οὐδὲ ἐκλάπη ἀλλὰ κρύπτεται. 〈μϛʹ〉 Τίνι τρόπῳ ἀπώλετο Ἐὰν ὁ Κρόνος μαρτυρῇ τῷ τε ὡροσκόπῳ καὶ τῇ Σελήνῃ δηλοῖ διά τινος δόλου καὶ ἐνέδρας γεγονέναι τὴν κλοπήν, ἐὰν δὲ ὁ Ζεὺς δηλοῖ τὸν κλέπτην διά τινος ἐπιπλάστου ἤθους ἀγαθοῦ καὶ ὑποκρίσει ἐπιεικείας πιστευθέντα κλέψαι ἃ ἔκλεψεν, ἐὰν δὲ ὁ Ἄρης δυνάμει καὶ βίᾳ ἢ τοιχωρυχίᾳ ἢ ὑποβολῇ κλειδίου ἑτέρου ἢ θύρας μετοχλήσει δηλοῖ γενέσθαι τὸ κλέμμα, ἐὰν δὲ ἡ Ἀφροδίτη διὰ φιλικὰς προφάσεις ἢ ἑταιρείας ἢ εὐφροσύνας ἢ γυναῖκας, ἐὰν δὲ ὁ Ἑρμῆς διὰ πανουργίας.

317 (1t) 〈μζʹ〉 Περὶ δραπετῶν Γνωσόμεθα τὸν μὲν δραπέτην ἐκ τῶν τῇ Σελήνῃ καὶ τῷ ὡροσκόπῳ συμβεβηκότων, τὸν δὲ δεσπότην ἐκ τῶν τῷ Ἡλίῳ καὶ τῷ μεσουρανήματι. ἐὰν οὖν ἡ Σελήνη ἢ ὁ ὡροσκόπος ἤτοι ἐν τροπικοῖς ἢ ἰσημερινοῖς τύχωσι ζῳδίοις ἐμποδισμοὶ συμβήσονται τῷ φυγόντι καὶ οὐ μὴ δυνηθῇ πόρρω που ἀφικέσθαι οὔτε διὰ γῆς οὔτε διὰ θαλάσσης, ἐὰν δὲ ἐν δισώμοις οὐκ ἔφυγε μόνος ἀλλ’ ἔχει στερεότητα καὶ καρτερίαν. ἐὰν δὲ ὡροσκοπῇ ζῴδιον πλάγιον, κακὸν τῷ φυγόντι (πλανηθῆναι γὰρ ἔχει κατὰ τὴν ὁδόν), ἐὰν δὲ ὀρθὸν ἐκεῖ ἀπελεύσεται ὅπου ἂν βουληθῇ. Σελήνη ἐν δισώμῳ οὖσα ζῳδίῳ ἕως τῶν ιε μοιρῶν δηλοῖ ὅτι ὁ δραπέτης τότε πρῶτον ἔφυγεν ἀλλὰ καὶ ἐκ δευτέρου πάλιν φεύξεται, ἡνίκα δὲ μετὰ τὰς ις μοίρας ἕως τῆς τριακοστῆς δηλοῖ ὅτι καὶ πρότερον ἀπέδρα καὶ οὐ μόνον τότε. Σελήνη ὡροσκοποῦσα μὲν τὸν δραπέτην ἐπ’ ἀνατολὰς ὁρμῆσαι λέγει, μεσουρανοῦσα δὲ ἐπὶ νότον, δύνουσα δὲ ἐπὶ δυσμάς, ἐν τῷ ὑπογείῳ δὲ κέντρῳ οὖσα ἐπὶ βορρᾶν.

318 ἐν δὲ τοῖς μεταξὺ διαστήμασιν ἀναλόγως, οἷον ἐν μὲν τῷ ἐννάτῳ ἐπὶ νότον δυτικώτερον, ἐν δὲ τῷ ηʹ πρὸς δυσμὰς νοτιώτερον, καὶ ἐπὶ τῶν ἄλλων τόπων ὁμοίως. Ἐὰν ὁ Ἄρης στηρίζων εἴτε κατὰ σῶμα εἴτε κατὰ ἀκτῖνα συνάπτῃ τῇ Σελήνῃ ὁ φυγὼν ἢ τεθνήξεται ἢ δεθήσεται κρατηθεὶς ἢ ἐν εἱρκτῇ ἐμπεσεῖται, καὶ μάλιστα ἐὰν καὶ ὁ Κρόνος αὐτὴν θεωρήσας βλάψῃ· τότε γὰρ ἢ κρύφα ἢ φανερῶς ἐπιβουλευθεὶς ἀπολεῖται. ἐὰν δὲ Κρόνος στηρίζων τὴν Σελήνην ἴδῃ ἢ συναφὴν αὐτῆς ἐπέχῃ αὐτοχειρίᾳ ὁ φυγὼν ἀπάγξεται ἐὰν μή τις ἀγαθοποιὸς ἰδὼν τὴν Σελήνην λύσῃ τὴν κάκωσιν. ἐὰν δὲ ὁ Κρόνος μὴ στηρίζων δέχηται τὴν Σελήνην ὁ φυγὼν ὅσα μὲν βαστάζει ἀπολέσει, αὐτὸς δὲ κακῶς ἔχων τῷ ἰδίῳ δεσπότῃ ἀχθήσεται ἢ ἐν τῇ ξένῃ δεσμώτης ἔσται. Ὅταν δὲ ἀγαθοποιοὶ ὁρῶσι τὴν Σελήνην ἢ συνάπτωσιν αὐτῇ ἢ ὡροσκοπῶσι καλόν ἐστι τῷ φυγόντι· ἢ γὰρ ἐπιθαρσύνουσιν αὐτὸν ἢ τελέως ἐλευθεροῦσιν. κρείσσων δέ ἐστιν ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀφροδίτη ἐν τοῖς τοιούτοις τῷ φεύγοντι καὶ τῷ κλέπτῃ διότι κἂν ζωγρηθῶσιν οὐδὲν κακὸν πείσονται ὑπὸ τῶν δεσποτῶν ἕνεκα τῆς Ἀφροδίτης ἀλλὰ τιμιώτεροι πάλιν γενήσονται. Σελήνης αὐξιφωτούσης ὁ φυγὼν δυσκόλως εὑρεθήσεται (οὐδὲ γὰρ φοβούμενος τὸν ἑαυτοῦ δεσπότην κρύπτεται), Σελήνης ληγούσης ὁ φυγὼν οὔτε μακρὰν δύναται ἀπελθεῖν οὔτε ἐπὶ πολὺν χρόνον λαθεῖν (εἵμαρται γὰρ αὐτὸν ἁλῶναι). Ἡλίου δύνοντος, Κρόνου ἐν τῷ η′ ἐπιδύνοντος ἐάν τινος δοῦλος ἀποδρᾷ πρὶν εὑρήκωσι τὸν δοῦλον ὁ δεσπότης αὐτοῦ τελευτήσει. τῶν κακοποιῶν ἤτοι μεσουρανούντων ἢ μετὰ τοῦ Ἡλίου ὄντων ἐάν τινος δοῦλος φύγῃ συμφέρει τῷ δεσπότῃ μὴ ζητεῖν αὐτόν· οὐχ εὑρήσει γὰρ αὐτόν, ἀλλ’ εἰ καὶ εὑρέθη οὐ τοσοῦτον ὠφεληθήσεται ὅσον βλαβήσεται.

319 Σελήνης δυνούσης, Ἄρεως ἐπιδυομένου, μηδενὸς ἀγαθοποιοῦ μαρτυροῦντος τῇ Σελήνῃ κάκιστον θάνατον τῷ φυγόντι δηλοῖ. Σελήνης δυνούσης, Ἑρμοῦ ἐπιδυομένου, Ἄρεως δὲ ἐκ τῶν δεξιῶν τὸν Ἑρμῆν τριγωνίζοντος ἀπὸ τοῦ ὑπογείου, χαλεπὸς θάνατος τῷ φυγόντι δηλοῦται. Σελήνης ὑπὸ τὰς αὐγὰς οὔσης τοῦ Ἡλίου καὶ ὑπὸ Ἄρεως ὁρωμένης ὁ φυγὼν ἢ ἀπὸ πυρὸς ἢ ἀπὸ σιδήρου ἀπόλλυται. Εἰ δὲ θέλεις καὶ τὴν ποιότητα τοῦ ὀλέθρου καὶ ὑπὸ τίνων γίνεται σκέπτου οὕτως· σκόπει γὰρ τὸ ζῴδιον ὅπερ ἐπέχει ἡ Σελήνη καὶ τὸν ὡροσκόπον τῆς καταρχῆς. ἐὰν μὲν οὖν ὦσιν ἀνθρωπόμορφα ὑπὸ λῃστῶν καὶ ἁπλῶς ἀνθρώπων τὰ κακὰ γίνεται, ἐὰν δὲ τετράποδα ὑπὸ θηρίων, εἰ δὲ ἀναμίξ (τουτέστι τὸ μὲν ἀνθρωπόμορφον, τὸ δὲ τετράπουν) ὑπὸ πολεμίων ἱππέων, ἐὰν δὲ γεώδη ὑπὸ κρημνισμῶν ἢ συμπτωμάτων. Ἐὰν δὲ τὴν Σελήνην ὡς εἴρηται ὕπαυγον οὖσαν ὁ Κρόνος ἐκ ζῳδίου καθύγρου ἴδῃ Λέοντος ὡροσκοποῦντος βεβαιότερον τὸ κακὸν δηλοῦται· οὔτε γὰρ ὁ φυγὼν εὑρεθήσεται, ἀλλὰ διαφθαρήσεται, οὔτε τὸ ἀπολωλὸς εἶδος. ἐὰν δὲ τῇ τοιαύτῃ τῆς Σελήνης κακώσει καὶ ὁ Ἑρμῆς συμπνεύσῃ οἱ δραπέται αὐτόχειρες ἀποθνῄσκουσιν. τὰς δὲ προειρημένας κακώσεις οἱ ἀγαθοποιοὶ ἀναλύουσιν ἐπιθεωρήσαντες, καὶ μάλιστα ἔξαυγοι ὄντες. Σελήνης πρὸς Ἄρεα μὴ στηρίζοντα φερομένης ἀλλὰ προσθετικῆς ὁ φυγὼν μαστίγων καὶ βασάνων πεῖραν λήψεται.

320 Ἄρεως δύνοντος, Σελήνης ἐπιδυομένης, τοῦ Διὸς ἐπιθεωροῦντος αὐτήν, ὁ φυγὼν διὰ μὲν τὸν Ἄρεα φόβους καὶ κινδύνους ὑποστήσεται, διὰ δὲ τὸν Δία ῥυσθήσεται ἐκ τῶν κακῶν. κἂν οἱ κακοποιοὶ τὸ ὑπόγειον κέντρον ἢ τὸ μεσουράνημα ἢ τὸ δῦνον περιέχωσιν ὁ φυγὼν δεσμώτης γενόμενος ἐν εἱρκτῇ ἀποθνῄσκει. Σελήνης μεσουρανούσης καὶ ὑπὸ τῶν κακοποιῶν περιεχομένης, τοῦ μὲν Ἄρεως ἐκ τῶν δεξιῶν, τοῦ δὲ Κρόνου ἐκ τῶν εὐωνύμων, ὁ φυγὼν ἀγχόνῃ διαφθαρήσεται, ἐὰν δὲ ὁ μὲν Ἄρης ἐκ τῶν εὐωνύμων, ὁ δὲ Κρόνος ἐκ τῶν δεξιῶν αὐτὴν περιέχωσιν, ὁ φυγὼν ἀνασταυρωθήσεται. Σελήνης μεσουρανούσης ἢ δυνούσης ἢ ἐν τῷ ὑπογείῳ κέντρῳ οὔσης ὑπὸ Ἡλίου καὶ Ἄρεως περιεχομένης ὁπόθεν ἑκάτερος τύχῃ ἢ δεξιὸς ἢ εὐώνυμος ὁ φυγὼν ζῶν πυρὶ παραδοθήσεται. ὁ τῆς Σελήνης οἰκοδεσπότης ὕπαυγος ὢν καὶ μὴ θεωρῶν τὴν Σελήνην τοῦ φυγόντος τὸν δεσπότην δηλοῖ ταχέως ἀποθνῄσκειν. τῆς Σελήνης καὶ τοῦ οἰκοδεσπότου αὐτῆς καὶ τοῦ ὡροσκόπου ἐν τροπικοῖς ζῳδίοις ὄντων ὁ φυγὼν ἐν μετανοίᾳ γενόμενος ἑκουσίως πρὸς τὸν δεσπότην ὑποστρέψει. ἐὰν δὲ ἡ Σελήνη ὁρᾶται ὑπό τε ἀγαθοποιοῦ καὶ κακοποιοῦ οὐ διαφεύξεται ὁ φυγὼν τὸν δεσπότην, καὶ μάλιστα ὅταν ὁ κακοποιὸς τετράγωνος ἢ διάμετρος ᾖ πρὸς τὴν Σελήνην, καὶ ἐν ἐκείναις σχεδὸν ταῖς ἡμέραις ἐν αἷς ἡ Σελήνη διέρχεται κατὰ περίπατον εἰς τὰς τοῦ κακοποιοῦ μοίρας τῆς ἐποχῆς ἤτοι ἀγρευθήσεται ὁ φυγὼν ἢ κακῷ τινι περιπεσεῖται. τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου ἀμφοτέρων κεκακωμένων καὶ ὑπὸ μηδενὸς τῶν ἀγαθοποιῶν βοηθουμένων ὁ φυγὼν κινδυνεύσει καὶ βλαβήσεται· τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου ἀμφοτέρων βοηθουμένων ὑπὸ τῶν ἀγαθοποιῶν καὶ ἀκακώτων ὄντων ὑπὸ Κρόνου καὶ Ἄρεως ἐὰν ἐν στερεοῖς ζῳδίοις ὦσιν οἱ ἀγαθοποιοὶ ὁ φυγὼν οὐδέποτε εὑρεθήσεται, εἰ δὲ ἐν δισώμοις ἢ τροπικοῖς ζῳδίοις ἤτοι αὐτὸς ὁ φυγὼν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετανοήσας ὑποστρέψει ἢ καὶ ἄκων κρατηθήσεται μηδέν τι κακὸν ὑποστάς· δυσωπηθήσεται γὰρ ὁ δεσπότης καὶ οἶκτον αὐτοῦ λήψεται.

321 Ὁ Ἥλιος τὴν Σελήνην καὶ τὸν ὡροσκόπον θεωρῶν πάντα τὰ λαθραῖα φανερὰ ποιεῖ. ἐπὶ δὲ τῶν ὑποφαινουσῶν εὕρεσιν καταρχῶν ὁ μὲν Ἄρης ταχέως δηλοῖ τὴν εὕρεσιν, ὁ δὲ Κρόνος βραδέως. Διὸς δύνοντος ὁ φυγὼν ἐὰν καὶ κρατηθῇ οὐδὲν κακὸν πείσεται· ὁ γὰρ δεσπότης πραΰνεται. ἡ Ἀφροδίτη εὕρεσιν ὑποφαίνουσα ἐν τόπῳ ἱερῷ τὸν φυγάδα δείκνυσιν εἶναι. Ἐάν τις ἀστὴρ ἐν οἴκῳ ἰδίῳ ὢν καὶ βλέπων τὸν ὡροσκόπον καὶ τὴν Σελήνην ᾗ δηλοῖ μὴ γεγονέναι φυγήν, ἀλλ' εἴ τί που πλησίον πλανᾶται ὃν δοκεῖς πεφευγέναι, μακρὰν δὲ οὐκ ἀπῆλθεν. πᾶς γὰρ ἀστὴρ ἀναποδίζων καὶ τὴν Σελήνην ὁρῶν καὶ τὸν ἴδιον οἶκον οὐ πεφευγέναι λέγει τὸν ζητούμενον ἀλλ' ἐγγύς που πλανᾶσθαι. Ἡ Σελήνη καὶ ὁ ὡροσκόπος ἄνευ τινὸς ἀστέρος μαρτυρίας ὅταν ὦσιν ἐν ἑκάστῳ τῶν ζῳδίων καθ' αὑτοὺς περὶ τοῦ προκειμένου κεφαλαίου ταῦτα μηνύουσιν ὡς ὑποτέτακται. ὁ Κριὸς ἔχων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον ταχέως πάλιν ἀνακομίζει, τινὲς δὲ καὶ ἑκουσίως ὑποστρέφουσιν, ἐὰν δὲ τῆς Σελήνης ἐν Κριῷ οὔσης ὡροσκοπῇ Λέων ἢ Τοξότης ἢ Ἰχθύες ἢ Δίδυμοι οὐχ εὑρεθήσεται ὁ φυγών.

322 Ταῦρος ἔχων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον τὸν φυγόντα κομίζει εἰς οἶκον ἀνδρὸς δυνάστου διὸ καὶ δυσκόλως εὑρίσκεται. Δίδυμοι ἔχοντες τὴν Σελήνην ἢ τὸν ὡροσκόπον εἰ μὲν ἕως τῆς α' πεντεκαιδεκαμοιρίας εἰσὶν ἢ εἴσω ἡμερῶν β ὁ φυγὼν εὑρεθήσεται ἢ μετὰ τὸν γ' μῆνα ἢ ὄψεται αὐτὸν ὁ δεσπότης ἢ ἀκούσει παρ' αὐτοῦ μήνυμα, εἰ δὲ μετὰ τὴν α' πεντεκαιδεκαμοιρίαν ταχέως τὸν φυγόντα εὑρίσκει. Καρκίνος ἔχων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον τὸν φυγόντα εἰ μὴ εἴσω β ἡμερῶν εὑρεθείη σημαίνει ἐν ἱερῷ τόπῳ κρυπτόμενον βραδέως πάνυ εὑρεθήσεσθαι. Λέων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον ἔχων ἕως μοιρῶν ιε ἐπανάγει τὸν δραπέτην, ὑπὲρ δὲ τὰς ιε μοίρας ἀφανίζει αὐτὸν καὶ εἰς οἶκον πλουσίου τινὸς δυνάστου ἀποκομίζει διὸ καὶ δυσχερῶς εὑρεθήσεται. Παρθένος τὴν Σελήνην ἔχουσα ἢ τὸν ὡροσκόπον δυσχερῆ τὴν εὕρεσιν ἐμφαίνει τοῦ φυγόντος· διὰ γὰρ τὸ πτερωτὸν τοῦ ζῳδίου ἀφανῆ τὸν δραπέτην ἔσεσθαι ὑποσημαίνεται. Ζυγὸς τὴν Σελήνην ἔχων ἢ τὸν ὡροσκόπον ἐπανάγει μὲν τὸν δραπέτην ἀλλὰ προφασιζόμενόν τι καὶ δικαιολογούμενον ὑπὲρ τοῦ εὐλόγως πεφευγέναι. Σκορπίος τὴν Σελήνην ἔχων ἢ τὸν ὡροσκόπον εἰς ἱερὸν ἀποκομίζει τὸν δραπέτην, πολλάκις δὲ καὶ ἑκουσίως αὐτὸν ὑποστρέψαι ποιεῖ. Τοξότης ἔχων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον ποιεῖ τὸν δραπέτην πλανᾶσθαι εἰς τόπους διαφόρους καὶ χρονίαν τὴν εὕρεσιν παρέχεται. Αἰγόκερως ἔχων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον 〈τὸν δραπέτην ἐὰν εἴσω πέντε ἡμερῶν μὴ εὑρεθῇ ἀποθανεῖσθαι δηλοῖ καὶ τὸν τόπον αὐτοῦ μὴ γνωσθήσεσθαι.〉 Ὑδροχόος ἔχων τὴν Σελήνην ἢ τὸν ὡροσκόπον ἐν μὲν ταῖς πρώταις ιε μοίραις ἐπανάγει τὸν δραπέτην, ἐν δὲ ταῖς ὑστέραις ἀφανίζει αὐτόν. Ἰχθύες ἔχοντες τὴν Σελήνην ἢ τὸν ὡροσκόπον ἐν μὲν ταῖς πρώταις μοίραις ιε ἀφανίζουσι τὸν φυγόντα, κατὰ δὲ τὰς λοιπὰς μοίρας φανερὸν ποιοῦσιν αὐτόν. καὶ ταῦτα μὲν καθ' αὑτὰ τὰ ιβ ζῴδια μηνύουσιν ἄνευ μαρτυρίας τινὸς ἀστέρος, ἐπεὶ δὲ ἡ ὡροσκόπησις τῆς καταρχῆς τοῦ φυγόντος ἄδηλός ἐστι, δεῖ τιθέναι ἐκεῖνον ὡροσκόπον ὁπότε ἤκουσεν ὁ τοῦ φυγόντος δεσπότης τὴν ἀγγελίαν τῆς φυγῆς.

323 Καὶ〉 ταῦτα μὲν ἐν τοῖς ἔπεσι Δωρόθεος, ἐκκείσθω δὲ καὶ τὰ παρὰ τῶν ἄλλων εἰρημένα καὶ ἐκ τῶν Συναγωγῶν τοῦ Νικαέως Πρωταγόρου· φησὶ δὲ οὕτως. ἐὰν εὑρεθῇ ὁ οἰκοδεσπότης τοῦ ὡροσκόπου τῆς φυγῆς ἀναποδίζων ὁ φυγὰς αὐτομάτως ἐπανελεύσεται πρὸς τὸν δεσπότην, ἐὰν δὲ ἐν ἰδίῳ οἴκῳ εὑρεθῇ ἢ ὁρίοις καὶ μὴ ἀναποδίζων ὁ ἀποδρὰς ἔνδον τοῦ οἴκου ἐστὶν ἢ ἐν τῇ πόλει ἢ ἐν τῇ περιχώρῳ εὑρεθήσεται, καὶ θᾶττον ἐὰν ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ τύχῃ ὥσπερ βραδύτερον εἰ ἐν τῷ ὑπὸ γῆν εἴη. Τῆς δὲ Σελήνης οὔσης ἐν τῷ δεξιῷ τετραγώνῳ (τουτέστιν ἐν τῷ μεσουρανήματι) διὰ τῶν δεξιῶν μερῶν τῆς οἰκίας ἀφ' ἧς πέφευγεν ὁ φυγὰς τὴν τῆς ἀποφυγῆς πάροδον πεποίηται, ἐν δὲ τῷ εὐωνύμῳ τετραγώνῳ ὁμοίως διὰ τῶν ἀριστερῶν μερῶν· ὁ γὰρ ὡροσκόπος ἀντὶ τῶν πυλῶν τῆς οἰκίας νοεῖται. ἡ δὲ Σελήνη ἀπὸ τοῦ βορείου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πέρατος βορρᾶν κατερχομένη μηνύει τὸν φυγάδα κατὰ μεσημβρίαν πεπορεῦσθαι καὶ εὑρεθήσεσθαι ἐν ἡμέραις κε , νότον δὲ κατερχομένη ἐν τοῖς κατὰ δύσιν τόποις ἐν ἡμέραις μβ ἐν καθύγροις τόποις καὶ ἀνημέροις ἢ δυσχειμέροις, νότον δὲ ἀνερχομένη ἐν τοῖς ἀνατολικοῖς καὶ δυσκόλως μηνυθήσεσθαι ἐν ἡμέραις ξδ , βορρᾶν δὲ ἀνερχομένη ἐν τοῖς ἀρκτῴοις τόποις καὶ δυσκόλως εὑρεθήσεσθαι μηνύει. Καὶ ἐκ τῆς τῶν ζῳδίων φύσεως καταστοχαστέον τὸν τόπον εἰς ὃν ἀπελεύσεται ὁ φυγών· οἷον Ἰχθύες μὲν λιμνώδεις καὶ ἑλώδεις σημαίνουσιν, ὁμοίως Ὑδροχόος, Αἰγόκερως ὑδρηλὰ χωρία καὶ παραθαλάσσια, ὁ δὲ Τοξότης τραχεῖς, ἀμπελῶνας, Κριὸς δὲ νομαίους καὶ πεδινούς, ὁ δὲ Ταῦρος ἐπιπέδους καὶ πεπονημένους τόπους, 〈οἱ δὲ Δίδυμοι .

324 ..〉, Καρκίνος δὲ ἐνύδρους καὶ χερσαίους, ὑψηλούς, Λέων δὲ προσάντεις καὶ τραχεῖς καὶ ἐρήμους, ἡ δὲ Παρθένος σιτοσπόρους, ὁ δὲ Ζυγὸς πεδινούς, ὁ Σκορπίος τραχεῖς καὶ ληστρικούς, ἔχοντας καὶ ἀμπελῶνας, ὁ δὲ Ὑδροχόος παραποταμίους καὶ ἑλώδεις. Τινὲς δὲ καὶ τὰ κέντρα ἐμέρισαν οὕτως· τὸ μὲν δῦνον τῷ φεύγοντι, τὸ δὲ μεσουράνημα τῷ δεσπότῃ, τὸν δὲ ὡροσκόπον τοῖς βασταχθεῖσιν, τὸ δὲ ἀντιμεσουράνημα τῷ ἀπαντήσαντι. τινὲς δὲ πάλιν καὶ οὕτως ἀπονέμουσιν· τὴν μὲν Σελήνην καὶ τὸν ὡροσκόπον τῷ φεύγοντι, τὸν δὲ Ἥλιον καὶ τὸ μεσουράνημα τῷ κυρίῳ. Ἐπιμελέστερον δὲ χρὴ προσέχειν τῇ Σελήνῃ· ἐμφαίνει γὰρ αὕτη πάντα. καὶ πρῶτον τὸ ὑπὲρ γῆν ἡμισφαίριον διοδεύουσα εὔκολον τὴν εὕρεσιν ποιεῖται, τὸ δὲ ὑπὸ γῆν δύσκολον καθὼς καὶ λέγει 〈...〉. καταληφθεῖσα δὲ ἐν τῷ ὡροσκόπῳ ἢ ἐν τοῖς ἀκολούθοις τούτου ζῳδίοις πρὸς ἀνατολὰς 〈τὴν〉 φυγὴν ἀποφαίνει γεγονέναι, ἐν δὲ τῷ μεσουρανήματι πρὸς ἄρκτον, ἐν δὲ τῇ δύσει πρὸς δύσιν, ἐν δὲ τῷ ὑπὸ γῆν κέντρῳ πρὸς μεσημβρίαν. δηλοῦσι δὲ καὶ τὰ κέντρα τὴν ἔξοδον δι’ ἧς ἀναχωρήσουσι πύλης οἱ φεύγοντες, καὶ τὸ μῆκος τῆς ὁδοῦ τὸ διάστημα τῶν ὡρῶν ἀπὸ τοῦ ὁρίζοντος ἢ τοῦ δύνοντος δι’ αὐτῆς τῆς Σελήνης.

325 εὑρεθεῖσα γὰρ ἐν τροπικῷ βραχεῖαν τὴν ὁδὸν τῆς φυγῆς καὶ βραδέως ὁδεύσαντα καὶ οὐ μακρὰν ἀπὸ τοῦ τόπου οὗ ἀπέδρα ἐσόμενον σημαίνει, ἢν δὲ ἐν χερσαίοις καὶ λοξοῖς ἢ δισώμοις οὐκ ὀρθὰς τὰς πορείας ποιήσεσθαι οὐδὲ μόνον ἀποδεδρακέναι. Κατὰ δὲ τὰς ἀνατολὰς ἢ δύσεις τοῦ ζῳδίου τήν τε ὀρθότητα καὶ τὴν σκολιότητα τῆς πορείας αὐτοῦ γνωστέον, τάς τε ἀρχὰς ἀπὸ τῶν ἀνατολῶν καὶ τὰ τέλη ἀπὸ τῶν δύσεων. τὰ δὲ ὕπτια τῶν ζῳδίων καὶ κίνδυνον τῷ φυγόντι ποιοῦσιν, καὶ μάλιστα ὅταν οἱ χαλεποὶ τῶν ἀστέρων προσγένωνται· βεβαιότερα γὰρ τὰ κακὰ αὐτοῖς μηνύει, καὶ μάλιστα ὅταν ὑπὸ γῆν ὁ Ἄρης σὺν αὐτῇ γένηται ἢ καὶ στηρίζῃ, Κρόνου δὲ μερίζοντος ἀπάγχονται ἢ κατακρημνίζουσιν ἑαυτούς. συναπτούσης δὲ αὐτῆς τοῖς ἀγαθοποιοῖς ἢ κατεχόντων αὐτῶν τὴν ὥραν, τῶν κακοποιῶν συσχηματιζομένων, ἐκ μετανοίας ἀνακάμπτουσιν, ἀπεστραμμένων δὲ αὐτῶν σχεδὸν ἐν ἐλευθερίᾳ ἔσονται. ἢν δὲ Ἀφροδίτη παρῇ ἐπίκεντρος ἢ ἰδιοτοποῦσα οὐ μόνον ἀνύβριστοι γενήσονται ἀλλὰ καὶ παρακληθήσονται. μέσης δὲ εὑρεθείσης τῆς Σελήνης Ἄρεως καὶ Κρόνου ἐν δεσμοῖς ἔσονται πολὺν χρόνον, ἔσθ’ ὅτε καὶ ἐν εἱρκταῖς ἀποθνήσκουσιν, καὶ μάλιστα ἀλλοτριωθέντων τῶν ἀγαθοποιῶν. συναπτούσης δὲ Ἄρει σφαγήσονται. Φυλακτέον δὲ καὶ ταῦτα.

326 ἐπὰν γὰρ ἐν τῇ προαναφορᾷ τοῦ ὡροσκόπου ἀστὴρ ἐπῇ καὶ πρότερον πεφευγέναι αὐτὸν μηνύει, ἐν δὲ τῇ ἐπαναφορᾷ ληφθεὶς καὶ πάλιν φεύξεται, καὶ τῆς Σελήνης ἐν τῷ ὡροσκόπῳ οὔσης ἄλλης οἰκίας καὶ οὐ τοῦ σκεπτομένου ἔσται πλὴν ἀναχθήσεται, ἢ〈ν〉 δὲ ἀστήρ τις δύνῃ παραυτίκα εὑρεθήσεται καὶ πλησίον τοῦ οἴκου. ἀσύμφορον τοῖς φεύγουσι τὸ τὴν Σελήνην τοῖς ἀριθμοῖς αὐξομένην ὑπάρχειν, ληγούσης δὲ αὐτῆς τοῖς ἀριθμοῖς σύμφορον. Ἥλιος δὲ δύνων ἢ μεσουρανῶν σύν τινι τῶν κακοποιῶν ἢ ἐπιθεωρούμενος σχήματι δραστικῷ (τουτέστι τετραγώνῳ ἢ διαμέτρῳ) πρὸ τῆς ἀνευρέσεως τοῦ δραπέτου τεθνήξεσθαι σημαίνει τὸν δεσπότην ἢ πολλαῖς 〈ζημίαισ〉 καὶ βλάβαις περιπεσεῖν. Ἥλιος ὁρῶν τὴν Σελήνην ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ ταχέως τὴν μήνυσιν ποιεῖται διὰ τῶν συνιστορούντων, Κρόνος δὲ ὁμοίως ἐπὶ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄνω κέντρῳ σὺν 〈τῇ〉 Σελήνῃ ταχέως τὴν παράδοσιν διὰ γυναικὸς ῥυπαρᾶς ἢ δούλης, ὑπὸ δὲ ἐλευθέρας γυναικὸς μηνυθήσεται Ἀφροδίτης ὁμοίως ἐν τῷ ἄνω κέντρῳ οὔσης σὺν 〈τῇ〉 Σελήνῃ μαρτυρούσης .... ἐὰν ὁ ὡροσκόπος ἐν τετράποσι ζῳδίοις ὁμοίως. καθ’ ἑαυτὴν δὲ μεσουρανοῦσα καθεύδοντες εὑρίσκονται, Ἑρμοῦ δὲ ἐπιδύνοντος αὐτῇ ἀναπεπεῖσθαι ὑπὸ τῶν ἐν γειτνιάσει τινὸς ἢ συνεζηκότων αὐτῷ γνωστέον. Ἀφροδίτης δὲ καὶ Διὸς ἢ καὶ Ἡλίου ἐπιδύνοντος συγγενὴς ἔσται ὁ πείσας καὶ φανήσεται ἐλεύθερος ὤν. ὡροσκοπούντων δὲ Ταύρου, Διδύμων, Καρκίνου, Λέοντος, Παρθένου, Σκορπίου, Ἰχθύων, ἐπιθεωροῦντος Διὸς καὶ Ἀφροδίτης, ἐν ἱερῷ τόπῳ φανήσεσθαι καὶ εὑρεθήσεσθαι πρόδηλον, τοῦ δὲ Ἄρεως σὺν 〈τῇ〉 Σελήνῃ ὁ φυγὼν τομὰς ἕξει εἰς τὴν ὄψιν ἀπὸ σιδήρου.

327 ἢ 〈ν〉 τύχῃ δὲ Κρόνος καὶ Ζεὺς καὶ Σελήνη ὡροσκοποῦντες ἀργύρια βεβαστάχθαι μηνύουσι καὶ εὑρεθήσεσθαι τὸν φυγόντα· οἱ ἀγαθοποιοὶ ὡροσκοποῦντες σὺν 〈τῇ〉 Σελήνῃ ἀμεριμνίαν τῷ φεύγοντι παρέχουσι μετὰ 〈τὸ〉 βεβαστάχθαι καὶ ἱκανὰ χρήματα. Ἄρεως δὲ καὶ Κρόνου ἐπιδυνόντων σὺν 〈τῇ〉 Σελήνῃ εἴσω ρξ ἡμερῶν ἢ καὶ ρο εἰς τὴν τοῦ δεσπότου ἐξουσίαν ἐπανήξουσιν. Ἑρμῆς δὲ σὺν 〈τῇ〉 Σελήνῃ καὶ Ἀφροδίτῃ ὡροσκοπήσας ἢ μεσουρανήσας μηνύει παῖδα ἢ παρθένον ἢ νεανίσκον, τοῦτον δὲ εὑρεθήσεσθαι ἐπιδόντων τῶν κακοποιῶν περὶ ἡμέρας ν , ἐὰν δὲ Ἑρμῆς καὶ Ἄρης μεσῆλιξ τις ἔσται ὁ ζητούμενος, ἐὰν δὲ Κρόνος καὶ Ἑρμῆς καὶ Ἀφροδίτη ἀνὴρ καὶ γυνὴ καὶ υἱός, ἐὰν δὲ Κρόνος, Ζεύς, Ἑρμῆς, Σελήνη, εὐνοῦχος ὁ δραπέτης. ἐπὶ δὲ τοῦ ὡροσκόπου Ἄρης καὶ Ἀφροδίτη καὶ Ἑρμῆς ἑρμαφρόδιτον μηνύει, Ζεὺς δὲ καὶ Ἀφροδίτη καὶ Ἥλιος καὶ Σελήνη ἐλευθέρους δραπέτας, Ἄρεως δὲ ἐπιθεωροῦντος Δία κατεχομένους ὑπὸ ἐξουσίας τινὸς καὶ φρουρᾶς. Ἄρεως δὲ καὶ Κρόνου ὡροσκοπούντων ἑαυτοὺς παραδώσουσιν ἐξουσίαις τισίν. Ἄρης δὲ καὶ Ἀφροδίτη ὡροσκοποῦντες πολλὰ ἀναλώσειν εἰς ἀφροδίσια μηνύουσι καὶ διὰ τοῦτο τὴν φυγὴν ᾑρῆσθαι. Τῆς δὲ Σελήνης ἀκριβοῦν τὰ σχήματα χρὴ καὶ τὰς συναφὰς καὶ τοὺς συνδέσμους εἰδέναι καθὼς προείπομεν, σκοπεῖν δὲ ἐν ποίῳ 〈ἀπο〉 κλίματι ἀπὸ τῶν κέντρων εὑρίσκοιντο· ἐκ τούτου γὰρ εὔδηλον ἔσται οὐ 〈μόνον〉 περὶ τῶν ἀποδιδρασκόντων, ἀλλὰ καὶ τῶν τὰς μακρὰς ἀποδημίας ποιουμένων διά τε γῆς καὶ θαλάσσης. ἐν τοῖς περὶ τὸ δυτικὸν γὰρ κέντρον ζῳδίοις τυχοῦσα καὶ τοῖς ἀπὸ τοῦ μεσουρανοῦντος ἀποκλίμασι καταληφθεῖσα οὐκ ἐνόριον τὴν μετάστασιν ποιεῖται, ἐνόριον δὲ ἐν 〈τῷ〉 ὡροσκόπῳ καὶ τῷ μεσουρανήματι· ὡς ἐπὶ τὸ πλεῖστον γὰρ ἐν τῇ πόλει εὑρίσκονται ἁλύοντες καὶ παρά τισι καταγόμενοι.

328 τῆς δὲ Σελήνης ἀσυνδέτου οὔσης 〈τῷ〉 Ἡλίῳ τε καὶ τῷ ὡροσκόπῳ κατὰ τὸν καιρὸν τῆς φυγῆς ἀνεύρετοι τυγχάνουσιν, συσχηματιζομένης δὲ καὶ ἐπὶ φάσεως καὶ τῇ ὥρᾳ συμφωνούσης ἄνευ βλάβης τινὸς τὴν εὕρεσιν ποιεῖσθαι 〈δηλοῖ〉. οὔσης δὲ ἐν τῷ συνοδικῷ ζῳδίῳ λειψιφώτου καὶ μηδέπω τὰς τοῦ Ἡλίου συνεκδραμούσης αὐγάς, ἀσυνδέτου τε τῇ ὥρᾳ, ἀνεπάνοδον τὸν δρασμὸν ἐργάζεται, ὁμοίως καὶ ἔκλειψιν ποιουμένης, ἐν δὲ τοῖς συνδέσμοις ὡς ἐπὶ τὸ πλεῖστον ἐν δεσμοῖς τοὺς φυγάδας ἔσεσθαι μηνύσει. καὶ τὰ ἀκούοντα δὲ ζῴδια καὶ βλέποντα προσπαραληπτέον· ἐν αὐτοῖς γὰρ γινομένη καὶ παροδεύουσα ἢ βλέπειν ἢ ἀκούειν τι περὶ αὐτῶν ποιεῖ. Κἂν μηδὲν ἐνδεὲς ᾖ τῶν προδιδομένων σχημάτων εἴσω τοῦ πρώτου τετραγώνου λαμβάνονται, ἐὰν δέ τι ἐλάχιστον ἐνδεὲς ᾖ εἴσω τοῦ δευτέρου (τουτέστιν εἴσω τῆς διαμέτρου τῆς καταρχῆς), ἢν δὲ μᾶλλον ἐλλείπῃ περὶ τὸ γʹ τετράγωνον ἢ καὶ τὴν τούτων ἀποκατάστασιν τὴν τελείαν τοῦ κύκλου. ὁ δὲ Ἥλιος τούτων τὴν ἐμφάνειαν παρέξεται τετράγωνος ὢν ἐν τοῖς τετραγώνοις τῆς πανσελήνου, τρίγωνος δὲ ἐν τοῖς τριγώνοις τῆς συνόδου. ἐπὶ δὲ τῶν τὴν βραδεῖαν εὕρεσιν ὑποφαινουσῶν καταρχῶν εἰς μῆνας ὁρίζειν χρὴ κατὰ τὴν τοῦ Ἡλίου κίνησιν τὴν γινομένην ἐν τοῖς τριγώνοις. Καταλαμβάνεται δὲ καὶ ἐπὶ τῶν γενέσεων τῶν δουλικῶν ἀπὸ τοῦ τοῦ Ἑρμοῦ ἀστέρος τὰ τῶν δρασμῶν, κακῶς κειμένου ἢ ὑπὸ κακοποιῶν θεωρουμένου ἢ καὶ λαχόντος τὰ ζῴδια ἢ καὶ τὰ ὅρια 〈αὐτῶν〉, μάλιστα δὲ μετὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄρεως, ἔν τε τοῖς δυτικοῖς καὶ τῷ ὑπὸ γῆν κέντρῳ εὑρισκόμενος ὁ θεὸς οὗτος καὶ χωρὶς κακοποιῶν δρασμοὺς ἀπεργάζεται.

329 ὅθεν προσεκτέον τῇ πρὸς Ἥλιον αὐτοῦ κινήσει· ὑπὸ γὰρ τὰς αὐγὰς τυγχάνοντος ὁ φυγὼν παραυτὰ κρυβήσεται, φυγόντος δὲ τὰς αὐγὰς καὶ ἀνατείλαντος φανήσεται, καὶ προσθετικοῦ γενομένου ἐπανήξει. Ἄρεως δὲ ὄντος ἐν τῷ ζῳδίῳ ἐν ᾧ τὴν ἀνατολὴν ποιεῖται καὶ συνοδεύσας πονηρῷ προσώπῳ ἀποσφαγήσεται, εἰ δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσουσι 〈τοῦ μὲν θανάτου ῥύονται, δεσμοῖς δὲ καὶ κακοῖς αὐτὸν περιβάλλουσιν. τῶν δὲ κρατούντων ἀστέρων παραφυλάσσειν χρὴ τὰ δωδεκατημόρια· ἐπὰν γὰρ συνεκπέσῃ εἰς τὸν ὡροσκόπον ῥᾳδίως τέλους τυγχάνει τὰ πράγματα ἐπὶ πάσης καταρχῆς. λέγουσι δέ τινες ὅτι τῆς Σελήνης σὺν τῷ Ἡλίῳ ὑπαρχούσης ὁ φυγὼν πρὸς καιρὸν κρυβήσεται, διὸ ὁ τοιοῦτος ζητηθεὶς παραυτίκα εὑρίσκεται, εἰ δὲ μὴ παραυτίκα ζητηθείη δυσεύρετος γίνεται. καὶ περὶ μὲν δρασμοῦ καὶ φυγῆς καὶ κλοπῆς τοσαῦτα.〉 I.

330 (4t) Περὶ εὐτοκίας καὶ δυστοκίας Ὁ Ἥλιος, ὁ ὡροσκόπος καὶ ἡ Σελήνη ἐν ἀρσενικοῖς ὄντες ζῳδίοις ἐν τῷ καιρῷ τοῦ τόκου εὐτοκίαν παρέχουσιν ἀρσενικῶν ὄντων τῶν κυοφορουμένων· ῥᾳδία γὰρ ἡ ἀπότεξις τούτων. καὶ θηλυκῶν δὲ ὄντων τῶν κυοφορουμένων εἴπερ ἐν θηλυκοῖς ζῳδίοις τύχοιεν ὅ τε Ἥλιος καὶ ὁ ὡροσκόπος, ἀλλὰ δὴ καὶ ἡ Σελήνη, εὔδρομος καὶ ἀβλαβὴς προβαίνει ὁ τόκος ὁμοίως. ἔμπαλιν δ’ αὖ σκολιὸς καὶ ἀνάρμοστος προβαίνει ὁ τόκος τοῦ Κρόνου ἐγκέντρου τυχόντος, καὶ μάλιστα εἰ καὶ ὁ τόπος ἐν ᾧ πάρεστι θηλυκὸν περιέχει ζῴδιον· κίνδυνον γὰρ ἐπάγει ταῖς τικτούσαις. ὁμοίως δὲ καὶ ὁ Ἄρης ἐπίκεντρος ὤν, καὶ μάλιστα εἰ τὸ ζῴδιον ὃ ἐπέχει θηλυκὸν ὑπάρχει, ῥᾳδίαν τὴν ἀπότεξιν παρέχει ὡς καὶ ἐν ὁδοῖς ἢ λουτροῖς ἐξαίφνης τὴν ἐγκυμονοῦσαν τίκτειν. δεῖ δὲ παρατηρεῖν καὶ τὰ ζῴδια εἴτε ὀρθά εἰσιν εἴτε πλάγια· καὶ ὀρθὰ μέν εἰσι τὰ ἀπὸ Καρκίνου ἄχρι Τοξότου, πλάγια δὲ τὰ ἀπὸ Αἰγοκέρωτος ἄχρι Διδύμων. καὶ ἐν μὲν ὀρθοῖς ζῳδίοις τυχούσης τῆς Σελήνης ῥᾴδιος ὁ τόκος γίνεται τοῦ ἐμβρύου ὀρθίαν τὴν ἔξοδον ποιοῦντος, ἐν δὲ πλαγίοις δύσκολος πλαγίας τῆς ἐξόδου γινομένης. Καὶ ὁ Μανέθων δέ φησιν· Σελήνη ἐμπερισχεθεῖσα ὑπὸ Κρόνου καὶ Ἄρεως ἀργαλέα ἐστὶ ταῖς τικτούσαις, καὶ μάλιστα εἰ ἐν πλαγίοις ζῳδίοις καὶ οὗτοι οἱ ἀστέρες (ὅ τε Κρόνος καὶ ὁ Ἄρης) τύχοιεν, ἡ δὲ Σελήνη ἐπίκεντρος εἴη, ὁμοίως δὲ καὶ εἴπερ καὶ οὗτοι ἐπίκεντροι εἶεν.

331 II. Περὶ διαθηκῶν καὶ ἄλλως Ὅταν τις θελήσῃ τὴν ἤδη γεγραμμένην αὐτοῦ διαθήκην σφραγίσαι πρὸς ἀξιοπιστίαν παρατηρείσθω τόν τε ὡροσκόπον καὶ τὴν Σελήνην ἐν τροπικοῖς εἶναι ζῳδίοις· τούτου γὰρ γενομένου παλιντροπία ἔσται τῆς καταρχῆς ὕστερον, διὸ καὶ πάλιν ἄλλως διαθήσεται καὶ οὐ μὴ δηλονότι τελευτήσει ἐπὶ τῇ πρώτῃ διαθήκῃ. ἔστω δὲ πρὸς τούτοις ἡ Σελήνη καὶ αὐξιφωτοῦσα καὶ τῷ πλάτει ὑψουμένη καὶ τοῖς κατὰ μῆκος ἀριθμοῖς ἀφαιροῦσα καί τινι ἀστέρι συνάπτουσα στηριγμὸν ἔχοντι καὶ μηδὲ ὕπαυγος ἔστω· καὶ γὰρ ὑπαύγου αὐτῆς οὔσης ὁ διαθέμενος ταχέως τελευτήσει. τὸν δὲ Ἄρεα δεῖ παραφυλάττεσθαι ἀναγκαίως ἵνα μήτε ὡροσκοπῇ μήτε σὺν τῇ Σελήνῃ μήτε τετραγωνίζῃ αὐτὴν μήτε διαμετρῇ· οὕτω γὰρ οὐ μόνον ὁ διαθέμενος τελευτήσει, ἀλλὰ καὶ ἡ διαθήκη ἀφανισθήσεται ἤτοι κλαπεῖσα ἢ ἑτέρας ψευδοῦς ἀντ’ αὐτῆς ὑποληφθείσης. ὁ δὲ Ἑρμῆς κακωθεὶς ἤτοι συνὼν τοῖς κακοποιοῖς ἢ σχηματιζόμενος ὑπ’ αὐτῶν δόλων αἴτιος γίνεται καὶ ἀμφισβητήσεων. ἐὰν δὲ Κρόνος ὡροσκοπῇ ὁ μὲν θάνατος μετὰ χρόνον συμβήσεται, ἡ δὲ διαθήκη κυρωθήσεται. ἐὰν δὲ Ζεὺς ἢ Ἀφροδίτη ὡροσκοπῇ ποιήσει τὸν διαθέμενον μὴ τελευτήσαντα διαθέσθαι πάλιν. Σημαίνει δὲ ὁ μὲν ὡροσκόπος τὴν δύναμιν τῆς γραφῆς τῆς διαθήκης καὶ τὸν διαθέμενον, τὸ δὲ μεσουράνημα τὸ ἀποτέλεσμα αὐτῆς, τὸ δὲ δῦνον πότερον ἔνδοξος ἢ ἄδοξος, ἀληθὴς ἢ ὑπόβλητος, τὸ δὲ ὑπόγειον ὁποῖοί τινες οἳ τὰς κληρονομίας παραλήψονται. ἐὰν οὖν ὡροσκοπῇ Κρόνος τῇ καταρχῇ ὁ διαθέμενος γέρων ἔσται, κακοῦργος καὶ [ὁ διαθέμενος] ἄδικος καὶ ἐνέδραν ἕξει καὶ ψεύσματα, ὅ τε ποιῶν ἀγενής τις ἔσται καὶ ῥυπαρὸς ἢ ἀπελεύθερος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

332 ἐὰν δὲ Ἄρης ἐξ ὀργῆς ἔσται ἡ διαθήκη προπετῶς ἄνευ λογισμοῦ ὡς ἀπὸ κληρονομίας ποιῆσαι τοὺς προσήκοντας, ὅ τε ποιῶν νέος, ὀργίλος, στρατιωτικός. ἐὰν δὲ Ζεὺς δικαίαν καὶ πλουσίαν δηλοῖ τὴν διαθήκην καὶ τὸν διαθέμενον τοιοῦτον. ἐὰν δὲ Ἀφροδίτη, καὶ μάλιστα ἐν τροπικοῖς οὖσα, ἔσται ἡ διαθήκη ἀγαθὴ καὶ ποικίλη, ὅ τε ποιῶν ὁμοίως ἀγαθὸς καὶ ποικίλος τὸ ἦθος. ἐὰν δὲ οἱ πλείονες τῶν ἀστέρων ὦσιν ἐν θηλυκοῖς ζῳδίοις γυνὴ ἔσται ἡ διατιθεμένη. ἐὰν δὲ Ἑρμῆς ποικίλη ἡ διαθήκη ἔσται καὶ πολύλογος καὶ κούφη, ὅ τε ποιῶν ἐν λόγοις ἔσται ἢ διοικήσεσιν. ἐὰν δὲ Ἥλιος ἢ Σελήνη μεγίστη καὶ ἐπίσημος καθ' ὃν ἂν τρόπον μαρτυρούμενοι τύχωσιν. ἐν δὲ τῷ μεσουρανήματι Κρόνος τυχὼν παλαιὰν τὴν διαθήκην σημαίνει, τὸ δὲ τέλος τοῦ διατιθεμένου ὁποῖαι αἱ μαρτυρίαι τῶν ἐπιθεωρούντων τὸ μεσουράνημα. Ἄρης δὲ κενὴν τὴν διαθήκην καὶ ὀξεῖαν [τὴν διαθήκην] δηλοῖ. Ζεὺς δὲ ἀλλαγῆναι πάλιν αὐτὴν μηνύσει ἐπ' ἀγαθῶν προσθήκαις καὶ ζήσεσθαι τὸν διαθέμενον, ὁμοίως δὲ καὶ Ἀφροδίτη. Ἑρμῆς δὲ ταχεῖαν τὴν ἄνοιξιν προαγορεύει καὶ πρόθεσιν πολυλογίας, κατὰ ταὐτὸν δὲ τὰς μαρτυρίας χρὴ σκοπεῖν τὸν αὐτὸν τρόπον. Ἥλιος δὲ καὶ Σελήνη μετὰ τοῦ σημαίνειν εὐγενῆ καὶ μεγάλα τὰ πρόσωπα δηλοῖ. Κρόνος δὲ δύνων ἐπηρείας καὶ κατηγορίας καὶ κακουργίας μεστὴν δείκνυσι τὴν διαθήκην. Ἄρης δὲ οὐ βεβαιωθήσεσθαι δηλοῖ καὶ μετὰ βίας ἁρπαγήσεσθαι τὴν οὐσίαν. Ζεὺς δὲ μετὰ καλῆς πίστεως ἐνδόξως διατηρηθήσεσθαι, ὁμοίως δὲ καὶ Ἀφροδίτη. Ἑρμῆς δέ, ὑποβολιμαία καὶ πλαστὴ ἡ διαθήκη ἀναφανεῖται καὶ ἀγαθῶν μὲν μαρτυρούντων λαθοῦσα διαμένει, κακοποιῶν δὲ σὺν κινδύνῳ φανερωθήσεται καὶ ἄκυρος ἔσται. τὸ δ' αὐτὸ Ἥλιος καὶ Σελήνη ἀπεργάζεται κατὰ τὴν τῶν σχημάτων σύγκρασιν. ἐν δὲ τῷ ὑπογείῳ Κρόνος εὑρεθεὶς δούλοις καὶ ἀπελευθέροις ἢ ἐγγόνοις αὐτῶν τὴν κατάληψιν σημαίνει, Ἄρης δὲ ἀπελευθέρων υἱοῖς, στρατιώταις, Ζεὺς δὲ φίλοις καὶ συγγενέσιν, Ἀφροδίτη δὲ γυναικὶ ἢ παλλακῇ ἢ φίλῳ μετέχοντι μυστηρίων, Ἑρμῆς δὲ τέκνοις, ἐγγόνοις, τροφοῖς, ἀξίοις λόγου, Ἥλιος δὲ ἢ Σελήνη ἐπισήμοις καὶ μεγίστοις.

333 καὶ ἐὰν μὲν ὑπὸ ἀγαθοποιῶν μαρτυρῆται ἐπικερδεῖς ἔσονται αἱ κληρονομίαι, ἐὰν δὲ ὑπὸ κακοποιῶν ἐπιζήμιοι. III. Περὶ παραδόσεως τεχνῶν Εἰσόμεθα δὲ εἰ εὐμαθεῖς ἔσονται οἱ παραδιδόμενοι εἰς μάθησιν τέχνης ἢ ἀμελεῖς ἀποβαίνουσι καὶ περὶ τίνα δὲ ἥ τε ἐπιμέλεια καὶ ἡ κατόρθωσις γένοιτο ἂν ἢ ἡ ῥαθυμία. ὁ μὲν ὡροσκόπος τὰ κατὰ τὸν διδάσκαλον σημαίνει, τὸ δὲ μεσουράνημα τὸν συνιστάντα οἷον δεσπότην ἢ πατέρα ἢ ἐπίτροπον, τὸ δὲ δῦνον τὸν μαθησόμενον, τὸ δὲ ὑπὸ γῆν τὴν τοῦ μαθήματος ἢ ἐπιστήμης ἀπόβασιν, τῆς θεωρίας κατὰ τὸν συγκριτικὸν λόγον ληφθησομένης ὁμοιοτρόπως τοῖς ἐπάνω προλελεγμένοις. εἰδότες οὖν τὸν τρόπον τοῦτον ἐπὶ τῶν παραδιδομένων εἰς μάθησιν τεχνῶν ἐπιτηρήσωμεν τὴν Σελήνην πλήθουσαν καὶ καλῶς κειμένην μετὰ τοῦ Ἑρμοῦ καὶ αὐτοῦ καλῶς κειμένου καὶ ἀνατολικοῦ καὶ ἐν τοῖς ἀνθρωποειδέσι ζῳδίοις ὄντων καὶ ἀμφοτέρων ἢ καὶ πρὸς αὐτὰ ἐσχηματισμένων, καὶ τότε παραδώσομεν εἰς μαθήσεις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org